ΑΛΕΞΑΝΔΡΟΥ

ΑΦΡΟΔΙΣΙΕΩΣ

ΦΥΣΙΚΩΝ ΚΑΙ ΗΘΙΚΩΝ

ΑΠΟΡΙΩΝ ΚΑΙ ΛΥΣΕΩΝ

ΒΙΒΛΙΑ ΤΕΤΤΑΡΑ.

ALEXANDRI

APHRODISIENSIS

QUAESTIONUM

NATURALIUM ET MORALIUM

AD

ARISTOTELIS

PHILOSOPHIAM ILLUSTRANDAM

LIBRI QVATUOR

EX RECENSIONE

LEONARDI SPENGEL

MONACENSIS,

ANTIQQ. LITT. IN ACADEMIA HEIDELBERG. PROFESSORIS.

MONACHII 1842.

SUMTIBUS LIBRARIAE J. G. COTTAE.

FRIDERICO CREUZER

L. Spengel.

ALEXANDER

APHRODISIENSIS

germanissimus fuit Peripateticus: quem et Plotinus nobilis inprimis philosophus Platonicus consulebat ad Aristotelis sensus probe cognoscendos, ut Porphyrius in ejus vita auctor est: et D. Hieronymus illius commentarios Latine convertebat ad philosophiam discendam, ut scribit in epistola ad Domnionem: et D. Cyrillus adversus Julianum, diligentissimum et acutissimum eum judicio Philosophorum ethnicorum esse tradit, atque eum Aristotelis amatorem vocat, illiusque testimonia libentissime contra Julianum usurpat. Omnes praeterea Graeci Aristotelis explanatores illum κατ' ἐξοχὴν τὸν ἐξηγητὴν, id est, explanatorem appel-

lant. Roisius item Arabs, quantum illi tribuat, qui sunt in eius scriptis versati, probe norunt. Ego sane illud saepe in Alexandro observavi, ita studiosum fuisse Aristotelis, ut suas omnes disputationes non solum sententiis Aristotelicis, sed etiam verbis illius ex variis locis, licet Aristotelem nominatim non appellet, contexat: ut, quantum quispiam Alexandri legat, tantum se Aristotelis legisse certo sciat, et uno verbo, tantum quis credat se in Aristotelis disciplina profecisse, quantum magistro Alexandro ad eam cognoscendam usus fuerit. Sed, pro dolor, quam pauca reliqua Alexandri γνήσια saltem.

Pet. Joan. Nunnesius ad vit. Aristotelis not. 48.



Victor *Trincavellus* medicus qui anno 1534 Themistii operibus apud Aldum excusis duos libros Alexandri Aphrodisiensis *περὶ ψυχῆς*, item *περὶ εἱμαρμένης* fol. 123 — 172 adiecerat paulo post 1536 Venetiis librum sic inscriptum, emisit:

ΖΗΤΗΜΑΤΑ

ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ

ΑΦΡΟΔΙΣΙΕΩΣ ΦΥΣΙΚΑ. ΠΕΡΙ ΨΥΧΗΣ.

ΗΘΙΚΑ.

Μετάφρασις ἐκ τῶν Δαμασκίου εἰς τὸ πρῶτον περὶ οὐρανοῦ βιβλίον.

Ἐπιτομὴ σχολικὴ εἰς τὰ δ΄ πρῶτα καὶ τὸ ή περὶ φυσικῆς βιβλία.

Θεοφράστου περὶ αἰσθήσεων βιβλίον.

Πρισκιανου Λυδοῦ μετάφρασις τῶν Θεοφράστου περὶ αἰσθήσεων καὶ φαντασίας.

quos in praefatione ad Petrum Danesium elegantes et utiles libellos hinc inde conquisitos et a ruina et interitu erutos Alexandro se adjunxisse dicit, neque ego in tribus inveni exemplis, neque alius unquam vidit. Theophrasti insigne fragmentum Camotius primus Venetiis edidit 1552, Lydi commentarium Gemusaeus Basileae 1541 apud Oporinum, Damascii scholia in primum librum de caelo nuper 1836 Christianus Aug. Brandis pag. 454 — 68, epitome priorum quatuor librorum et septimi physicae auscultationis ne nunc quidem lucem vidit; nescio igitur, quo fato acciderit, ut hos bonae frugis libellos Trincavellus negligeret, denuo vero *περὶ εἱμαρμένης* recuderet.

Alexandrum ne lectoribus commendaremus, Petri Nunnesii cordati viri fecit quod praeposuimus indicium; id solum has quaestiones prae ceteris illa laude dignas esse addere libet. At Trincavellus negligenter editoris officium praestitit, nec magni momenti esse videntur, quae dederit Petrus Danesius, quem diligentem operam, ut Alexandrum suae pristinae integritati restitueret, impendisse dicit. Tam multis scatet mendis, ut singula folia e prelo vix unquam

correcta esse credas et plurimae inveniantur sententiae in quibus aut corrupta lectione aut mala distinctione impeditus haesites.

Nos cum Petri Victorii exemplo, quod in bibliotheca Monacensi asservatur, egregii codicis varietatem adscriptam invenissemus, doctorum gratiam inire arbitrabamur, si ex huius auctoritate illas quaestiones castigaremus. Nescio, unde sumptus sit hic codex; Victorius ipse rarissime mentionem facit, ut ad Aristotelis Ethic. Nicom. pag. 91, 575, ubi quos meliores calamo scriptos libros dicit, nostrum intelligit codicem, neque in Florentiae instructissima bibliotheca manu exaratus liber reperitur; mira enim oscitantia Bandinius ad LXXI, 33 quae ibi exstant *ἀπορήματα φυσικὰ* (sunt vero Alexandri *φυσικὰ προβλήματα*), nostras esse quaestiones sibi persuasit.

Praeterea Ioann. Bapt. Bagolini versionem latinam contulimus; is enim in praefatione ad Vicentium Madium haec profitetur: *Alexander autem, optime nosti, quam corruptus graece circumferretur, admirabilis auctor in philosophia miserabilem in modum mendosus, sed ut*

scis veteribus adhibitis manuscriptis exemplaribus graecis multo melioribus locis collatis vel in Alexandro ipso, vel Themistio, Ioanne Grammatico, Simplicio, Aristotele plurimum, mea summa industria, doctis consulendis et te in primis Vicenti effeci, ut plurimis in locis antea obscurum, nunc clarum fecerim Alexandrum, quantum eius propria brevitas obscura et concisa quaedam oratio hactenus a me fieri dilucidior potuit. qua in re ita me intra latinae linguae terminos constitui, ut Alexandri sententias conservarem in magna difficultate. Multo certo melior a me nunc latinus exit Alexander, quam graecus habeatur, res ut ita dicam tua amoris nostri pignus, labor hic meus quicunque est, in publicam philosophantium utilitatem. Atque haec optimo jure de sua interpretatione gloriatur Bagolinus; is enim tam bene quam male princeps editor rem gessit, et quem nos emisimus graecum Alexandrum, non multum a latino Bagolini distat. Etenim codice usus est parum diverso a Victoriano, sed accuratius ab ipso excusso, quo factum, ut plura haud dubie ex illo sumpta recte verteret, quae e nostro libro tradita non sunt; itaque v. c. non dubitandum est, quin IV, 9, ubi nunc legi-

mus *εἰ δὲ ἐν ἕξει τῶν ἁμαρτανομένων γενόμενοι,* Bagolinus vero interpretatur: *Si vero in habitu jam et consuetudine peccatorum existentes,* doctus interpres in libro suo invenerit *ἕξει ἤδη καὶ συνηθείᾳ τῶν,* quae fortasse et in Victoriano exstant, sed ab eo qui excussit neglecta sunt. III, 3 sub finem sententiam haud scio an codicis sui autoritate e loco movit et superioribus inseruit. Tamen interdum liber eius Victoriano inferior est, ut v. c. I, 1 *ἡ γὰρ ὕλη οὐδὲν οὖσα τῶν ὄντων ἐνεργείᾳ κατ᾽ ἀναλογίαν ἐστὶν νοητὴ καὶ ὡς ὁ Πλάτων φησὶ τῷ λογισμῷ* vulgatam vertit Bagolinus, ubi recte noster *νόθῳ,* vix enim credas, doctum interpretem, si hoc invenisset scriptum, non intellexisse.

Titulum libri quem dedit Trincavellus, ipse finxisse videtur, quod multis de locis ex libris de anima disputatur, at hi ad physicam pertinent. Sunt adversaria de variis ab Aristotele in scriptis rebus tractatis, *ἀπορίαι καὶ λύσεις,* quorum tres libri physicam partem attingunt, unus qui vulgo quartus dicitur, ethicam tractat, unde male scriptum esse apparet *Ἀλ. Ἀφρ. φυσικῶν σχολίων ἀποριῶν καὶ λύσεων βιβλίον τέταρτον,* totus enim ethicam Nicomachicam in-

quirit, et Bagolinus vertit moralium in edit. Venet. 1546, at non moralium quartus, sed unus et primus est, et in Veneta 1555 Physicorum denuo legitur. Nos *φυσικῶν καὶ ἠθικῶν ἀποριῶν καὶ λύσεων βιβλία τέτταρα* inscripsimus. Venetus enim codex CCLVIII apud Morellium p. 145 ethicum librum praeponit his verbis *Ἠθικῶν προβλημάτων α΄*, tum sequitur physicorum liber primus, deinde duo de anima et de fato, denique secundus et tertius physicorum. Vulgatum ordinem servat codex Vindobon. apud Lambeccium tom. IV, p. 18, in quo quartus liber inscriptus est: *Ἀ. Ἀ. σχολιῶν ἠθικῶν ἀποριῶν καὶ λύσεων βιβλίον.* Quod idem Lambeccius tom. IV, p. 149 tradit atque inde Fabricius repetit bibl. tom. IV, p. 77, in codice CCCXI fol. 26 — 48 Alexandri legi librum de virtutibus qui his verbis incipiat: *ἐπιδρομὴ πόθεν ἡ τῶν ἀρετῶν εὕρεσις καὶ σύστασις. Ἐπεὶ ἡ εὐδαιμονία,* pars est quarti libri, inde a cap. 25; cum vero ultima verba non sint addita, quae omnia ibi inveniantur, ignoro, auguror tamen finem quarti libri et *περὶ εἱμαρμένης* ibi exstare. Sed non reticendum, plura ethici argumenti addita inveniri secundo libro *περὶ ψυχῆς* fol. 154 — 162, quae nullo modo cum praecedentibus aut

ipsius libri ratione cohaerent. Postquam enim visum Alexander qualis esse secundum Aristotelem, exposuit, haec sequuntur capita: *Τῶν παρὰ Ἀριστοτέλους περὶ τοῦ πρώτου οἰκείου. Ὅτι ἀντακολουθοῦσιν αἱ ἀρεταί,* quod idem argumentum cap. 22 libri quarti; *Ὅτι φύσει τὸ δίκαιον. Ὅτι οὐκ αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν. Τῶν παρὰ Ἀριστοτέλους περὶ τοῦ ἐφ' ἡμῖν. περὶ τύχης. περὶ εἱμαρμένης.* Quae omnia nostri potius libri fragmenta esse coniicias, nisi post quartum argumentum physicum caput fol. 158 *ὅτι μὴ ἕτερον τῷ εἴδει τὸ θῆλυ καὶ τὸ ἄῤῥεν* insereretur.

Trincavelli (T) lectionem ex Victoriano (V) libro *) correximus omnemque varietatem margini

---

*) ad II, 3 *τέλοιαν τῇ* correctum *συντελοῖ ἄν τι* additis litteris V. P haud dubie haec est emendatio viri docti, non ex scripto libro sumpta, Bagolinus monstra illa omisit; saepius apparet littra P, quibus alibi Victorius Politianum, alibi Puccium indicat, ut IV, 14 *ὃς αὐτὸς εἶπεν* ad *ὡς*. IV, 18 ad particulam *δὲ* insertam, IV, 26 ad *αὐτό τε* pro *τότε*. Id quoque monendum, Aristotelis locis ab Alexandro laudatis varietatem adscriptam interdum inveniri, quae non ex scripto Alexandro, sed ex edito ab Aldo Aristotele hausta videatur, itaque his locis ne nimium praestemus fidei.

adscriptam ne quid deesset, sedulo reposuimus; e quo si nihil erat enotatum et locus emendatione egebat, tacite correximus adscripta vulgata lectione (vulg.) v. c. *τομῇ*] *τὸ μὴ* vulg. vel si neuter quod probari posset praestabat, ut IV, 14 *χωρίζεσθαι*] *χωρήσεσθαι* V, *χωρήσεται* T, id brevitati concedendum esse arbitrati sumus; atque haec omnia a nobis non male esse restituta confidimus. Quod si sunt qui mirentur, quod satis certas emendationes non receperimus, hi quam facile scriptis copiis destituti labamur, parum cognoscunt; equidem veram emendationem margini adscriptam, quam falsam in textum receptam malim; itaque quae necessaria et certissima erant, probavimus, reliqua quantumvis probabilia nobisque certa in adnotatione monuisse sufficiebat; nam multa libertate utuntur posterioris aetatis scriptores, ut saepe dubius haereas, utrum corrigas necne; nos certe intactum reliquimus IV, 23 *ὡς τὸ ἐνέργεια εἶναι ἀνεμπόδιστος ἔχει, οὕτως ἂν ἔχοι καὶ τὸ εἶναι εὐδαιμονία* idque notandum potius, quam emendandum esse censuimus.

Haec Adversaria ab Alexandro post editos in libros *περὶ γενέσεως καὶ φθορᾶς* et *περὶ ψυ-*

χῆς commentarios conscripta esse, docent I, 11. II, 22; lectoris cuiusdam, non auctoris sunt, quae fine I, 2. III, 14. IV, 8 leguntur; id quoque non negligendum est, quaestionem IV, 26 iisdem verbis conceptam integram supra IV, 23 legi, quod qua ratione factum sit, me ignorare fateor.

Quod si memoria repetimus, quae de Aristotele in his libris leguntur, non possumus, quin multa miremur. Quid enim vult III, 10 epitome Meteorolog. de mari, aut III, 14 quarti libri Meteorolog. aliaque id genus plura, quae quivis nostrum Alexandro vel melius facere potest? Quaestiones quoque plures si consideres, de Aristotelis scriptis eiusque philosophia multa maioris momenti ab eius discipulis tradita esse, iure dubites. Nam si nos tales afferamus dubitationes, facile veniam des; at Alexandrum has movisse vix expectes; nonne enim Peripatetici talia dudum excusserant et certissime evicerant? id si non fecerunt, (quis enim Alexandrum priores neglexisse credat!) nihil omnino praestiterunt, neque artem criticam neque exegeticam in magistri libris dextre exercuerunt. Quae omnia nos ut philosophi libris industrie

incumbamus, eiusque sententias ipsi rite examinemus, faciunt, quamvis quae Peripatetici vera nobis tradiderint, pio gratoque animo accipienda sint.



ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ.

Διὰ τίνων ἄν τις συστήσαι τὸ πρῶτον αἴτιον κατὰ Ἀριστοτέλην. ά.

Περὶ χρώματός τινα. β'.

Τίνων εἰσὶν οἱ ὁρισμοί. γ'.

Σχόλιον ἐν διαλόγῳ περὶ τοῦ εἰ πάντα γίνοιτο καθ' εἱμαρμένην, ἀναιρεῖσθαι τὸ δυνατὸν καὶ ἐνδεχόμενον. δ'.

Διὰ τί ἡ αὔξησις κατὰ τὸ εἶδος μόνον, ἀλλ' οὐχὶ καὶ κατὰ τὴν ὕλην. έ.

Πῶς εἰ μᾶλλον τὸ ὕδωρ κατὰ τὸ ψυχρὸν ἢ κατὰ τὸ ὑγρὸν, ἡ μὲν εἰς τὸ θερμὸν αὐτοῦ ἐκ τοῦ ψυχροῦ μεταβολὴ οὐ φθείρει αὐτὸ, ἡ δ' ἐκ τοῦ ὑγροῦ εἰς τὸ στερεὸν φθείρει. ς'.

Πῶς οὐκ ἐναντία τό τε μέγα καὶ τὸ μικρὸν, εἴγε εἰς ἐναντία μὲν ἡ μεταβολὴ, τὸ δὲ αὐ-

V (codex Victorianus). T (Editio princeps a Trincavello curata).

2. *βιβλίου*] *λόγου* vulg. 3. *συστήσαι τὸ*] *συστήσαιτο* vulg. 12. *ἢ*] *οὐ* *T*. 16. *ἐναντία τό τε*] *ἐναντίῳ το* *T*. *καὶ τὸ*] om. *T*, *καὶ* V.

8. ἡ] om. T. 9. τῷ ά] τοῖς T. 20. εἰ] om. T.
23. Ἀριστοτέλους] om. T. 25. ἐν τῇ] αὐτῇ T. 27. εἴη] om. T.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΒΙΒΛΙΟΥ.

---

5. ἀντιπερίστασιν] ἀντιπερίσταται T. 11. τῆς om. T. 12. Ἀριστοτέλους – εἰρημένης] om. T. 24. Ἀριστοτέλους] om. T.

τέλους εἰρημένης εἰς ἀναίρεσιν τοῦ τὴν ψυχὴν αὐτοκίνητον εἶναι. β'.

Τίς ἡ ἀπὸ τῆς κινήσεως τοῦ θείου σώματος ἐγγινομένη δύναμις τῷ γειτνιῶντι αὐτῷ θνητῷ τε καὶ ἐν γενέσει σώματι. γ'.

Ὅτι εἰ τοῦτο ἐφ' ἡμῖν οὗ τὸ ἀντικείμενον μὴ ἐφ' ἡμῖν, οὐδὲ αὐτὸ ἐφ' ἡμῖν, οὐδὲ τὸ ἐφ' ἡμῖν ἐφ' ἡμῖν ἐστι. δ'.

Περὶ τοῦ ὅτι καὶ τὸ ἐφ' ἡμῖν καθ' εἱμαρμένην. ε'.

Πῶς καὶ ἀκίνητον εἴη ἂν τὸ πρῶτον κινοῦν, εἴ γε ὥς φησιν αὐτὸς ἕκαστόν ἐστιν ὧν ἐστιν ἔργον ἕνεκα τοῦ ἔργου, θεοῦ δ' ἐνέργεια ἀθανασία, τοῦτο δ' ἔστιν, ζωὴ ἀΐδιος, ὥστ' ἀνάγκη τῷ θεῷ κίνησιν ἀΐδιον ὑπάρχειν. ς'.

Τίς ἔσται ἡ ὕλη, εἰ παρὰ μὲν τῆς στερήσεως ἔχει τὸ ἄποιος εἶναι καὶ ἀσχημάτιστος, παρὰ δὲ τοῦ εἴδους τὸ πεποιῶσθαι καὶ ἐσχηματίσθαι. ζ'.

Πῶς οὐκ αὐτὸ δι' αὑτοῦ ὡρίσατο τὴν ψυχὴν ὁρισάμενος ἐντελέχειαν σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος. η'.

Πῶς οὐ πρός τι ἡ ψυχὴ, εἰ ἐντελέχεια σώματος τοιούτου. θ'.

Ὅτι μὴ αὐτοκίνητος ἡ ψυχή. ι'.

Διὰ τί τὸ γινόμενον ἐκ τῆς στερήσεως ὡς μεταβάλλον ἅμα καὶ ἐκ τοῦ ἐναντίου αὐτῷ

2. εἶναι] εἶναι, ἔστι δὲ ἡ λέξις ἤδη V. 6. τοῦτο] τοῦ T. οὗ] ὃν V. om. T. 7. αὐτὸ] τὸ αὐτὸ vulg. οὐδὲ τὸ ἐφ' ἡμῖν om. V. 11. αὐτὸς om. T.

3. διὰ τοῦ] δι' αὐτοῦ *T.* 5. τοὺς] fort. τοὺς *Πλατωνικοὺς* τούς. 8. vid ad II, 14. 19. ἐστιν] ἐστιν ὃ καὶ vulg. 21. ἐκεῖνο] εἶναι add. *T.*

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ.

7. ὑπομνήματι] ἡ δὲ λέξις ἐστὶν ἥδε add. V. 8. διὰ . . σίδηρον om. T. 10. εἰρημένης om. T. 12. ἄλλη ἐκ τοῦ αὐτοῦ λέξις semel om. V, bis T.

3. οὐχὶ] om. T.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΒΙΒΛΙΟΥ.

Ἀπορίαι πρὸς τοὺς τὸ ζῆν οὐκ ἀγαθὸν εἶναι λέγοντας. α´.

Ὅτι μὴ ὁμοειδεῖς αἱ ἡδοναί. β´.

Ὅτι δικαιοσύνης καὶ ἀδικίας καὶ ὅλως ἀρετῆς καὶ κακίας ἐστί τις ἕξις μεταξύ. γ´.

Ἀπορίας λύσις τῆς λεγούσης ὀργάνῳ μὲν μηδὲν εἶναι ἐναντίον [ἁπλοῦν], τῷ δὲ πλούτῳ πενίαν εἶναι ἐναντίον, διὸ μὴ εἶναι τὸν πλοῦτον ὄργανον. δ´.

Ἀπορία ὅτι ἡ κοινὴ ἡδονὴ ὡς γένος λαμβανομένη οὔτ' ἀγαθόν ἐστιν οὔτε κακὸν οὔτ' ἀδιάφορον. ε´.

Ὅτι τῇ ἡδονῇ ἡ λύπη ἐστὶν ἐναντίον, ἀλλ' οὐ πόνος. ς´.

Διὰ τί, εἰ ἡ λύπη πᾶσα κακὸν τῇ ἑαυτῆς φύσει, οὐχὶ καὶ ἡ ἡδονὴ πᾶσα ἀγαθὸν ἔσται τῇ ἑαυτῆς φύσει. ζ´.

Ὅτι ἡ ἀρετὴ οὔτε γένος οὔτε ὅλον. η´.

Ὅτι μὴ πάντες οἱ ἁμαρτάνοντες ἀγνοίᾳ τοῦ κακὰ εἶναι καὶ βλαβερὰ ἃ πράττουσιν, ἁμαρτάνουσιν. θ´.

Ὅτι ὁ ἄνθρωπος τῶν ἀρετῶν χάριν, ἀλλ' οὐκ ἔμπαλιν. ι´.

Ὅτι μὴ πολλαχῶς τὸ ἀκούσιον, ἐπεὶ καὶ βίᾳ καὶ δι' ἄγνοιαν. ια´.

3. οὐκ] om. T. 9. ἁπλοῦν om. V. 21. ἃ om. vulg.

1. νικομαχίων vulg., item v. 15. 21. ἀκολουθοῦσιν vulg.

Διὰ τί αἱ ἠθικαὶ ἀρεταὶ μεσότητές εἰσιν τοῦ καλοῦ. κζ΄.

Πότερον ἢ ὡς γένος ἢ ὡς ὅλον ἡ ἀρετὴ τῶν ἀρετῶν. κή.

Ἄλλης λέξεως ἐξήγησις ἐκ τοῦ τρίτου τῶν ἠθικῶν Νικομαχείων Ἀριστοτέλους, δι' ἧς δείκνυται, ὅτι καὶ αἱ κακίαι ταῖς ἀρεταῖς ὁμοίως ἐφ' ἡμῖν. κθ΄.

Πῶς, εἰ ἐκ τῶν ἐναντίων τὰ ἐναντία γίνεται, οὐκ ἔσται ἐκ μὲν δικαιοσύνης ἀδικία, ἐκ δὲ ἀδικίας δικαιοσύνη, καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν τε καὶ κακιῶν ὁ αὐτὸς λόγος. λ΄.

3. Πότερον ἡ ἀρετὴ γένος ἢ ὅλον T. 5. Ὅτι καὶ αἱ κακίαι ταῖς ἀρεταῖς ὁμοίως ἐφ' ἡμῖν, ὃ δείκνυται διὰ λέξεως ἐκ γ΄ νικομαχίων ἠθικῶν ἀριστοτέλους T. 9. Πῶς οὐκ ἔσται δικαιοσύνη μὲν ἐξ ἀδικίας, ἀδικία δὲ ἐκ δικαιοσύνης εἶτα ἐναντία ἐξ ἀλλήλων γίνεται. λ΄ T.



ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ

ΦΥΣΙΚΩΝ ΣΧΟΛΙΩΝ

ΑΠΟΡΙΩΝ ΚΑΙ ΛΥΣΕΩΝ

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Διὰ τίνων ἄν τις συστῆσαι τὸ πρῶτον αἴτιον κατὰ Ἀριστοτέλην. α'.

Εἰ αἱ οὐσίαι πᾶσαι φθαρταὶ, φθαρτὰ πάντα ἔσται· ἀχώριστα γὰρ τὰ ἄλλα τῆς οὐσίας. οὐκ ἔστι δὲ πάντα φθαρτὰ, οὐδ' αἱ οὐσίαι πᾶσαι φθαρταί. οὐ πάντα δὲ φθαρτὰ, ὅτι ἀδύνατον τὴν κίνησιν φθαρτὴν εἶναι. ἀΐδιος γάρ. εἰ γὰρ εἴη γενητὴ, ἐπεὶ πᾶν τὸ γινόμενον ὑπό τινος καὶ ἔκ τινος γίνεται, εἴη ἂν καὶ τὰ ἐξ ὧν ἡ κίνησις. ἀλλ' εἰ μὲν οὕτως εἶχεν, ὥστε μήτε τὸ ποιοῦν μήτε τὸ πάσχον πρὸς τὸ δύνασθαι τὸ μὲν πάσχειν τὸ δὲ ποιεῖν δεῖσθαί τινος μεταβολῆς, ἣν ἂν καὶ

5. συστῆσαι τὸ] συστήσαιτο vulg.   14. ἀλλ'] ἃ V.

κίνησις ἤδη, ἀλλ' οὐκ ἐγίνετο. εἰ δέ τι ἦν ἐμποδὼν ἐκείνοις, ἔδει τινὰ κίνησιν γενέσθαι, ὥστε τὸ μὲν ποιῆσαι τὸ δὲ παθεῖν καὶ γενέσθαι τὴν κίνησιν ἐξ αὐτῶν, οὕτω δὲ ἀνάγκη ἔσται πρὸ τοῦ γενέσθαι τὴν κίνησιν κίνησιν εἶναι οὐ γενητήν. ἀλλ' ἡ κίνησις ἐν τῷ κινουμένῳ, ὥστε καὶ ἡ ἀΐδιος ἐν τῷ ἀϊδίως κινουμένῳ· οὐ γὰρ οἷόν τε ἀΐδιόν τι κίνησιν κινεῖσθαι μὴ ἀΐδιον ὄν. εἰ γάρ τις λέγοι ἀΐδιον εἶναι κίνησιν, τῷ ἄλλο ἐξ ἄλλου σῶμα διαδέχεσθαι αὐτήν, πρῶτον μὲν οὐ συνεχῆ τὴν κίνησιν ποιήσει καὶ μίαν· εἰ γὰρ συνεχὴς ἑνὸς ὄντος τοῦ κινουμένου αὐτήν, ἔτι ἐνδεχόμενον ἔσται τὸ ἐπιλιπεῖν τὴν κίνησιν, εἰ μήτι ἄλλο ἀΐδιον ὂν τῆς εὐτάκτου τε καὶ ὡρισμένης τῶν κινουμένων διαδοχῆς αἴτιον εἴη, ἀΐδιον σῶμα τὸ τὴν ἀΐδιον κίνησιν κινούμενον. ἀλλὰ μὴν ἀΐδιος καὶ συνεχὴς μόνη τῶν κινήσεων ἡ κυκλοφορία, τὸ ταύτην ἄρα κινούμενον ἀΐδιον. καὶ ἄριστον δὴ τῶν σωμάτων τοῦτο· τὸ γὰρ ἀΐδιον τῶν οὐκ ἀϊδίων ἄμεινον. καὶ τὸ τὴν πρώτην τῶν κινήσεων ἁπασῶν κινούμενον καὶ ἔμψυχον· τὸ γὰρ ἄριστον τῶν σωμάτων ἔμψυχον· ἄμεινον γὰρ σῶμα τὸ ἔμψυχον τοῦ ἀψύχου, τὸ δὲ κυκλοφορητικὸν σῶμα ἄριστον, ὥστε καὶ ἔμψυχον· τὸ γὰρ τῶν σωμάτων πάντων ἄριστον ἔμψυχον, τὸ δὲ κυκλοφορητικὸν σῶμα τοιοῦτον. ἀλλὰ μὴν πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, καὶ τὸ κατὰ ψυχὴν ἄρα

11. εἰ] fort. ἔστι. 19. ἄριστον] ἀόριστον T. τοῦτο om. T.

κινούμενον πᾶν ὑπό τινος. εἰ δὲ τὸ κατὰ τὴν ψυχὴν κινούμενον καθ' ὁρμὴν κινεῖται, ἡ δὲ ὁρμὴ κατ' ἔφεσίν τινος, ὥστε εἴη κἂν καὶ τὸ ἀΐδιον σῶμα καθ' ὁρμὴν καὶ κατ' ἔφεσίν τινος κινούμενον. τὸ δὲ καθ' ὁρμὴν καὶ κατ' ἔφεσιν κινουμένου ὄντος, δεῖ δὲ εἶναί τι οὗ ἐφιέμενον τοῦτο κινεῖται τὴν ἀΐδιον κίνησιν, ἀΐδιον καὶ αὐτὸ ὂν καὶ ἐνεργείᾳ· πᾶν γὰρ τὸ κινητικόν τινος ἐνεργείᾳ τι ὂν κινεῖ, καὶ τὸ ἀεὶ καὶ συνεχῶς κινοῦν ἀεὶ τὸ αὐτὸ ἔσται ἐνεργείᾳ, καὶ ἄμοιρον παντάπασιν δυνάμεως ἔσται· εἰ γὰρ ἔσται δυνάμει, οἷόν τε ἔσται καὶ τὴν κίνησιν φθαρῆναι μὴ ὄντος ἐνεργείᾳ τοῦ κινήσοντος αὐτήν. ἀλλὰ καὶ ἀκίνητον ἔσται· εἰ γὰρ καὶ τοῦτο κινήσει κινούμενον, δεήσει καὶ τούτῳ πάλιν ἄλλου κινοῦντός τινος. ἀλλ' εἰ ἀκίνητον, ἀσώματον· πᾶν γὰρ σῶμα καθ' ὃ σῶμα κινητόν. ἔσται τις ἄρα ἀΐδιος οὐσία ἁπλῆ καὶ ἀκίνητος ἐνεργείᾳ οὖσα τῆς τοῦ κυκλοφορητικοῦ σώματος ἀϊδίου τε καὶ συνεχοῦς κινήσεως. κινηθήσεται δὲ ὑπ' αὐτοῦ τὸ θεῖον σῶμα τῷ νοεῖν τε αὐτὸ καὶ ἔφεσιν καὶ ὄρεξιν ἔχειν τῆς ὁμοιώσεως αὐτοῦ· πᾶν γὰρ τὸ κινούμενον ὑπ' ἀκινήτου τινὸς κεχωρισμένον τοῦτον κινεῖται τὸν τρόπον. ἡ δεῖξις κατὰ ἀνάλυσιν· οὐ γὰρ οἷόν τε τῆς πρώτης ἀπόδειξιν εἶναι, ἀλλὰ δεῖ ἀπὸ τῶν ὑστέρων τε καὶ φανερῶν ἀρξαμένους κατὰ τὴν πρὸς ταῦτα συμφωνίαν ἀναλύσει χρω-

3. κἂν] fort. ἄν. 5. τὸ δὲ] fort. τοῦ δέ. 6. δὲ] fort. del. 20. scrib. ὑφ' αὐτοῦ . . αὐτὸ . . αὐτοῦ.

μένους συστῆσαι τὴν ἐκείνου φύσιν. ὅτι δὲ καὶ πρῶτον νοητὸν καὶ μάλιστα, καὶ πρῶτον ὀρεκτὸν καὶ μάλιστα τὸ κινητικὸν τῆς κύκλῳ κινήσεως εἶδος, ἐντεῦθεν ἂν δεικνύοιτο.

Κυρίως νοητὸν τὸ εἶδος· ἡ γὰρ ὕλη οὐδὲν οὖσα τῶν ὄντων ἐνεργείᾳ κατ' ἀναλογίαν ἐστὶν νοητὴ, καὶ ὡς ὁ Πλάτων φησὶ νόθῳ λογισμῷ· τὸ δὲ εἶδος νοητὸν ἐνεργείᾳ τι ὂν, καὶ τῶν εἰδῶν μᾶλλον νοητὸν τὸ ἐν οὐσίᾳ ἢ τὸ ἐν ἄλλῳ τινὶ, ὅτι καὶ μᾶλλον, καὶ τῶν ἐν οὐσίᾳ τὸ μάλιστα ἁπλοῦν καὶ ἀεὶ ὂν ἐνεργείᾳ· μάλιστα γὰρ νοητὸν τοῦτο τῷ τε μάλιστα εἶναι ἀεὶ ὂν ἐνεργείᾳ καὶ τῷ τῇ ἑαυτοῦ φύσει τὸ ἁπλοῦν εἶναι καὶ ἁπλοῦν μάλιστα νοητόν. καὶ γὰρ τὰ ἐν τοῖς συνθέτοις τότε εἰσὶ νοητὰ, ὅταν ὁ νοῦς αὐτὰ χωρίσῃ τῶν ἐν οἷς ἐστι καὶ ὥσπερ ἁπλᾶ αὐτὰ ἐνεργῇ, τοιαύτη δὲ ἡ κινητικὴ τοῦ παντὸς οὐσία· μάλιστα ἄρα αὐτὴ νοητή. ἀλλὰ μὴν καὶ μάλιστα ὀρεκτή· μάλιστα γὰρ [τὸ] ὀρεκτὸν τῇ ἑαυτοῦ φύσει τὸ τῇ αὐτοῦ φύσει καλὸν μάλιστα. τοιοῦτον δὲ τοῦτο· τὸ γὰρ καλὸν ἐν τῷ εἴδει μᾶλλον ἢ ἐν τῇ ὕλῃ. ἐν γὰρ τῷ ποιοῦντι μᾶλλον ἢ ἐν τῷ πάσχοντι, καί ἐστι πάσχον μὲν τὸ δυνάμει τι ὂν ποιοῦν δὲ τὸ ἐνεργείᾳ ὄν. καὶ ἐν τῷ ὡρισμένῳ μᾶλλον ἢ ἐν τῷ ἀορίστῳ· ἐν δὲ τῷ εἴδει τὸ καλὸν μᾶλλον ἢ ἐν τῇ ὕλῃ, καὶ ἐν εἴδει τῷ ἐν οὐσίᾳ μᾶλλον ἢ ἔν τινι ἄλλῳ

3. κυκλωκινήσεως vulg. 7. Πλάτων] Tim. p. 52. νόθῳ] τῷ T. 11. ἐνεργείᾳ· μάλιστα] scrib. ἐνεργείᾳ μάλιστα· μάλιστα 13. καὶ τῷ] καὶ τὸ T. fort. τὸ μάλιστα ἁπλοῦν εἶναι καὶ μάλιστα. 17. fort. αὕτη. 19. τὸ delendum.

τῶν γενῶν· διὰ γὰρ τοῦτο καὶ τἆλλα ἔστιν. καὶ τῶν ἐν οὐσίᾳ τὸ μάλιστα ὂν καὶ ἁπλοῦν καὶ ἄμοιρον τοῦ δυνάμει καλὸν μάλιστα. τοιαύτη δὲ οὖσα δέδεικται ἡ προειρημένη φύσις, κυρίως ἄρα καὶ πρώτως αὕτη ὀρεκτή τε καὶ νοητή.

Περὶ χρώματός τινα. β'.

Τὸ χρῶμα ὡρίσατο Ἀριστοτέλης πέρας τοῦ ὡρισμένου διαφανοῦς ᾗ διαφανές· τοῦ γὰρ σώματος καθόσον μὲν σῶμα πέρας ἐπιφάνεια, καθόσον δὲ διαφανὲς χρῶμα. διὸ καὶ ἅμα ἐστὶ τὸ χρῶμα τῇ ἐπιφανείᾳ· ἐπεὶ γὰρ παντὸς σώματος ὡς σώματος πέρας ἐπιφάνεια, καὶ τὸ διαφανὲς δὲ σῶμά ἐστι, καὶ τούτου πέρας τοῦ σώματος ἡ ἐπιφάνεια. ἔστι δὲ αὐτοῦ καὶ ὡς διαφανοῦς πέρας τὸ χρῶμα, καὶ ἅμα ἐστὶν αὐτοῦ τὰ πέρατα ἄμφω, εἴ γε πέρατα οὐκ ὄντα τὰ αὐτὰ ἀλλήλοις. πᾶν μὲν γὰρ χρῶμα ἐν ἐπιφανείᾳ γε καὶ σὺν ἐπιφανείᾳ, οὐ μὴν πᾶσα ἐπιφάνεια σὺν χρώματι, ὅτι μηδὲ πᾶν σῶμα διαφανὲς ὡρισμένον. τοῦ γὰρ διαφανοῦς σώματος τὸ μὲν ὡρισμένον, τὸ δὲ ἀόριστον. τὸ μὲν οὖν ἀόριστον διαφανὲς· ὁποῖά ἐστιν ὅ τε ἀὴρ καὶ τὸ ὕδωρ, ὥσπερ οὐδὲ ἐπιφάνειαν οἰκείαν τε καὶ ὡρισμένην ἔχει (ὁρίζεται γὰρ τὰ ὑγρά τε καὶ ἀόριστα σώματα τοῖς περιέχουσιν), οὕτως οὐδ' οἰκεῖον ἔχει χρῶμα, ἀλλ' ἔστι τῶν ἀλλοτρίων χρωμάτων διάκονόν τε καὶ δεκτικὸν ὥσπερ καὶ σχημάτων· καὶ

7. Ἀριστοτέλης] de anima II, 7. de sensu 4. 11. ἐπεὶ] fort. ἐπί. 16. χρῶμα] Trendelenb. ad Aristot. p. 373. σῶμα vulg. 17. γε] scrib. τε. 25. χρωμάτων] σωμάτων T.

εὐλόγως ἡ φύσις ἄχρουν ἐποίησεν τὸ διακονησόμενον τοῖς ἀλλοτρίοις χρώμασι διαφανές, διαφανὲς μὲν ὅπως ᾖ δεκτικὸν χρωμάτων, ἀόριστον δὲ καὶ ἄχρουν ὅπως μὴ τὸ οἰκεῖον αὐτοῦ χρῶμα τῇ μίξει τῇ πρὸς τὰ ὁρώμενα δι' αὐτοῦ ἐμποδίζῃ τὴν ἀληθῆ μήνυσιν αὐτῶν. τὸ δὲ ἐν τοῖς ὡρισμένοις τε καὶ στερεοῖς σώμασιν ὡς ὡρισμένον ἔχει τὸ ὡς σώματος σχῆμά τε καὶ πέρας, οὕτω δὲ καὶ τὸ ὡς διαφανοῦς καί ἐστιν ὡς διαφανοῦς αὐτοῦ πέρας χρῶμα. τὸ γὰρ χρῶμα πέρας ὡρισμένου διαφανοῦς· οὔτε γὰρ πᾶν σῶμα διαφανὲς (οὔτε γὰρ πᾶν δεκτικὸν χρωμάτων), οὔτε πᾶν διαφανὲς ὡρισμένον. τὰ δὲ ἐν βάθει τῶν ὡρισμένων διαφανῶν οὕτως ἔχει χρῶμα ὡς ἐπιφάνειάν τε καὶ σχῆμα. καὶ τῶν διαφανῶν δὲ ὡρισμένων τὰ μὲν μᾶλλόν ἐστι, τὰ δὲ ἧττον τοιαῦτα· μάλιστα μὲν γὰρ διαφανῆ τὰ λαμπρά τε καὶ λευκὰ σώματα, ἧς φύσεώς ἐστι τὸ πῦρ· ξανθὸν γὰρ τῇ μίξει τοῦ καπνοῦ μέλανος ὄντος φαίνεται. δευτέρως δὲ καὶ τρίτως ἐστὶ διαφανῆ κατὰ τὴν πρὸς τοῦτο ἀπόστασιν. ὅσα δὲ μέλανα τῶν σωμάτων, ταῦτα ὄντα ἐν στερήσει χρώματος καὶ τῆς διαφανείας ἐστέρηται. ἐπεὶ γὰρ τῶν τε ὄντων τὸ χρῶμα καὶ τῶν ἐν ἄλλοις εἶναι πεφυκότων, εἶναί τι ἔδει καὶ σῶμα ἐν ᾧ τὸ χρῶμα, καί ἐστι τοῦτο τὸ διαφανὲς σῶμα. ὕλη γὰρ τοῦτο προσεχὴς χρώματος, τὸ μὲν ἐνεργείᾳ διαφανὲς ἔχον αὐτὸ ἐνεργείᾳ, τὸ δὲ διαφανὲς δυνάμει ὡς ὕλη ὂν δεκτι-

9. δὲ] δεῖ T. 12. οὔτε γὰρ] fort. οὐδὲ γὰρ.

κὸν τῶν τε ἐναντίων χρωμάτων ἀλλήλοις ἀντικειμένων καὶ τῶν τούτοις μεταξύ. καὶ ἐν παντὶ σώματι χρῶμα ἔχοντι ἢ ὄντι χρώματος δεκτικῷ ἐστι μεμιγμένη καὶ ἡ τοῦ διαφανοῦς φύσις. ἐν οἷς μὲν οὖν σώμασιν οὖσιν διαφανέσιν ἔχουσί τι διαφανὲς ἐν αὐτοῖς τὸ πέρας φανερόν ἐστι καὶ ὡρισμένον (ἔστι δὲ ἐν τοῖς στερεοῖς τοῦτο), ἔστιν ἐν τούτοις καὶ χρῶμα φανερόν τε καὶ οἰκεῖον, καί ἐστιν ἐν μόνοις τούτοις κυρίως λεγόμενον χρῶμα, καὶ μᾶλλον ἐν οἷς τὸ μᾶλλον. τὸ δὲ ἀόριστον διαφανὲς οὐδὲν μὲν οἰκεῖον οὐδ' ὡρισμένον ἔχει χρῶμα τῷ διὰ μανότητα μηδὲν κατέχειν τε καὶ στέγειν δύνασθαι, τῷ δ' ἀλλοτρίων χρωμάτων γίνεσθαι δεκτικόν τε καὶ διάκονον οὐδὲν μὲν αὐτῶν παθητικῶς ἀναλαμβάνει, κινούμενον δ' ὑπ' αὐτῶν κατὰ τὴν παρουσίαν τε καὶ ποιάν σχέσιν πρὸς ταῦτα τῶν ἐχόντων χρῶμα οἰκεῖον, ἔστ' ἂν ᾖ ὁρᾶσθαι αὐτῷ διὰ τῆς κινήσεως τῆς γινομένης ὑπὸ τῶν ἐκείνοις ὄντων χρωμάτων ἐν αὐτῷ διακονεῖσθαι τοῖς τῶν ζώων ὁρατικοῖς ὡς ἀντιλαμβάνεσθαι δι' αὐτοῦ τῶν χρωμάτων, τοῦτο δὲ ποιεῖν οἷον τὸ διαφανὲς ἐν φωτὶ πρώτῳ κινουμένῳ ὑπὸ παρουσίας τῶν φωτίζειν φύσιν ἐχόντων πάσχον καὶ δεχόμενον αὐτὸ ὡς οἰκεῖον χρῶμα. οὐδὲ γὰρ οὐδὲ τοῦτο οἰκεῖον αὐτοῦ χρῶμα, ἀλλ' ἔστ' ἂν μὲν αὐτῷ παρῇ τὸ φωτίζειν πεφυκὸς, ἔχει τὸ φῶς, ἀπελθόντος δὲ καὶ τὸ ἐν τούτῳ

1. ἀντικειμένων om. T. 12. διαφανότητα T. 22. ἐν φωτὶ] ἐφ ῷ τι T.

φῶς πέπαυται. ἔστ' ἂν οὖν ᾖ πεφωτισμένον καὶ τὰς τῶν ἄλλων χρωμάτων ποιότητάς τε καὶ διαφορὰς ὁμοίως δεχόμενον, ὡς καὶ τὸ φῶς, διάκονον γίνεται ταῖς ὁρατικαῖς αἰσθήσεσιν οὔσαις καὶ αὐταῖς ἐξ ὁμοίως διαφανοῦς σώματος διὰ τοῦ γινομένου πάθους ἐν ταῖς ὄψεσιν ὑπὸ τοῦ ἐκτὸς ὄντος αὐτοῖς διαφανοῦς κινουμένου τὸν προειρημένον τρόπον ὑπὸ τῆς παρουσίας τῶν χρωμάτων. ὡς δὲ ἐν τῷ ἀορίστῳ διαφανεῖ καὶ διὰ μανότητα μηδὲν χρῶμα παθητικῶς ἀναλαμβάνοντι ἡ μὲν παρουσία τοῦ φωτίζειν πεφυκότος φωτὸς αἰτία, ἡ δ' ἀπουσία σκότου, οὕτω καὶ ἐν τοῖς ὡρισμένοις σώμασιν ἡ μὲν πλείων μίξις καὶ παρουσία τοῦ μάλιστα διαφανοῦς σώματος (τοιοῦτον δὲ οὗ ἐστι τὸ λευκὸν οἰκεῖον χρῶμα· μάλιστα γὰρ τοῦτο χρῶμα καὶ μάλιστα ὁρατὸν), τοῦ τε μᾶλλον κεχρῶσθαι τοῖς σώμασιν αἰτία καὶ τοῦ μᾶλλον ὁρατοῖς εἶναι, ἡ δὲ παντελὴς ἀπουσία τούτου τοῦ μέλανος αἰτία, ὃ στερήσει χρώματος ἔοικεν μᾶλλον ἢ χρώματι, τὰ δὲ μεταξὺ χρώματα κατὰ τὴν ποιὰν μίξιν τῶν τε διαφανῶν καὶ τῶν μὴ τοιούτων ἔχει τὴν γένεσιν καὶ τὴν διαφοράν. ἔστι δὲ τῶν ἁπλῶν σωμάτων μάλιστα μὲν τὸ πῦρ ὁρατόν τε τῇ αὑτοῦ φύσει, καὶ οὕτω διαφανὲς ὡς προεῖπον τοιοῦτόν ἐστιν, ὡς καὶ φωτίζειν δύνασθαι τὸν ἀέρα καὶ παρέχειν αὐτῷ τὴν καθό ἐστι τελειότητα· τὸ γὰρ φῶς ἐντελέχεια καὶ εἶδος

7. αὐτοῖς] αὐτῷ T. 9. δὲ om. T. 12. σκότου] σκότος T. 23. ἔστι δὲ] ἔτι γε T.

τοῦ ἀορίστου διαφανοῦς ἡ διαφανές. ἥκιστα δὲ τοιοῦτον ἡ γῆ. τῇ δὲ τούτων ποιᾷ μίξει πρὸς ἄλληλα καὶ τῇ τῶν γινομένων ἐκ τῆς τούτων μίξεως ἡ τῶν χρωμάτων τῶν παρὰ τὰ πρῶτα (πρῶτα δ' ἐστὶν ἐν τοῖς ἁπλοῖς καὶ πρώτοις σώμασι) γένεσίς τε καὶ διαφορά. ὡς γὰρ ἐπὶ τῆς ὀσμῆς τὰ μὲν ἐν αὑτοῖς τὴν ὀσμὴν ἔχει ὅσα τοιαύτην ἔχει τὴν γένεσιν καὶ τὴν σύστασιν, ὁποίαν φαμὲν εἶναι τὴν ὀσμῆς γεννητικὴν, τὸ δέ τι ἐστὶν ἄοσμον μὲν καθ' αὑτὸ δεκτικὸν μέντοι καὶ μηνυτικὸν τῶν ὀσμῶν τῶν ἐν ἄλλοις, διὸ ἄοσμον καλεῖται· οὕτω καὶ χρῶμα μὲν ἔχει τὰ ὡρισμένα διαφανῆ· αὕτη γὰρ φύσις χρώματος, δεκτικὸν δ' ἔστι καὶ διάκονον χρώματος τὸ ἄχρουν κατὰ τὴν αὑτοῦ φύσιν, ὅπερ ἐστὶ τὸ ἀόριστον διαφανές. ὡς οὖν ἐρωτηθέντες τί ποτ' ἔστιν ἐπιφάνεια λέγομεν στερεοῦ πέρας, οὕτω καὶ περὶ χρώματος ἐρωτώμενοι τί ποτ' ἔστιν, εὐλόγως ἂν λέγοιμεν αὐτὸ πέρας διαφανοῦς ὡρισμένου, ἐπεὶ ὃν λόγον ἔχει ἐπιφάνεια πρὸς τὸ ὡρισμένον σῶμα, τοῦτον ἔχει τὸν λόγον χρῶμα πρὸς τὸ διαφανὲς τὸ ὡρισμένον.

Ἄμεινον τέτακται τοῦτο τὸ πρόβλημα ἐν τῷ ἐπιγραφομένῳ λέξεων τινῶν ἐκ τοῦ περὶ αἰσθήσεως καὶ αἰσθητοῦ ἐξήγησις καὶ ἐπιδρομή.

Τίνων εἰσὶν οἱ ὁρισμοί. γ'

Οἱ ὁρισμοὶ τῶν μὲν καθέκαστα οὐκ εἰσὶν, ὅτι

2. ποιῷ T. 3. τῇ τῶν] τι τούτων T. 9. ὀσμὴν T. 17. περὶ] πέρας T. 22. τέτακται] ordinatum fuisset Bagolinus.

ταῦτα μετὰ συμβεβηκότων τινῶν τὸ εἶναι τοιαῦτα ἔχει καὶ οὐκ ἀεὶ τῶν αὐτῶν ἀλλὰ μεταπιπτόντων, καὶ αἰσθήσεως μᾶλλον ἢ λόγου δηλώσοντος αὐτὰ δεομένων. ἀλλ' οὐδὲ κοινοῦ τινος τῶν καθέκαστα κεχωρισμένου καὶ ὄντος ἀσωμάτου τινὸς φύσεως καὶ ἀϊδίου. πῶς γὰρ ἂν εἴη δίπουν ἀσώματόν τι, ἢ πῶς θνητὸν ἀΐδιον; λέγομεν δὲ ὁριζόμενοι τὸν ἄνθρωπον ποτὲ μὲν ζῷον πεζὸν δίπουν, ποτὲ δὲ ζῷον λογικὸν θνητόν. ἀλλ' εἰσὶν οἱ ὁρισμοὶ τῶν ἐν τοῖς καθέκαστα κοινῶν, ἢ τῶν καθέκαστα κατὰ τὰ ἐν αὐτοῖς κοινά. ἐν γὰρ τοῖς καθέκαστα τὰ μέν ἐστιν ἴδια καὶ καθέκαστά ἐστι, τὰ δὲ κοινὰ καὶ πρὸς ἄλληλα, ἅπερ ἐν πᾶσιν οἷς ἂν ᾖ κοινά τε ὄντα καὶ ἀδιάφορα καὶ κατὰ τὴν αὐτῶν φύσιν τοῦ ὁμοίας τε καὶ τῆς αὐτῆς φύσεως εἶναι πάντα τὰ ἔχοντα αὐτά ἐστιν αἴτια. τὸ γὰρ ζῷον λογικὸν θνητὸν εἰ μὲν λαμβάνοιτο μετὰ τῶν ὑλικῶν περιστάσεών τε καὶ διαφορῶν, μεθ' ὧν ἡ ὑπόστασις αὐτῶν, αἵ εἰσιν ἄλλου ἄλλαι, ποιεῖ τὸν Σωκράτην καὶ τὸν Καλλίαν καὶ τοὺς καθέκαστα ἀνθρώπους· εἰ δὲ χωρὶς τούτων λαμβάνοιτο, κοινὸν γίνοιτο, οὐχ ὅτι μή ἐστιν ἐν ἑκάστῳ τῶν καθέκαστα ἀνθρώπων· μετὰ τούτων γὰρ τὰ ἴδια τῶν καθέκαστόν ἐστιν, ἀλλ' ὅτι ἐστὶν ἐν πᾶσι τὸ αὐτό. τοῦ δὴ τοιούτου καὶ οὕτω κοινοῦ, διόπερ πολλοῖς τῶν καθέκαστα ταὐτὸν, οἱ ὁρισμοί. διὸ οὔτε ἀσωμάτου τινὸς φύσεως καὶ τῶν καθέκαστα κεχωρισμένης οἱ τῶν τοιούτων

22. γίνοιτο] deest ἄν. 24. scrib. καθέκαστα.

ὁρισμοί. τοῦ γὰρ ἀνθρώπου ὁρισμὸς τὸ ζῶον πεζὸν δίπουν κοινόν ἐστιν ἐν πᾶσιν ὂν τοῖς καθέκαστα ἀνθρώποις, ὁλόκληρον ἐν ἑκάστῳ, κοινὸν τῷ ἐν πλείοσιν εἶναι τὸ αὐτὸ ἀλλ' οὐ τῷ μέρους αὐτοῦ μετέχειν ἕκαστον. ἕκαστος γοῦν τῶν ἀνθρώπων ζῶον πεζὸν δίπουν ἐστί. διὸ οὐδὲ τῶν κοινῶν ὡς κοινῶν οἱ ὁρισμοὶ, ἀλλὰ τούτων, οἷς κοινοῖς καθεκάστην φύσιν εἶναι συμβέβηκεν. καὶ γὰρ ἑνὸς ὄντος ἐν ὑποστάσει ἀνθρώπου μόνου ὁ αὐτὸς τοῦ ἀνθρώπου λόγος· οὐ γὰρ διότι ἐν πολλοῖς ἐστιν οὗτος ὁ λόγος αὐτοῦ, ἀλλὰ διότι κατὰ τὴν τοιαύτην φύσιν ὁ ἄνθρωπος ἄνθρωπός ἐστιν, εἴτε πλείους εἶεν κεκοινωνηκότες τῆσδε τῆς φύσεως εἴτε μή. λέγονται δὲ τῶν νοημάτων καὶ τῶν κοινῶν οἱ ὁρισμοὶ, ὅτι νοῦ τὸ χωρίσαι τὸν ἄνθρωπον ἀπὸ τῶν σὺν οἷς ὑφέστηκεν ἄλλων, καὶ καθ' αὑτὸν λαβεῖν, ὁ δὲ τοῦ ὑφεστῶτος μὲν μετ' ἄλλων νοουμένου δὲ χωρὶς ἐκείνων καὶ ἄλλων, καὶ οὐχ ὡς ὑφέστηκεν, ὁ ὁρισμὸς νοήματος εἶναι δοκεῖ καὶ κοινοῦ, ὅτι χωρὶς τῶν συμβεβηκότων τὸ τοιοῦτον ἐν ἑκάστῳ νοούμενον κοινόν τί ἐστι καὶ ἐν πλείοσι ταὐτόν. ἄφθαρτα δὲ τὰ κοινὰ τῇ τῶν καθέκαστα ἐν οἷς ἐστιν ἐκ διαδοχῆς ἀϊδιότητι· τοῦ γὰρ ἐν τῇ τῶν καθέκαστα γενέσει πάντων ὁμοίου τε καὶ ταὐτοῦ μένοντός ἐστι· τοιαῦτα γὰρ τὰ κοινὰ οὐκ ἐν τοῖς συνυπάρχουσιν ἀλλήλοις τῶν καθέκαστα μόνοις ὄντα καὶ διὰ τοῦτο ὄντα κοινὰ, ἀλλ' ἐν πᾶσι τοῖς ὁμοειδέσιν. διὸ καὶ οὐδὲν κε-

19. ὁ] del.

κώλυται θνητόν τι ὂν ἀΐδιον εἶναι· θνητὸν γὰρ ὂν ὡς καθέκαστα ἀΐδιόν ἐστιν.

Σχόλιον ἐν διαλόγῳ περὶ τοῦ εἰ πάντα γίνοιτο καθ' εἱμαρμένην, ἀναιρεῖσθαι τὸ δυνατόν τε καὶ ἐνδεχόμενον. δ'.

Ἀρά σοι δοκεῖ τὰ καθ' εἱρμὸν αἰτίων γινόμενα οὕτω γίνεσθαι ὡς πάντων τε αὐτῶν προκαταβεβλῆσθαι τὰς αἰτίας καὶ ἐξ ἀνάγκης ἕκαστον αὐτῶν ἕπεσθαι τῷ αἰτίῳ προκαταβεβλημένῳ;

Πῶς γὰρ ἄλλως οἷόν τε γίνεσθαι λέγειν τὰ τοῦτον γινόμενα τὸν τρόπον;

Τὸ δὲ ἐξ ἀνάγκης ἑπόμενον αἰτίῳ τινὶ ὡρισμένῳ τε καὶ προκαταβεβλημένῳ ἆρ' οὐ δοκεῖ σοι κεκωλῦσθαι ὑπ' αὐτοῦ ἄλλως πῶς μὴ γίνεσθαι ἢ ἔχειν παρὰ τὴν πρὸς αὐτὸ ἀκολουθίαν;

Δοκεῖ καὶ τοῦτο.

Ἀλλὰ μὴν ὃ μὴ γίνεται τῷ κεκωλῦσθαι γενέσθαι, οὐκ ἂν δυνατὸν ἐκεῖνο γενέσθαι λέγοιτο, εἴ γε, ὃ δυνατόν ἐστι, τοῦτο οἷόν τε γενέσθαι ἀκώλυτον ὄν. καθ' οὓς γὰρ δυνατὸν γενέσθαι τὸ μὴ κεκωλυμένον, τὸ κεκωλυμένον γενέσθαι οὐκ ἂν εἴη δυνατόν· τοῦτο δὲ κεκώλυται γενέσθαι.

Ὀρθῶς μοι καὶ τοῦτο δοκεῖς λέγειν.

Ἀλλ' εἰ ταῦτα τοῦτον ἔχειν σοι τὸν τρόπον δοκεῖ, δῆλον ὡς συγχωροίης ἂν καὶ τῷ τούτοις

6. fort. αἰτιῶν et sic infra.

ἑπομένῳ. ἔστι δὲ τοῦτο, τῶν γινομένων κατὰ εἱρμὸν αἰτίων καὶ κατ᾽ αἰτίας προκαταβεβλημένας μηδὲν ἄλλως γίνεσθαι δυνατόν. ἕποιτο δ᾽ ἂν τούτῳ κειμένῳ τὸ καθ᾽ οὓς πάντα γίνεται καθ᾽ εἱμαρμένην, μόνον εἶναι ταῦτα δυνατὰ ὅσα γίνεται, αὐτῷ πᾶν τὸ μὴ γινόμενον μὴ γίνεσθαι διὰ τὸ κεκωλῦσθαι γενέσθαι ὑπὸ τῶν προκαταβεβλημένων τῶν γινομένων αἰτίων.

Πῶς γὰρ οὐ συγχωροίην ἂν οἷς φθάνω συγκεχωρηκώς.

Ἀλλὰ μὴν ἔκειτο ἡμῖν καὶ τὸ πάντα τοῦτον γινόμενα τὸν τρόπον ἐξ ἀνάγκης γίνεσθαι.

Ἔκειτο γάρ.

Οἷς πάλιν ἕποιτ᾽ ἂν τὸ μόνα εἶναι ταῦτα δυνατὰ ὅσα ἐξ ἀνάγκης γίνεται. εἰ γὰρ μόνα μὲν δυνατὰ τὰ γινόμενα, τὰ δὲ γινόμενα πάντα καθ᾽ εἱρμὸν αἰτίων γίνεται, τὰ δ᾽ οὕτω γινόμενα ἐξ ἀνάγκης γίνεται, δῆλον ὡς μόνα ἂν εἴη δυνατὰ τὰ ἐξ ἀνάγκης γινόμενα.

Λέγεις ὀρθῶς.

Ἀλλὰ μὴν καθ᾽ οὓς πάντα καθ᾽ εἱμαρμένην γίνεται, κατὰ τούτους πάντα καθ᾽ εἱρμὸν αἰτίων γίνεται.

Πῶς γὰρ ἄλλως.

Καθ᾽ οὓς ἄρα πάντα καθ᾽ εἱμαρμένην γίνεται, κατὰ τούτους μόνον ὃ ἐξ ἀνάγκης γίνεται, ὡς τὸ ἔστιν ἢ τὸ ἔσται, τοῦτο μόνον εἶναι δυνατὸν κατ᾽ αὐτούς.

6. αὐτῷ] fort. αὐτῷ δὲ vel τῷ. 16. δυνατὰ] δύναται vulg.

Ἀνάγκη γάρ.

Ἀλλὰ μὴν τὰ ἐξ ἀνάγκης γινόμενα οὐχ οἷόν τε μὴ γενέσθαι· ὃ γὰρ οἷόν τε μὴ γενέσθαι, ἐνδέχεται τοῦτο καὶ μὴ γενέσθαι, τὸ δὲ ἐνδεχόμενον μὴ γενέσθαι δυνατὸν μὴ γενέσθαι, ὥστε τὸ ἀναγκαίως γινόμενον ἔσται ἀδύνατον μὴ γενέσθαι.

Ὀρθῶς λέγεις.

Ἀλλ' εἰ ἀδύνατον μὴ γενέσθαι τὸ ἀναγκαίως γινόμενον μόνον, εἴη ἂν καὶ δυνατὸν γενέσθαι τὸ ἀναγκαῖον μὴ γινόμενον μόνον, οὕτω τε ἔσται τῷ ἀναγκαίως γινομένῳ ἑπόμενον τὸ ἀναγκαίως μὴ γενέσθαι, εἴ γε τὸ μὲν δυνατὸν γενέσθαι καὶ μὴ γενέσθαι δυνατὸν, ἐπὶ δὲ μόνου τοῦ ἀναγκαίως γινομένου τὸ δυνατὸν ἀληθεύεται. οὗ ὄντος ἀτόπου ἕποιτ' ἂν τοῖς πάντα γίνεσθαι καθ' εἱμαρμένην λέγουσι τὸ δυνατὸν εἶναι μόνον τὸ γινόμενον ἐξ ἀνάγκης, τοῦ ἐξ ἀνάγκης μὴ τοῦ ὡς βιαίου, ἀλλὰ τούτου λαμβανομένου, οὗ τὸ ἀντικείμενον ἀδύνατον. καίτοι κατὰ μόνους τοὺς πάντα καθ' εἱμαρμένην γίνεσθαι λέγοντας οὐκ ἄλλο τι τοῦ ἀναγκαίως γινομένου τὸ γινόμενον οὔτε τὸ γινόμενον ἐξ ἀνάγκης, οὐδ' ἐστὶ τὸ μὲν ἐξ ἀνάγκης γινόμενον ὥς φασιν τὸ γινόμενον βίᾳ, τὸ δ' ἀναγκαίως τὸ κατὰ τὴν τῶν αἰτίων ἀκολουθίαν. γνώριμον δὲ τοῦτο ἐκ τοῦ μηδὲ γίνεσθαί τι δύνασθαι βίᾳ καθ' οὓς καθ' εἱμαρμένην πάντα γίνεται. εἰ γὰρ τὰ καθ' εἱμαρμένην γινό-

1. Ἀνάγκη] fort. ἀνάγκη. Ἀνάγκη. 10. τὸ ἀναγκαῖον] scrib. τὸ ἀναγκαίως.

μενα καθ' εἱρμὸν αἰτίων γίνεται καὶ κατὰ τάξιν θείαν τινά, οὐδὲν δὲ τῶν κατὰ τάξιν γινομένων τοιαύτην βίᾳ γίνεται, οὐδὲν ἄρα τῶν καθ' εἱμαρμένην γινομένων βίᾳ γένοιτο. καὶ γὰρ εἴ τινες μὴ δοκοῦσι τοῖς περὶ αὐτοὺς γινομένοις εὐαρεστεῖν, καὶ τοῦτο παρὰ τῆς εἱμαρμένης καὶ τῆς θείας τάξεως ἔχοιεν ἄν. τί γὰρ ἄλλο λέγειν οἷόν τε τοῖς πάντα λέγουσι τὰ γινόμενα γίνεσθαι κατά τινας ἀπαραβάτους αἰτίας καὶ τοῦτο ὀνομάζουσιν εἱμαρμένην; τὸ γὰρ λέγειν τὴν εἱμαρμένην ποιεῖν τινα τοιαῦτα, ἃ χωρὶς βίας οὐ πείσεται τοῖς αἰτίοις, παντάπασιν ἀλλότριον ἂν εἶναι δόξει θείας τάξεως· πάντων δὲ καθ' εἱμαρμένην γινομένων ἀναιρεῖται τὸ βίᾳ τι γίνεσθαι· εἴη γὰρ ἂν καὶ τοῦτο καθ' εἱμαρμένην τάξιν ὡς προείρηται. κατὰ γὰρ τοὺς οὕτω λέγοντας πάντα γίνεσθαι καὶ αὐτὸ τὸ μὴ βούλεσθαι ἕπεσθαι τῷ ποιοῦντι ἔσται καθ' εἱμαρμένην, ὃ πῶς οὐ παντάπασιν ἄλογον λέγειν κατηναγκάσθαι τινὰς ὑπό τινων προκαταβεβλημένων αἰτίων ἀντιπράττειν τοῖς ἀναγκαίως ἑπομένοις;

Ἀλογώτατον μὲν οὖν.

Καὶ γὰρ ἔτι πρὸς τούτοις εἰ τὰ καθ' εἱμαρμένην γινόμενα καὶ κατὰ πρόνοιαν γίνεται, πῶς εὔλογον κατὰ πρόνοιάν τινας ἀντιπράσσειν τοῖς καλῶς γινομένοις καὶ εὐτάκτως τοῖς κατὰ πρόνοιαν;

3. οὐδὲν] add. ἄν. 4. γινόμενον vulg. 11. πείσεται] πείσεσθαι vulg. 12. scrib. δόξαι vel δόξειε. 13. δὲ om. T. 15. τάξιν] τὴν τάξιν V, fort. καὶ τάξιν. 26. τοῖς fort. del.

Ὀρθῶς λέγεις.

Καὶ γὰρ εἰ ἀναγκαῖον μὴ γενέσθαι ταῦτα τῷ κεκωλῦσθαι γενέσθαι, οὐ γίνεται ταῦτα οὐδὲ δυνατὰ γενέσθαι, εἴ γε δυνατὸν ὃ οἷόν τε γενέσθαι ἀκώλυτον.

Ὀρθῶς λέγεις.

Ἃ ἄρ' ἀναγκαῖον μὴ γενέσθαι, ταῦτ' οὐκ ἔστι δυνατὰ γενέσθαι· περὶ ὧν δὲ οἷόν τε προλέγοντας ὅτι μὴ ἔσται ἀληθεύειν, ταῦτα ἀνάγκη μὴ γενέσθαι, εἴ γε περὶ ὧν προλέγων τις ὡς ἐσομένων ἀληθεύει, ταῦτ' ἀναγκαῖον γενέσθαι.

Πῶς γὰρ ἄλλως;

Περὶ ὧν οἷόν τε προλέγοντα ὅτι μὴ ἔσται ἀληθεύειν, ταῦτ' οὐκ ἔσται δυνατὰ γενέσθαι.

Πῶς γὰρ ἂν εἴη δυνατὰ γενέσθαι, ὧν τὰ ἀντικείμενα ἐξ ἀνάγκης γίνεται;

Ἀλλ' εἰ περὶ πάντων τῶν παρὰ τὴν εἱμαρμένην οἷόν τε προλέγοντα ὅτι μὴ ἔσται ἀληθεύειν, οὐδὲν τῶν παρὰ τὴν εἱμαρμένην δυνατὸν ἔσται γενέσθαι.

Ὀρθῶς λέγεις.

Ἀλλὰ μὴν καὶ περὶ ὧν οἷόν τε προλέγοντα ὅτι ἔσται ἀληθεύειν, ταῦτα ἀνάγκη γενέσθαι· ἃ δ' ἀνάγκη γενέσθαι, ταῦτ' οὐχ οἷόν τε μὴ γενέσθαι.

Οὐ γὰρ οἷόν τε.

Περὶ ὧν ἄρα οἷόν τε προλέγοντα ὅτι ἔσται

4. ὃ οἷόν τε] ὅτι T. fort. ἀκώλυτον ὄν. 9. fort. προλέγοντα. 11. τοῦτ' T. 13. ὧν] fort. ὧν δ' vel ἄρα.

ἀληθεύειν, ταῦτ' οὐχ οἷόν τε μὴ γενέσθαι καὶ περὶ πάντων τῶν γινομένων οἷόν τε προλέγοντας ὅτι ἔσται ἀληθεύειν.

Πῶς γὰρ ἄλλως ἐνδέχεται λέγειν;

Οὐδὲν ἄρα τῶν καθ' εἱμαρμένην γενομένων οἷόν τε μὴ γενέσθαι.

Οὐ γὰρ οἷόν τε.

Ἀλλ' εἰ δυνατὸν μὲν οἷόν τε καὶ μὴ γενέσθαι, οὐδὲν δὲ τῶν καθ' εἱμαρμένην οἷόν τε καὶ μὴ γενέσθαι, οὐδὲν ἂν τῶν καθ' εἱμαρμένην γινομένων δυνατὸν εἴη. πᾶν γὰρ οἷόν τε καθ' οὓς πάντα τὰ γινόμενα καθ' εἱμαρμένην γίνεται, οὐδὲν τῶν γινομένων ὡς δυνατὸν καὶ μὴ γενέσθαι δύναται. ἐδείχθη δ' ὅτι μηδὲ τῶν παρὰ τὴν εἱμαρμένην δυνατόν τι ἔστιν. οὐδὲν ἄρα δυνατόν ἐστιν, εἴ γε πᾶν μὲν ἢ καθ' εἱμαρμένην ἢ παρὰ τὴν εἱμαρμένην, οὐδέτερον δὲ δυνατὸν αὐτῶν. καὶ γὰρ εἰ τὸ καθ' εἱμαρμένην γινόμενον δυνατόν τις λέγοι, τὸ ἀναγκαίως γινόμενον δυνατὸν ἂν εἴη λέγειν. ἀλλ' εἰ τὸ δυνατὸν γενέσθαι δυνατὸν καὶ μὴ γενέσθαι, τὸ ἀναγκαίως γινόμενον εἴη ἂν δυνατὸν μὴ γενέσθαι. εἰ δὲ παρὰ τὴν εἱμαρμένην δυνατόν τις λέγοι, συμβήσεται πάλιν τούτῳ τὸ ἀδύνατον γενέσθαι δυνατὸν γενέσθαι λέγειν. περὶ οὗ γὰρ ὁ προλέγων ὅτι μὴ ἔσται ἀληθεύει, πῶς οἷόν τε τοῦτο λέγειν ἐνδέχεσθαι γενέσθαι; δῆλον γὰρ ὅτι, εἰ καὶ δυνατὸν ἄλλως

2. γινομένων] γενομένων vulg. praesens et infra restituendum esse videtur. fort. προλέγοντα. 8. μὲν οἷον] fort. μὲν ὃ οἷον. 12. οὐδέν] fort. οὐδὲν δέ. 15. τι] τ' vulg. 24. τὸ] scrib. τὸ τό.

ἦν τῇ ἑαυτοῦ φύσει, ἀλλὰ τῷ κεκωλῦσθαι αὐτὸ ἀληθὲς ἦν προλεγόμενον ὑπ' αὐτοῦ τὸ μὴ ἔσεσθαι. καὶ γὰρ εἰ ἐστὶ δυνατὸν τοῦτο, οὗ ὑποτεθέντος εἶναι οὐδὲν ἀδύνατον συμβήσεται, παντὶ δὲ ᾧ τὸ ἀντικείμενον προλεγόμενον ἀληθές ἐστιν ὑποτεθέντι εἶναι, ἀδύνατον τὸ ἅμα τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι, οὐδὲν αὐτῶν ἐφ' ὧν τῆς ἀντιφάσεως εἰς τὸ μέλλον θάτερον μέρος ἀφωρισμένως ἀληθὲς, ἐστὶν ἐνδεχόμενον. ἐπὶ πάντων δέ φασι θάτερον μέρος τῆς ἀντιφάσεως ἀφωρισμένως ἀληθὲς εἶναι.

Φασὶ γάρ.

Οὐδὲν οὖν ἐστὶν ἐνδεχόμενον· οὔτε γὰρ καθ' ὧν ἀληθὲς ἔσται τὸ ἐνδεχόμενον, ὅτι μὴ οἷόν τε αὐτὰ μὴ γενέσθαι, οὔτε ἐφ' ὧν ψεῦδος τὸ οὐκ ἔσται, ἔσται, ὅτι μὴ οἷόν τέ τι τούτων γενέσθαι. εἰ γάρ τις ἐφ' οὗ ψεῦδος μὲν τῶν λεγομένων τὸ μὴ γενέσθαι λέγοι τὸ ἕτερον τούτων ἐνδεχόμενον ἢ τὸ γενέσθαι ἢ τὸ μὴ γενέσθαι, ἕποιτο ἂν τούτῳ ἀμφότερα λέγειν ἐνδεχόμενα. τό τε γὰρ ἐνδεχόμενον γενέσθαι ἀληθὲς τῷ ἐνδέχεσθαι καὶ μὴ γενέσθαι, καὶ ὃ ἐνδέχεται μὴ γενέσθαι, τοιοῦτον τῷ ἐνδέχεσθαι γενέσθαι. οὕτω δὲ ἔσται ἐφ' οὗ τὸ γενέσθαι ἐνδεχόμενον, ἐπὶ τούτου καὶ

1. ἑαυτῶν. vulg. 3. οὗ] οὐ vulg. 6. τῷ ἅμα V. 9. ἀληθὲς] ἀληθὲς τῆς ἀντιφάσεως ἀφωρισμένως ἀληθὲς T. ἐνδεχόμενον] ἢ δεχομένων T. 14. ἔσται] scrib. τὸ ἔσται ἔσται. 17. ψεῦδος] ψεύδους vulg. 18. λέγοι τὸ] λέγοιτο vulg. τούτων] τούτων ἐν-των vulg. syllabis in versu distincto male repetitis. 20. τούτο T. ἐνδεχόμενον T. 23. ἐνδέχεται γενέσθαι vulg.

τὸ μὴ γενέσθαι τοιοῦτο, καὶ ἐφ' οὗ τὸ μὴ γενέσθαι, ἐπὶ τούτου καὶ τὸ γενέσθαι ἐνδεχόμενον. ὁμοίως δὲ τοῦ αὐτοῦ ἐνδεχομένου γενέσθαι τε καὶ μὴ γενέσθαι, πῶς οὐκ ἄτοπον ἐπὶ τούτων τὸ μὲν ἓν μόριον τῆς προλεγομένης ἀντιφάσεως ἀφωρισμένως ἀληθὲς εἶναι λέγειν, θάτερον δὲ ψεῦδος, ὁμοίως τοῦ προκειμένου ἄμφω δυναμένου; ἀκολουθεῖ γὰρ τοῖς τὰ γινόμενα τοῦτον τὸν τρόπον λέγουσι γίνεσθαι τὸ ὁμοίως ἀληθῆ τήν τε κατάφασιν καὶ ἀπόφασιν ἐπὶ τῶν οὕτω γινομένων γίνεσθαι λέγειν ἢ ὁμοίως αὐτῶν ἑκατέραν ψευδῆ.

Διὰ τί ἡ αὔξησις κατὰ τὸ εἶδος μόνον, ἀλλ' οὐχὶ καὶ κατὰ τὴν ὕλην. ε.

Εἰ αὔξεται τὸ ὑποκείμενον τῷ αὔξεσθαι λεγομένῳ, ὑπομένει δὲ καὶ ἡ ὕλη, οὐ μόνον τὸ εἶδος· οὐ γὰρ δὴ πᾶσα ἀλλάσσεται, διὰ τί κατὰ τὸ εἶδος μόνον ἀλλ' οὐχὶ καὶ κατὰ τὴν ὕλην ἡ αὔξησις; οὐ γὰρ πᾶσα ἡ ὕλη ἡ ἐν τοῖς αὐξομένοις ἀλλάσσεται, ἀλλὰ μένοντός τινος ἐξ αὐτῆς ἄλλη προσγίνεται· οὐδὲ γὰρ ἂν ἐσώζετο τὴν ἀρχὴν, οὐδ' ἂν τὸ εἶδος ἔμενεν τῆς προϋπαρχούσης ὕλης· οὐ γὰρ ἐν τῷ τοσῇδέ τινι εἶναι τῇ ὕλῃ τὸ εἶναι ὕλῃ, ὥσπερ οὐδὲ τῇ σαρκὶ ἐν τῷ τοσῇδε εἶναι τὸ σαρκὶ εἶναι. ἢ δύο ὄντων περὶ τὸ αὐξόμενον ποιοῦ τε καὶ ποσοῦ. τόδε γὰρ τὸ αὐξόμενον, τὸ δὲ τόδε συναμφότερος οὐσία, καὶ τοῦ μὲν ποσοῦ ὡς ὕλης ὑποκειμένου, τοῦ δὲ εἴδους τὴν τοῦ ποιοῦ χώραν ἔχοντος, τὸ μὲν πο-

σὸν οὐ μένει ταὐτὸν, τὸ δὲ ποιὸν τὸ ὡς εἶδος τοῦ αὐξομένου μένει; ἐπεὶ τοίνυν τὸ ποιὸν ὃ καὶ εἶδός ἐστι, μένει, τὸ δὲ ποσὸν οὐ μένει, καὶ αἴτιον τοῦ μὴ μένειν αὐτὸ ταὐτὸν ἡ τῆς ὕλης ῥύσις, διὰ τοῦτο κατὰ μὲν τὴν ὕλην οὐκ αὔξεται τὰ αὐξόμενα, κατὰ δὲ τὸ εἶδος· τοῦτο γὰρ τὸ ταὐτὸν μένον. τοῦ γὰρ καθ' αὑτὸ ὑφεστῶτος ἡ αὔξησις κατὰ ταὐτὸ μένον ἐν αὐτῷ γίνεται, καθ' αὑτὸ δὲ ὑφεστὸς τὸ συναμφότερον, ὃ κατὰ τὸ εἶδος μένει. ἡ γὰρ ὕλη τὸ ῥέον, ἐπεὶ εἰ καὶ ὑπομένει τις ὕλη ἐν τῷ αὐξομένῳ, ἀλλ' οὐκ ἔστι ταύτης κατηγορῆσαι τὸ ηὐξῆσθαι τῷ ἑκάστοτε καὶ ταύτην, εἰ καὶ ὑπέμεινεν, ἀλλὰ μετὰ ταῦτα ῥεῖν τε καὶ ἀλλάσσεσθαι. οὐ γὰρ ἔστιν ἐν τῷ ηὐξημένῳ λαβεῖν τινα ὕλην, ἥτις διὰ παντὸς ἡ αὐτὴ μένουσα ἐν αὐτῷ κατ' ἀριθμὸν προσθήκην ἔσχεν τινὰ κατὰ ποσόν τινα. ἣν γὰρ ἂν λάβῃς, καὶ αὕτη ῥεῖ καὶ μεταβάλλεται, καὶ οὐδὲν αὐτῆς ταὐτὸ καθ' ἀριθμὸν μένει· τὸ δὲ εἶδος ταὐτὸ μένει, ἔστ' ἂν σώζηται τὸ πρᾶγμα.

Πῶς εἰ μᾶλλον τὸ ὕδωρ κατὰ τὸ ψυχρὸν ἢ κατὰ τὸ ὑγρὸν, ἡ μὲν εἰς τὸ θερμὸν αὐτοῦ ἐκ τοῦ ψυχροῦ μεταβολὴ οὐ φθείρει αὐτὸ, ἡ δὲ ἐκ τοῦ ὑγροῦ εἰς τὸ στερεὸν φθείρει. ϛ'.

Εἰ μᾶλλον τὸ ὕδωρ ὕδωρ ἐστὶν κατὰ τὸ ψυχρὸν ἢ τὸ ὑγρὸν, ὡς πῦρ μὲν κατὰ τὸ θερμὸν

7. κατὰ] fort. κατὰ τό. 8. ὑφεστὸς] ὑφεστῶτος T. 10. εἰ om. T. 12. ἑκάστοτε καὶ ταύτην] κατὰ τὴν ἑκάστοτε T. 15. αὐτῷ] scrib. ταὐτῷ.

μᾶλλον ἢ ξηρόν, ἀὴρ δὲ κατὰ τὸ ὑγρὸν μᾶλλον ἢ θερμόν, γῆ δὲ κατὰ τὸ ξηρὸν μᾶλλον ἢ ψυχρόν, τί δήποτε κατὰ μὲν τὸ ὑγρὸν μεταβάλλον οὐκ ἔστιν ὕδωρ; οὐ γὰρ ὕδωρ ὁ κρύσταλλος, κατὰ δὲ τὸ ψυχρὸν μεταβάλλον ὕδωρ ἔτι μένει; ὕδωρ γάρ ἐστι καὶ θερμὸν γενόμενον. καί τοι οὐ τὸ πῦρ μεταβάλλον κατὰ τὸ θερμὸν πῦρ ἔτι, οὐθ' ὁ ἀὴρ εἰ κατὰ τὸ ὑγρὸν μεταβάλλοι, ἀλλ' οὐδὲ γῆ μένει ἡ κατὰ τὸ ξηρὸν μεταβάλλουσα. ἐπιζητήσαι δ' ἄν τις καὶ τοῦτο ἐπ' αὐτοῦ, τί δήποτε, εἰ κατὰ τὸ ψυχρὸν αὐτῷ τὸ εἶναι, ἡ κατὰ τὸ ψυχρὸν ἐπίτασις φθείρει αὐτό, εἴ γε πήγνυται μὲν διὰ τὴν ὑπερβάλλουσαν ψυχρότητα, παγὲν δὲ οὐκ ἔτι ἐστὶν ὕδωρ ἐνεργείᾳ. οὐδὲ γὰρ ἡ κατὰ τὸ θερμὸν ἐπίτασις πυρὸς φθαρτική, οὔτε ἡ κατὰ τὸ ὑγρὸν ἀέρος, οὔτε γῆς ἡ κατὰ τὸ ξηρόν, οὐθ' ὅλως ἄλλου τινὸς ἡ κατὰ τὸ οἰκεῖον εἶδος ἐπίτασις φθορᾶς αἰτία. ἢ ἐπεὶ ἡ κατὰ τὸ ψυχρὸν εἰς τὸ θερμὸν μεταβολὴ τοῦ ὕδατος ἀέρος ἐστὶ γεννητικὴ (οὐδὲν γὰρ οἷόν τε ἄλλο σῶμα ἐξ ὕδατος κατὰ μόνην τὴν ἐκ τοῦ ψυχροῦ γενέσθαι μεταβολήν), οὐκ ἔστι δὲ ἀὴρ θερμὸς μόνον ἀλλὰ καὶ ὑγρός, καὶ τό γε εἶναι αὐτῷ ἀέρι κατὰ τὴν ὑγρότητα μᾶλλον, ἔστι δ' οὐχ ὅμοιον τὸ ὑγρὸν ἔν τε ὕδατι καὶ ἀέρι· τὸ μὲν γὰρ ὕδωρ παχύτερον, διὸ καὶ ἀναπληστικόν, ἡ δὲ τοῦ ἀέρος ὑγρότης λεπτή· οὐ μόνον δεῖ τῆς

4. οὐκ ἔστιν ὕδωρ om. T. 8. fort. μεταβάλλει. 23. τό γε] τό τε T. 26. ἀναπληστικόν] ἂν ἀπληστικὸν vulg.

κατὰ τὸ ψυχρὸν τῷ ὕδατι μεταβολῆς, ἀλλὰ καὶ τῆς κατὰ τὸ ὑγρόν; καὶ μάλιστα ἐπεὶ ἡ τοιάδε ὑγρότης εἰδοποιὸς τοῦ ἀέρος, εἰς ὃν ἡ κατὰ τὸ ψυχρὸν τοῦ ὕδατος μεταβολή, ἡ δὲ κατὰ τὸ ὑγρὸν τῷ ὕδατι μεταβολὴ ὑπὸ τοῦ θερμοῦ καὶ τοῦ ἐν τούτῳ ξηροῦ γίνεται λεπτύνοντος αὐτὸ καὶ τὴν ἐν αὐτῷ παχύτητα μεταβάλλοντος, ἥτις μεταβολὴ δεῖται χρόνου. διὰ τοῦτο μέχρις ἂν ἡ ἐν τῷ ὕδατι γενομένη θερμότης τὴν ὑγρότητα εἰς τοσοῦτο μεταβάλλῃ, ὡς εἶδος ἀέρος γενέσθαι, ὕδωρ ἔτι μένει ὄν, οὐ τοιοῦτο μὲν ὁποῖον τὸ εἰλικρινὲς ὕδωρ, ἀλλὰ λεπτότερον· λεπτότερον γὰρ τὸ αὐτὸ ὕδωρ θερμανθὲν ἢ πρὸ τοῦ, καὶ τὰ ἀποψυχθέντα δὲ πάλιν ὕδατα λεπτότερα τῶν τὴν ἀρχὴν μὴ τεθερμασμένων· ὁδὸς γὰρ τῷ ὕδατι τῆς εἰς ἀέρα μεταβολῆς ἡ θερμότης, καὶ οὐχ ὅμοιον τὸ ὕδωρ θερμανθέν τε καὶ πρὸ τοῦ· ὡς δ' ἡ θερμότης τὴν ὑγρότητα λεπτύνει, οὕτω πάλιν ἡ ψυχρότης παχύνει τε καὶ συνίστησιν, καὶ ἐπεὶ ἡ τοιαύτη τοῦ ὑγροῦ σύστασις ὑπὸ τοῦ ψυχροῦ ἐν χρόνῳ καὶ αὐτὴ γίνεται, διὰ τοῦτο οὐδ' ὁ ἀὴρ ψυχθεὶς ὕδωρ εὐθύς, ἀλλ' ἀὴρ μένει, ἔστ' ἂν τὸ ὑγρὸν ἔτι λεπτὸν ᾖ. ἡ δὲ κατὰ τὸ ὑγρὸν μεταβολὴ οὐκ ὂν ὄντως εἰδοποιὸν τοῦ ὕδατος ὡς τὸ ψυχρὸν τὸ ὕδωρ φθείρειν δοκεῖ, ὅτι μὴ μόνον εἰς γῆν μεταβολὴ τῷ ὕδατι γίνεται κατὰ τὴν ὑγροῦ μεταβολήν, ἀλλὰ καὶ εἰς κρύσταλλον. οὐ μὴν ἀλλὰ καὶ οὗτος ὕδωρ πως

16. ἡ] ἢ vulg. 21. καὶ αὐτὴ] ἡ τοιαύτη T.

ἔτι· ἀνάλογον γὰρ τῷ ὕδατι τῷ θερμῷ ὁ κρύσταλλος· ἄμφω γὰρ πεπονθός τι ὕδωρ καὶ ἐν μεθορίῳ τὸ μὲν ὕδατός τε καὶ ἀέρος, τὸ δὲ ὕδατός τε καὶ γῆς. ἔστι δὲ καὶ ἐπὶ τῶν ἄλλων σωμάτων τῶν ἁπλῶν τὴν εἰς τὰ παρακείμενα αὐτοῖς μεταβολὴν κατὰ τὴν θατέρου τῶν εἰδοποιούντων αὐτὰ μεταβολὴν ἰδεῖν δεομένην χρόνου. οὐ γὰρ ὡς δοκεῖ κατὰ θάτερον αὐτοῖς ἡ μεταβολὴ μόνον, ἀλλὰ καὶ κατ' ἄμφω. τῷ δὲ τὴν κατὰ θάτερον μεταβολὴν μὴ εἰς τὸ ἐναντίον γίνεσθαι, ἀλλ' ἢ εἰς ἄνεσιν ἢ ἐπίτασιν τῆς αὐτῆς ποιότητος, κατὰ τὴν εἰς τὸ ἐναντίον τῶν ἐν αὐτῷ μεταβολὴν μόνον μεταβάλλειν δοκεῖ· οὔτε γὰρ εὐθὺς γῆ τὸ πῦρ, ἐὰν ψυχθῇ· δεῖ γὰρ ποιὰν γενέσθαι τὴν ξηρότητα. διὸ οὔτε καπνὸς οὔτε αἴθαλος ἤδη γῆ. ἀλλ' οὐδ' ἂν εἰς ὑγρὸν μεταβάλῃ τὸ πῦρ μόνον, ἀὴρ ἤδη· δεῖ γὰρ οὕτω καὶ ποιᾶς θερμότητος. διὸ ἐν μεθορίῳ τινὶ πρῶτον γίνεται. ὁ δ' αὐτὸς καὶ ἐπὶ τῶν ἄλλων λόγος. τοῦ δὲ ὕδατος εἶδος οὐχ ἁπλῶς τὸ ψυχρὸν, εἰ καὶ κατὰ τοῦτο μᾶλλον, ἀλλὰ τὸ ψυχρὸν μετὰ τοῦ ὑγροῦ. ἔστ' ἂν οὖν σώζεσθαι δύνηται τὸ ὑγρὸν ὄντος ἐν αὐτῷ τοῦ ψυχροῦ εἶδος τὸ ψυχρὸν τοῦ ὕδατος· τὸ δὲ φθαρτικὸν τοῦ ὑγροῦ οὐκ ἔτι οἷόν τε ὕδατος εἶδος εἶναι. τὸ ψυχρὸν τοιοῦτο δὴ ψυχρὸν εἶδος αὐτοῦ, οὗ ἡ ἐπίδοσις οὐκ ἔστιν ὕδατος τουτέστιν ὑγρότητος φθαρτική.

16. οὔτε αἴθαλος ἤδη γῆ] οὔθαλος ἤδη T. 20. δὲ om. T. 23. εἶδος] εἴδους T. 27. ὑγρότης T.

Πῶς οὐκ ἐναντία τό τε μέγα καὶ τὸ μικρὸν, εἴ γε εἰς ἐναντία μὲν ἡ μεταβολὴ, τὸ δ' αὐξόμενον καὶ μειούμενον εἰς ταῦτα μεταβάλλει. ζ'.

Εἰ τοῖς κινουμένοις πᾶσιν ἐξ ἐναντίου εἰς ἐναντίον ἡ μεταβολὴ, τὰ δ' αὐξόμενα καὶ μειούμενα κινεῖται, εἴη ἂν καὶ τούτοις ἐξ ἐναντίων εἰς ἐναντία ἡ μεταβολή. γίγνεται δ' αὐτοῖς ἡ μεταβολὴ εἰς μέγεθος καὶ μικρότητα· τῷ μὲν γὰρ αὐξομένῳ εἰς μέγεθος ἡ ἐπίδοσις, τῷ δὲ μειουμένῳ εἰς μικρότητα ἡ συστολή. ἐναντίον ἄρα τὸ μέγα καὶ τὸ μικρόν. ἀλλ' οὐ δοκεῖ, ὡς διὰ πλειόνων Ἀριστοτέλης ἐν κατηγορίαις ἔδειξεν. ἢ οὐχ ἁπλῶς εἰς μέγεθος καὶ μικρότητα μεταβολὴ τοῖς αὐξομένοις τε καὶ μειουμένοις, ἀλλὰ τοῖς μὲν αὐξομένοις κατὰ φύσιν (ταῦτα δ' ἔστι τὰ τῆς θρεπτικῆς ψυχῆς κεκοινωνηκότα,) εἰς τελειότητα καὶ τέλειον μέγεθος ἡ ἐπίδοσις, τὰ δὲ μειούμενα ἐξίσταται τῆς τελειότητος καὶ εἰς τὸ ἀτελὲς συστέλλεται; εἰς τὸ τέλειον οὖν μέγεθος καὶ τὸ ἀτελὲς αὐτοῖς ἡ μεταβολὴ γίνεται, ταῦτα δὲ ἐναντία, εἰ καὶ μὴ τὸ μέγα τῷ μικρῷ ἁπλῶς ἐναντίον ἔλεγεν. καὶ ἔτι τὴν κίνησιν εἰς τὰ ἐναντία μεταβολὴν λέγει τὰ ἐναντία κοινότερον λαμβάνων. ἐναντία γὰρ ἔθος αὐτῷ λέγειν καὶ τὴν στέρησιν καὶ ἕξιν καὶ τὰ πρός τι ἀντικείμενα.

10. τοῦ δὲ μειουμένου T. 13. κατηγορίαις] cap. 6. 22. εἰ] ἢ V. μὴ τὸ] τὸ μὴ vulg.

τὴν γοῦν ὑπερβολὴν καὶ τὴν ἔλλειψιν ἐν τοῖς Ἠθικοῖς ἐναντία λέγει κατὰ τὸ πρός τι ἀλλήλοις ἀντικείμενα. καὶ τὸ μέγα οὖν καὶ τὸ μικρὸν ὄντα πρός τι λέγοιτ' ἂν ἐναντία, οὐ τὰ κυρίως ἐναντία, ἀλλ' ὡς τὰ πρός τι. ἢ οὐδὲ γίνεται κατ' αὐτὸν κίνησις κατὰ τὸ πρός τι; οὐ γὰρ δεξιόν τι γίνεταί τινος πάντως κινηθὲν αὐτὸ, θερμὸν δέ τι γίνεσθαι ἢ ἄνω οὐχ οἷόν τε μὴ κινηθὲν, ἢ εἰ καὶ μὴ αὐτὸς ὁ δεξιὸς γενόμενος διὰ μεταβολῆς τῆς κατὰ τὴν σχέσιν τοιοῦτος ἐγένετο. διὰ τοῦτο γὰρ οὐκ ἔστι κατὰ τὸ πρός τι κίνησις, ὅτι μὴ γίνεται κατὰ ταύτην τὴν σχέσιν μεταβολὴ κινήσεως τῷ μεταβάλλοντι κατὰ τὴν σχέσιν· οὐ γὰρ, ὡς κατὰ τόπον γίνεται μεταβολὴ αὐτοῦ τοῦτον τὸν τρόπον ἀλλάσσοντος καὶ μεταβάλλοντος κατὰ τόπον, ὁμοίως καὶ ἡ κατὰ ποιότητα καὶ ἡ κατὰ ποσὸν, οὕτω δὲ καὶ ἡ κατὰ τὸ πρός τι, ἡ κατὰ τὴν σχέσιν ὑπαλλαγὴ γίνεται καὶ κινουμένων τῶν ὑπαλλασσόντων τὴν σχέσιν κατὰ τὴν σχέσιν· καὶ γὰρ μὴ κινουμένων ἡ σχέσις ἀλλάσσεται. οὐκ ἐπεὶ μὴ οὕτως οὖν ἡ κατὰ σχέσιν ὑπαλλαγὴ γίνεται, διὰ τοῦθ' οἷόν τε ἀλλαγὴν σχέσεως γενέσθαι χωρὶς κινήσεως. δεξιὸς γὰρ οὐκ ἄν τις ἄλλου γένοιτο μὴ γενομένης κατὰ τόπον ἀμφοῖν κινήσεως ἢ θατέρου· ἀλλ' οὐδὲ διπλάσιον ἂν γένοιτο

2. Ἠθικοῖς] Nic. III, 8. 15 τοῦτον τὸν τρόπον] fort. τούτου τὸν τόπον. 16. τόπον] τὸ ποιὸν T. 22. οὖν] om. T, post οὐκ ponendum est. 26. ἀλλ' οὐδὲ] ἄλλου δὲ vulg.

ἄλλο ἄλλου μὴ κατὰ τὸ ποσὸν γενομένης κινήσεως. ὥστε εἰ καὶ μή ἐστι κίνησις κατὰ τὸ πρός τι, ἀλλὰ διὰ κινήσεώς γέ τινος ἡ εἰς τὰς διαφόρους σχέσεις μεταβολή. ὥστε κατά γε τοῦτο οὐδὲν ἂν κωλύοι καὶ τὴν εἰς μέγα καὶ μικρὸν μεταβολὴν κατὰ σχέσιν ἀλλήλοις ἀντικείμενα διὰ κινήσεως γίνεσθαι, συγχωρουμένου τοῦ καὶ τὰ ὡς πρός τι ἀντικείμενα ἐναντία λέγεσθαι καὶ εἶναι καὶ τὰς εἰς ταῦτα μεταβολὰς ἐναντία. ἢ οὐ λέγεται ὑπ' αὐτοῦ τὰ πρός τι ἐναντία; οὐδὲ γὰρ ἡ ὑπερβολὴ καὶ ἔλλειψις ἐναντία ὑπ' Ἀριστοτέλους λέγεται καθὸ πρός τι ἐστὶν, ὡς δῆλον ἐκ τοῦ λέγεσθαι μὲν αὐτὰ πρὸς ἄλληλα (ἡ γὰρ ὑπερβολὴ ἐνδείας ὑπερβολὴ, καὶ ἡ ἔνδεια ὑπερβολῆς ἔνδεια), ἐναντία δ' εἶναι μὴ κατὰ τὴν σχέσιν ταύτην, ἀλλὰ καθόσον τὸ μὲν τοῦ συμμέτρου πλέον ἐστίν· τὸ μὲν γὰρ μᾶλλον τοιοῦτο, τὸ δὲ ἔλαττον τοῦ συμμέτρου· τοιοῦτον γὰρ τὸ ἐλλεῖπον. οὐ γὰρ τὰ ὁπωσοῦν ὑπερβάλλοντα καὶ ἐλλείποντα ἐναντία λέγει, ἀλλὰ τὰ πρὸς τὸ σύμμετρον οὕτως ἔχοντα, πρὸς ὃ οὐκ ἔτι σώζει τὴν κατα τὸ πρός τι σχέσιν οὐδέτερον αὐτῶν. καὶ τὸ λευκὸν δὲ καὶ τὸ μέλαν, καθὸ μὲν ἐναντία ἀλλήλοις, λέγεται πρός τι καὶ οὐκ ἐναντία, καθὸ δὲ τὸ μὲν λευκὸν τοιόνδε χρῶμα, τὸ δὲ μέλαν τοιόνδε, ἐναντία, ἀλλ' οὐ πρός τι. τὰ γὰρ ἐναντία καθόσον μὲν δηλοῖ φύσεις τινὰς

26. ἀλλ' οὐ] ἄλλου vulg.

πλεῖστον ἀλλήλων διαφερούσας, οὐ πρός τι· καθόσον δὲ οὕτως ὀνομάζεται, πρός τι ἐστίν.

Πρὸς τὸ μὴ εἶναι τὸ εἶδος ἐν τῇ ὕλῃ ὡς ἐν ὑποκειμένῳ. ή.

Πρὸς τὸ μὴ εἶναι τὸ εἶδος ἐν τῇ ὕλῃ ὡς ἐν ὑποκειμένῳ, μηδὲ τὴν ψυχὴν ἐν τῷ σώματι ἣν λεγόμενον, ὅτι πρὸς τὸ εἶναι τῇ ὕλῃ ἐνεργείᾳ τὸ εἶδος αἴτιον· οὐ γὰρ οἷόν τε εἶναι αὐτὴν ἐν ὑποστάσει χωρὶς τοῦ εἴδους, τὸ δὲ ἐν ὑποκειμένῳ ὂν ἔν τινί ἐστιν ἐνεργείᾳ ὄντι ὃ δύναται εἶναι καὶ χωρὶς τοῦ ἐν ὑποκειμένῳ αὐτῷ ὄντος πρὸς ὃ ἀντέπιπτεν τὸ καὶ τὰ σώματα βοηθεῖσθαι μὲν πρὸς τὸ εἶναι ἐν ὑποστάσει ὑπὸ τῶν συμβεβηκότων, εἴ γε πᾶν σῶμα ἀνάγκη μετὰ σχήματος εἶναί τινος καὶ χρώματος, ὁμολογεῖσθαι δὲ ταῦτα ἐν ὑποκειμένῳ εἶναι τῷ σώματι. οὐκ αὔταρκες οὖν πρὸς τὸ μὴ εἶναι ἐν ὑποκειμένῳ τινὶ τὸ συντελεῖν τῷ ὑποκειμένῳ αὐτῷ εἰς τὸ εἶναι ἐν ὑποστάσει. ἢ εἰ μέν τι ἁπλῶς συντελεῖ τινι εἰς τὸ εἶναι ἐν ὑποστάσει, οὐ κεκώλυται τοῦτο ἐν ὑποκειμένῳ εἶναι αὐτῷ, ὡς ἐδείχθη ἐπὶ τοῦ σώματος καὶ τῆς ποιότητος, ἧς χωρὶς ἀδύνατον εἶναί τι ἐν ὑποστάσει σῶμα· εἰ δέ τι εἴη ὡς μέρος συντελοῦν τούτῳ ἐν ᾧ ἐστι, τοῦτο οὐχ οἷόν τε ἐν ὑποκειμένῳ εἶναι τούτῳ οὗ ἐστι μέρος; τὸ δὲ εἶδος τούτῳ ἐν ᾧ ἐστιν, ὡς

17. μὴ] fort. del. 25. τούτῳ] τοῦτο T.

μέρος συντελοῦν φαίνεται. δεῖ μὲν γὰρ τὴν ζήτησιν τοῦ πότερον ὡς ἐν ὑποκειμένῳ τινί ἐστι τὸ προκείμενον ἢ μή, ποιεῖσθαι λαβόντας τι πρᾶγμα, ἐν ᾧ ἐστι μὲν τοῦτο περὶ οὗ ἡ ζήτησις, ζητεῖται δὲ τὸ πῶς ἐστιν ἐν αὐτῷ. ὁ γὰρ δεικνὺς ὅτι τὸ λευκὸν ἐν σώματι ὡς ἐν ὑποκειμένῳ, λαβών τι σῶμα, ἐν ᾧ τὸ λευκόν ἐστι, καὶ δείξας ὂν ἐν τῷ σώματι αὐτὸ μήτε ὡς μέρος μήθ' ὡς δυνάμενον χωρὶς αὐτοῦ εἶναι ἔδειξεν, ὅτι ἐστὶν ἐν ὑποκειμένῳ αὐτῷ. οὕτω δὲ δεῖ καὶ τὸν ζητοῦντα περὶ τοῦ εἴδους, πότερον ἐν ὑποκειμένῳ ἐστὶν ἢ μή, λαβεῖν τι τοιοῦτο, ἐν ᾧ ἐστι μὲν ἤδη τὸ εἶδος, ζητεῖται δὲ τὸ πῶς. ἐν μὲν οὖν τῇ ὕλῃ, εἰ καθ' αὑτὴν λαμβάνοιτο, οὔπω ἐστὶ τὸ εἶδος· διὸ οὐδ' ἂν ζητοίη τὸ πῶς ἐστιν ἐν αὐτῇ τὸ μηδὲ τὴν ἀρχὴν ὂν ἐν αὐτῇ. ἐπεὶ δέ ἐστιν ἐν τῇ συναμφοτέρῳ οὐσίᾳ τὸ τοιοῦτον εἶδος, χρὴ τοιοῦτό τι προχειρισαμένους ἐπ' αὐτοῦ τὴν ζήτησιν ποιεῖσθαι. ἀλλὰ μήν, ἣν ἂν λάβωμεν συναμφότερον οὐσίαν, ἐν αὐτῇ τὸ εἶδος τὸ ὂν ἐν αὐτῇ τὸ ὂν ὡς μέρος ἐστὶ τοῦ συναμφοτέρου. καὶ γὰρ ἡ ψυχὴ ἐν τῷ ὀργανικῷ σώματι, ἐν ᾧ ἐστιν, οὕτως ἐστὶν ὡς μέρος. εἰ δ' ὡς μέρος, οὐκ ἂν εἴη ὡς ἐν ὑποκειμένῳ ὂν τούτῳ, ἐν ᾧ ἐστιν οὕτως ἔστιν, οὔθ' ἡ ψυχὴ οὔτε τι εἶδος ὅλως. ἢ ἐρεῖ τις καὶ τὸ λευκὸν τοῦ μὲν λευκοῦ σώματος εἶναι μέρος, ἐν ὑπο-

2. πότερον] πρότερον vulg. 10. δὲ δεῖ καὶ] δέδεικται T. 15. ζητοίη τὸ] fort. ζητοῖτο τό. 20. αὐτῇ] fort. ταύτῃ. 25. alterum ἐστὶν del.

κειμένῳ δ' εἶναι τῷ σώματι ᾧ συντελεῖ πρὸς τὸ εἶναι ἐν ὑποστάσει, διὸ καὶ τὸ εἶδος τῆς μὲν συναμφοτέρου οὐσίας μέρος ἔσεσθαι, ἐν δὲ τῇ ὕλῃ ᾗ συντελεῖ πρὸς ὕπαρξιν, εἶναι ἐν ὑποκειμένῳ; ἆρ' οὖν χρὴ λέγειν δεῖν μὲν τὸ ἐν ᾧ ζητεῖται, εἴ ἐστί τι ὡς ἐν ὑποκειμένῳ, πάντως εἶναι τόδε τι καὶ ἐνεργείᾳ ὑπάρχον (οὐ γὰρ δὴ ἐν τῷ μὴ ὄντι οἷόν τέ τι εἶναι ἐν ὑποκειμένῳ), τῶν δὲ τούτῳ συντελούντων πρὸς τὸ εἶναι ἐν ὑποστάσει τε καὶ κατ' ἐνέργειαν τῷ εἶναι ἐν αὐτῷ ὅσα μὲν ἐν αὐτῷ μόνον εἰς τὸ ἐν ὑποστάσει εἶναι συντελεῖ, μηκέτι δὲ καὶ τὸ τόδε τι εἶναι, ταῦτα ἐν ὑποκειμένῳ αὐτῷ εἶναι (καθ' ἃ γάρ τι σῶζον τὴν οἰκείαν φύσιν οἷόν τε μεταβάλλειν, ταῦτα ἐν ὑποκειμένῳ ἐστὶν αὐτῷ)· ὅσα δὲ μὴ μόνον εἰς τὸ ὑφεστάναι, ἀλλὰ πολὺ πρότερον εἰς τὸ τόδε τι εἶναι συντελεῖ τινι, καθ' ἃ μεταβάλλον οὐκέθ' οἷόν τε μένειν τοῦτο ὃ ἦν, ταῦτα δὲ μηκέτι ἐν αὐτῷ εἶναι ὡς ἐν ὑποκειμένῳ. πῶς γὰρ ἂν εἴη ἐν ὑποκειμένῳ ἀνθρώπῳ τοῦτο οὗ ἡ ἀπουσία φθείρει τὸν ἄνθρωπον; διὸ ἡ μὲν γραμματικὴ ἐν ὑποκειμένῳ τῷ ἀνθρώπῳ τῷ ἔχοντι αὐτὴν, καίτοι συντελοῦσα αὐτῷ πρὸς τῷ γραμματικῷ εἶναι (οὐ γὰρ ἐν τῇ τῆς γραμματικῆς ἀπουσίᾳ καὶ ἄνθρωπος εἶναι παύεται)· ἡ δὲ ψυχὴ οὐκέτ' ἐν ὑποκειμένῳ αὐτῷ, ὅτι πρὸς τὸ εἶναι ἀνθρώπῳ ἡ συντέλεια αὐτῆς, ἀλλ' οὐ πρὸς τὸ ποιῷ ἢ ποσῷ εἶναι ἢ ποῦ ἢ τινὶ τῶν τοιούτων ὄν· τῶν τοιούτων γὰρ τὸ εἶδος τὸ

11. τὸ ἐν] τὸ T. 13. καθ' ἃ] κατὰ T.

φυσικόν, εἴ γε κατὰ τὸ εἶδος ἑκάστῳ τὸ εἶναι τοῦτο ὅ ἐστιν. ἐν μὲν οὖν τῷ συναμφοτέρῳ τε καὶ τῷδέ τινι ὄντι διὰ τοῦτο τὸ εἶδος οὐκ ἐν ὑποκειμένῳ· μέρος γὰρ τῆς οὐσίας τῆς ἑκάστου οὕτως ἐν αὐτοῖς ὄν, οὐδὲ ἐν τῇ ὕλῃ δὲ μόνον ὅτι μηδὲ τὴν ἀρχὴν αὕτη οὕτως ὑποκείμενον ὡς τόδε τὶ μὴ ἔχουσά πως ἐν αὑτῇ τὸ εἶδος, ἐν δὲ τοῖς οὕτως οὖσιν τὸ ἐν ὑποκειμένῳ· τὶ γὰρ δεῖ εἶναι καὶ τόδε τι ἐν ᾧ τὸ ἐν ὑποκειμένῳ· τοιοῦτον γὰρ τὸ μέρη ἔχον. ἔτι εἰ τὸ μὲν ὑποκείμενον τοῦ ἐν ὑποκειμένῳ ὄντος αὐτῷ διαφέρει τῷ τὸ μὲν ὑποκείμενον δύνασθαι καὶ ἄνευ τῶν ἐν ὑποκειμένῳ ὄντων αὐτῷ εἶναι· καὶ γὰρ εἰ μὴ οἷόν τε κηρὸν εἶναι χωρὶς σχήματος, ἀλλὰ χωρίς γε τούτου τοῦ σχήματος ὃ νῦν ἔχει οἷόν τε αὐτὸν εἶναι, τὸ δὲ ἐν ὑποκειμένῳ ὂν μὴ δύνασθαι χωρισθέντος τοῦ ὑποκειμένου αὐτὸ εἶναι· τὴν δὲ ὕλην καὶ τὸ εἶδος ἀδύνατον χωρὶς ἀλλήλων εἶναι τῷ πρὸς ἄλληλα αὐτὰ λέγεσθαι, τὰ δὲ πρὸς ἄλληλα λεγόμενα ἅμα εἶναι τῇ φύσει, εἴ γε πρός τί ἐστιν οἷς τὸ εἶναι ταὐτόν ἐστι τὸ πρός τί πως ἔχειν, οὐδ' οὕτως ἂν τὸ εἶδος εἴη ἐν ὑποκειμένῳ τῇ ὕλῃ. ἢ δύναται καὶ ἐπὶ τῆς ὕλης λέγεσθαι, ὅτι χωρὶς μὲν εἴδους οὐχ οἵα τε εἶναι, ὥσπερ οὐδὲ ὁ κηρὸς χωρὶς σχήματος, χωρὶς δὲ τοῦ εἴδους τοῦδε οἷόν τε αὐτὴν εἶναι, ὡς καὶ τὸν κηρὸν χωρὶς τοῦδε τοῦ σχήματος; ἢ εἰ ἡ ψυχὴ οὐκ ἐν ἄλλῳ τινὶ σώματι οἵα τε εἶναι ἢ γενέσθαι ἢ ἐν τῷ ὀργανικῷ, τούτου δ' οὐκ ἔστι μέρος, οὐκ

9. τὸ om. T. δεῖ] δ' T. 23. ἢ] ἡ vulg.

ἂν εἴη ἐν ὑποκειμένῳ, τῶν δὲ σχημάτων ἕκαστον οὐκ ἐν ἀφωρισμένῳ γίνεται σώματι; ἔτι ὁ ἄνθρωπός ἐστι μὲν καὶ μετὰ ψυχῆς, ἔστι δὲ καὶ μετὰ χρώματός τε καὶ σχήματος, ἀλλ' οὐχ ὁμοίως· ἀλλὰ μετὰ μὲν ψυχῆς ὡς μέρους καὶ μάλιστα εἰς τὸ ἀνθρώπῳ εἶναι συντελούσης· ἐν ᾧ γὰρ ἂν ᾖ ἡ τοιαύτη ψυχή, τοῦτ' ἄνθρωπος· οὐκέτι δ' οὕτω τὸ χρῶμα καὶ τὸ σχῆμα ἐν τῷ ἀνθρώπῳ· οὐ γὰρ πᾶν τὸ ἔχον τοιοῦτο σχῆμα ἢ χρῶμα ἄνθρωπος. διὸ τὰ μὲν ἐν ὑποκειμένῳ αὐτῷ, οὐκ ἔτι δὲ καὶ ἡ ψυχή. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων τῶν φυσικῶν εἰδῶν.

Πῶς οὐχὶ τῇ εὐεξίᾳ ἡ νόσος ἀντίκειται μᾶλλον τῆς καχεξίας. θ'.

Ἐζητήθη, πῶς οὐχὶ τῇ εὐεξίᾳ οὔσῃ ἐπιτεταμένῃ ὑγείᾳ ἡ νόσος μᾶλλον τῆς καχεξίας ἀντίκειται, εἴ γε τὰ ἐναντία πλεῖστον ἀλλήλων διέστηκεν ἐν τῷ αὐτῷ γένει. εἰ γὰρ ἡ καχεξία ἐν ὑγιαίνοντι γίνεται, εἴη ἂν ἀνειμένη τις οὖσα ὑγεία. οὕτω δὲ ἔσται τῇ ἐπιτεταμένῃ ὑγείᾳ ἡ ἀνειμένη ὑγεία ἐναντία· ἄτοπον δὲ τῇ μὲν ὑγείᾳ τὴν νόσον λέγειν εἶναι ἐναντίον, μηκέτι δὲ τῇ ἐπιτεταμένῃ ὑγείᾳ τὴν νόσον ἢ τὴν κατὰ τὴν νόσον ἐπίτασιν· αὕτη γὰρ ἔσται πλεῖστον αὐτῆς διεστῶσα. ἢ εἰ μὲν περὶ ταὐτὸν ἐγίγνετο ἥ τε ὑγεία καὶ ἡ εὐεξία, ἔτι δ' ἡ νόσος καὶ

7. οὐκέτι δ'] οὐκέθ' T.

ἡ καχεξία, ἣν ἂν ὑγιὲς τὸ λεγόμενον, ἐπειδὴ δεῖ περὶ ταὐτὸν τὰ ἐναντία γίνεσθαι; εἰ δ' ἐν ἄλλῳ μὲν ἡ ὑγεία, ἐν ἄλλῳ δὲ ἡ εὐεξία, καὶ ἐν ᾧ μὲν ἡ ὑγεία, ἐν τούτῳ καὶ ἡ νόσος, ἐν ᾧ δὲ ἡ καχεξία, ἐν τούτῳ καὶ ἡ εὐεξία, οὔτ' εὐεξία ὑγεία ἂν εἴη ἐπιτεταμένη, οὔτ' ἐναντίον αὕτη εἴη ἡ νόσος τὴν ἀρχὴν μηδὲ γινομένη περὶ αὐτὰ αὕτη. γίνεται γὰρ ἡ μὲν ὑγεία καὶ νόσος περὶ τὰς δυνάμεις τῶν πρώτων σωμάτων ἐξ ὧν τὰ ζῶα, ἅπερ ἐστὶ τὰ στοιχεῖα, ὧν δυνάμεις θερμότης ψυχρότης ὑγρότης ξηρότης. ἐν μὲν γὰρ τῇ τῶν δυνάμεων τούτων πρὸς ἄλληλα συμμετρίᾳ ἡ ὑγεία, ἐν δ' ἀσυμμετρίᾳ τῶν αὐτῶν τούτων ἡ νόσος. ἡ δ' εὐεξία καὶ καχεξία περὶ ταῦτα γίγνεται, περὶ ἃ ἡ ἰσχύς τε καὶ ἡ ἀσθένεια· ἔοικε γὰρ ἡ μὲν εὐεξία τῇ ἰσχύι, ἡ δὲ καχεξία τῇ ἀσθενείᾳ· ὅ τε γὰρ ἰσχύων πλέον τῆς κατὰ τὴν ἁπλῆν ὑγείαν ἰσχύος ἐξ ἐπιμελείας εὐέκτης καλεῖται καὶ ὁ εὐέκτης οὕτως ἰσχύει, καὶ ὁ ἀσθενέστερος ἢ κατὰ τὴν τῶν ἁπλῶς ὑγιαινόντων ἰσχὺν καχέκτης κατ' ἐκεῖνο. ἀλλὰ μὴν ἡ ἰσχὺς καὶ ἡ ἀσθένεια ἐν συμμετρίᾳ τῶν ὁμοιομερῶν ἐν τοῖς ζώοις μερῶν καὶ ἀσυμμετρίᾳ τὸ εἶναι ἔχουσιν, ἡ μὲν ἰσχὺς ἐν τῇ τούτων συμμετρίᾳ, ἡ δ' ἀσθένεια ἐν τῇ τῶν αὐτῶν ἀσυμμετρίᾳ, ὥστε καὶ ἡ εὐεξία καὶ ἡ καχεξία ἐν τούτοις

5. οὔτ'] οὐδ' V. οὔτε T. εὐεξία om. T. 6. οὔτ' ἐναντίον αὕτη εἴη ἡ] scrib. οὔτε τοὐναντίον αὐτῇ εἴη. 8. αὐτὰ αὕτη] scrib. ταὐτὰ αὐτῇ. 10. δύναμις T.

ἂν γίνοιντο, καὶ εἴη ἂν ὡς ἀσθένεια ἰσχύι, οὕτω καχεξία εὐεξίᾳ ἐναντίον. διὸ καὶ εἰ μὲν ἦν περὶ ἃ ἡ ὑγεία, περὶ ταῦτα καὶ ἡ εὐεξία, εἶχεν ἂν λόγον λέγειν τὴν εὐεξίαν ἐπιτεταμένην ὑγείαν. ἐπεὶ δὲ μὴ περὶ ταῦτά ἐστιν, οὐκ ἂν δεόντως οὕτω λέγοιτο, ἢ εἴπερ ἄρα τῷ γίνεσθαι τὴν εὐεξίαν ἐπὶ προϋποκειμένῃ πάντως ὑγείᾳ προσθήκης μέν τινος τῷ ὑγιαίνοντι γινομένης, ἀλλ' οὐ κατὰ ὑγείαν οὐδὲ τὴν κατὰ ταύτην συμμετρίαν.

Πῶς εἰ τέσσαρα τὰ αἴτια, οὐκ ἔσται καὶ ἐν τοῖς θείοις σώμασι τὸ ὑποκείμενον ἡ ὕλη. ι.

Εἰ τῶν φυσικῶν ἀρχὴ καὶ στοιχεῖα τὰ περὶ ὧν εἴρηκεν ἐν τῇ φυσικῇ ἀκροάσει Ἀριστοτέλης, ἔστι δὲ ταῦτα ἡ ὕλη τε καὶ τὸ εἶδος καὶ τὸ ποιητικὸν καὶ τὸ οὗ ἕνεκα, τὸ κυκλοφορητικὸν σῶμα ἤτοι οὐκ ἔσται φυσικὸν σῶμα, ἢ ἔσται ὕλη καὶ τὸ ὑποκείμενον ἐν ἐκείνῳ, ἢ οὐκ ἔσται πάσας τὰς ἀρχὰς τῶν φυσικῶν λέγειν. τί γὰρ τὸ ὑποκείμενον ἐκείνῳ; ἀλλὰ μὴν φυσικὸν σῶμα κἀκεῖνο· πᾶν γὰρ σῶμα ἢ φυσικὸν ἢ μαθηματικόν. οὐκ ἔστι δὲ μαθηματικὸν ἐκεῖνο, ἐπεὶ πᾶν τὸ ἐν κινήσει τῇ ἐξ αὐτοῦ σῶμα φυσικὸν, ἐν κινήσει δὲ ἐκεῖνο, εἴ γε καὶ ἀεὶ κινητὸν καὶ τὴν

13. ἡ om. T. 15. φυσικῇ ἀκροάσει] II, 3. 20. τὰς] ἴσ ταύτας V. 25 ἀεὶ κινητὸν] ἀκίνητον T.

αἰτίαν τῆς κινήσεως ἔχον ἐν ἑαυτῷ. ἢ εἰ φύσις καὶ αἴτιον ἀρχὴ κινήσεως καὶ στάσεως, ἐν οἷς ἐστι πρώτως καὶ οὐ κατὰ συμβεβηκὸς, οὐκ ἔχει δὲ ἐκεῖνο ἀρχὴν στάσεως ἐν ἑαυτῷ, οὐδ' ἂν φύσιν ἔχοι; εἰ δὲ μὴ φύσιν ἔχοι, οὐδ' ἂν φυσικὸν σῶμα εἴη. ἀλλ' εἰ μὴ φυσικὸν, ποῖον δή; οὐ γὰρ δὴ μαθηματικὸν, ἐπεὶ ἔμψυχόν ἐστι, πᾶν δὲ σῶμα ἔμψυχον φυσικόν. οὐ φυσικὸν δ' ὂν σῶμα οὐκ ἔχει τὸ ὑποκείμενον ὕλην, εἴ γε ἡ ὕλη τὸ παρὰ μέρος τῶν ἐναντίων δεκτικόν. ἢ εἰ μὲν τὴν ὕλην ἔλεγεν εἶναι μόνον τὸ ἔσχατον ὑποκείμενον τῶν ἐναντίων παρὰ μέρος δεκτικὸν, οὐκ ἂν ἦν ἐν τῇ ὕλῃ περιειλημμένον τὸ ὑποκείμενον τῷ πέμπτῳ σώματι; εἰ δ' ὁρίζεται τὴν ὕλην καὶ οὕτως, ἔσχατον ὑποκείμενον ἀῤῥύθμιστον καθ' αὑτὸ, εἴη ἂν ἐν τῇ οὕτως ὕλῃ λεγομένῃ περιειλημμένον καὶ τὸ ἐν τῷ θείῳ σώματι ὑποκείμενον. κοινότερος γὰρ ὁ λόγος οὗτος τῆς κατὰ τὸ ὑποκείμενον ἀρχῆς καὶ περιέχων ἐν ἑαυτῷ ἀμφότερα τὰ ὑποκείμενα. οὐκ εἰ ἕτεραι δὲ ἀλλήλων αἱ ὕλαι, ἥ τε ἐν τῷ θείῳ σώματι ὑποκειμένη καὶ ἡ ἐν τοῖς ἐν γενέσει καὶ φθορᾷ, ἤδη καὶ σύνθετοι. εἰ μὲν γὰρ ἦν τι αὐταῖς ἕν τι ὑποκείμενον, ἔδει αὐταῖς διαφορῶν, καθ' ἃς εἰδοποιηθεῖσαι ἔχουσαι ταὐτὸν ὑποκείμενον ἀλλήλων διαφέρουσι· εἰ δέ εἰσιν ἕτεραι, πάντη οὐκ ἀνάγκη αὐτὰς κατά τινας εἰδοποιοὺς διαφορὰς ἀλλήλων

1. εἰ] ἢ T. 15. ἀρυθμιστὸν κατ' vulg.

διαφέρειν· οὐδὲ γὰρ τὸ εἶδος καὶ ἡ ὕλη, ἐπεὶ ἕτερα ἀλλήλων, διὰ τοῦτο καὶ σύνθετα.

Πῶς εἴρηται ἐν τῷ ά περὶ ψυχῆς· τὸ γὰρ ζῶον τὸ καθόλου ἤτοι οὐδέν ἐστιν ἢ ὕστερον. ιά.

Ἐζητεῖτο πῶς εἴρηται ἐν τῷ πρώτῳ περὶ ψυχῆς ὑπ' Ἀριστοτέλους, τὸ γὰρ ζῶον τὸ καθόλου ἤτοι οὐδέν ἐστιν ἢ ὕστερον. ὅτι μὲν οὖν δύναται παραδείγματι τῷ ζώῳ κεχρῆσθαι τῶν ἐπὶ τῆς ψυχῆς καὶ τῶν οὕτω λεγομένων καθόλου ὡς τὸ πρῶτον ἔχειν καὶ δεύτερον, βουλόμενος ὅπως ἔχει δεῖξαι, εἴρηταί μοι ἐν τῷ εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνήματι. ἔνεστι μέντοι τὸ εἰρημένον καὶ ἐπὶ τοῦ ζώου καὶ ἐπὶ τῶν κυρίως ὄντων γενῶν ἐφαρμόζον δεῖξαι. ἐπεὶ γὰρ τὰ γένη καθόλου, τὰ δὲ καθόλου τινῶν ὄντων καθόλου ἐστίν· οὐ γὰρ δὴ μηδέν τι ὂν καθόλου τέ ἐστι καὶ γένος καὶ συνωνύμως κατηγορεῖται, ἀλλὰ δεῖ τι εἶναι πρᾶγμα, ᾧ τὸ καθόλου συμβέβηκεν, καί ἐστιν ἐκεῖνο μὲν πρᾶγμά τι ᾧ τὸ καθόλου συμβέβηκεν, τὸ δὲ καθόλου οὐ πρᾶγμά τι κυρίως ἀλλὰ συμβεβηκός τι ἄλλῳ, οἷον τὸ ζῶον πρᾶγμά τί ἐστι καὶ φύσεώς τινος δηλωτικόν· σημαίνει γὰρ οὐσίαν ἔμψυχον αἰσθητικήν, ὃ κατὰ μὲν τὴν αὑτοῦ φύσιν οὐκ ἔστι καθόλου· οὐδὲν γὰρ ἧττον ἔσται καὶ εἰ ἓν κατ' ἀριθμὸν ὑποτεθείη ζῶον εἶ-

6. περὶ ψυχῆς] I, i. pag. 403, b. 7. 26. ὑποτεθείη] ὑποτέθῃ vulg

ναι, ὑπάρχει δὲ αὐτῷ ὄντι τοιούτῳ ἐν πλείοσιν εἶναι καὶ κατ' εἶδος ἀλλήλων διαφέρουσιν· συμβέβηκεν οὖν αὐτῷ τοῦτο· ὃ γὰρ μὴ ἐν τῇ οὐσίᾳ τινὸς ὄν, ὑπάρχει αὐτῷ συμβεβηκός· ἐπεὶ τοίνυν τὸ γένος τὸ τοιοῦτο οὐ πρᾶγμά τι, ἀλλὰ συμβεβηκὸς πράγματί τινι, εἶπεν αὐτὸ Ἀριστοτέλης ἢ μηδὲν εἶναι ἐπεὶ μὴ κυρίως ὄν· τὸ γὰρ ὡς γένος ζῷον βουλόμενος δηλῶσαι προσέθηκεν τῷ ζώῳ τὸ καθόλου εἰπὼν τὸ γὰρ ζῷον τὸ καθόλου· τοῦτο οὖν τὸ ὡς γένος ζῷον ἤτοι οὐδέν ἐστιν, ἐπεὶ μὴ φύσιν τινὰ οἰκείαν σημαίνει, ἀλλ' ἔστι σύμπτωμα ἐπί τινι γινόμενον πράγματι· ἢ εἰ καὶ τὸ οὕτως ὂν ὄν τις λέγοι, ὕστερον ἔσται ἐκείνου ᾧ ὑπάρχει· δεῖ γὰρ εἶναι πρῶτον τὸ πρᾶγμα τοῦ συμβεβηκότος αὐτῷ. ὅτι δὲ ὕστερον τοῦ πράγματος, δῆλον. ζώου μὲν γὰρ ὄντος οὐκ ἀνάγκη τὸ ὡς γένος ζῷον εἶναι· δύναται γὰρ πρὸς ὑπόθεσιν καὶ ἕν τι ζῷον εἶναι, ἐπεὶ τὸ μὴ ἐν τῇ οὐσίᾳ αὐτοῦ τὸ καθόλου. εἰ δὲ εἴη τὸ ὡς γένος ζῷον, ἀνάγκη καὶ τὸ ζῷον εἶναι, καὶ ἀναιρουμένης μὲν οὐσίας ἐμψύχου αἰσθητικῆς οὐδ' ἂν τὸ ὡς γένος ζῷον εἴη· οὐ γὰρ οἷόν τε τὸ μὴ ὂν ἐν πλείοσιν εἶναι· εἰ μέντοι ἀναιρεθείη τὸ ὡς γένος ζῷον, οὐκ ἀνάγκη καὶ τὴν οὐσίαν ἔμψυχον αἰσθητικὴν ἀνῃρῆσθαι· εἴη γὰρ ἂν ὡς εἶπον καὶ ἐν ἑνί, καὶ ἐστὶ διὰ ταῦτ' εἰρημένον

6. πράγματι] Bagolinus, Trendelenb. ad Aristot. de anim. pag. 201 — πρᾶγμά τι vulg. 7. μὴ] μὲν T. 8. προτέθηκεν vulg. 9. ζώῳ τὸ] ζώῳ τῷ vulg. 19. εἰ δὲ εἴη] ἔδει ἢ T. 26. ταῦτ'] fort. τοῦτ'.

τὸ ἢ οὐδέν ἐστιν ἢ ὕστερον. ὕστερον δ' ὂν τοῦ πράγματος ᾧ συμβέβηκεν, πάλιν αὐτὸ πρῶτον ἑκάστου τῶν ἐν μέρει καὶ ὑπ' αὐτὸ γίνεται, διότι τὸ μὲν γένει εἶναί ἐστιν ἐν τῷ κατὰ πολλῶν καὶ διαφερόντων κατηγορεῖσθαι, τὸ δ' ἐν μέρει εἶναί ἐστι τὸ μετὰ πολλῶν εἶναι ὑφ' ἕν τι ἢ γένος ἢ εἶδος. διὸ ἀναιρουμένῳ μὲν ἑνὶ τῶν ὑπὸ τὸ κοινὸν οὐ συναναιρεῖται τὸ κοινόν, διότι ἐστὶν ἐν πλείοσιν· εἰ δ' ἀναιρεθείη τὸ κοινόν, οὐδ' ἂν τῶν ὑπὸ τὸ κοινὸν εἴη τι, οἷς τὸ εἶναι ἐν τῷ ἐκεῖνο ἔχειν ἐν αὐτοῖς.

Ἄλλως τὸ αὐτὸ ἐπιμελέστερον τεταγμένον.

Ἐζητεῖτο πῶς εἴρηται ἐν τῷ ά περὶ ψυχῆς Ἀριστοτέλει τὸ ζῶον τὸ καθόλου ἤτοι οὐδέν ἐστιν ἢ ὕστερον. ὅτι μὲν οὖν δύναται παραδείγματι τῷ ζώῳ κεχρῆσθαι τῶν ἐπὶ τῆς ψυχῆς καὶ τῶν οὕτω λεγομένων καθόλου ὡς τὸ πρῶτον ἔχειν καὶ δεύτερον, βουλόμενος πῶς ἔχει δεῖξαι, εἴρηταί μοι ἐν τῷ εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνήματι. εἰπὼν γὰρ ὅτι χρὴ εὐλαβεῖσθαι ἄσκεπτον καταλιπεῖν τὸ πότερον τῷ εἴδει διαφέρουσιν μόνον ἀλλήλων αἱ ψυχαὶ ἢ καὶ τῷ γένει· εἰ γὰρ τοῦτο διορισθείη, οὐ λήσεθ' ἡμᾶς, πότερον εἷς τις λόγος ψυχῆς κοινός τε καὶ γενικός· εἰ δὲ μὴ

3. ἐν μέρει καὶ om. T. 4. μὲν γένει] fort. μὲν ἐν γένει. 7. οὐ συναναιρεῖται] οὐκ ἀναιρεῖται T. 15. ἀριστοτέλῃ vulg. 16. οὖν om. T. παράδειγμά τι vulg. 17. τῶν ἐπὶ] τῷ ἐπὶ vulg. 22. καταλειπεῖν τῷ vulg.

ὁμογενεῖς εἶεν, ἑκάστου γένους ψυχῆς ἴδιος ἔσται· τὸ γὰρ κοινὸν ψυχῆς ὄνομά μόνον ἐστὶν, οὐκέτι δὲ καὶ πρᾶγμά τι. δεικνὺς δὲ πῶς ἴδιος ἑκάστης, παραδείγμασιν ἐχρήσατο ὑπὸ ἓν γένος οὖσιν, ὃ καὶ ἀσαφέστερον τὸ λεγόμενον ἐποίησεν. εἰ γὰρ εἴη ταὐτά φησι μὴ ὁμογενῆ ὁ ἵππος καὶ ὁ κύων καὶ ὁ ἄνθρωπος καὶ ὁ θεὸς, ὥστε γένος αὐτῶν τὸ ζῶον εἶναι, ἴδιος ἑκάστου αὐτῶν λόγος ἔσται, τὸ δὲ ζῶον τὸ κοινῶς κατ᾽ αὐτῶν κατηγορούμενον ἤτοι οὐδέν ἐστιν καὶ οὐδεμίαν οἰκείαν σημαίνει φύσιν, ἀλλ᾽ ἔσται ὁμώνυμον, ἢ εἰ καὶ σημαίνει, ἔσται ὡς δοκεῖ ἔχειν ἐπὶ τῶν πολλαχῶς λεγομένων τῶν ἐν οἷς ἐστι τὸ πρότερον καὶ ὕστερον. τὸ γὰρ κοινῶς ἐν τοῖς οὕτως ἔχουσιν κατηγορούμενον σημαίνει μέν τινα φύσιν, οὐ μὴν ἐν πᾶσιν ὁμοίως ἔχουσαν τοῖς ὧν κατηγορεῖται, διὸ ὕστερον τοῦτο τῶν ὑπ᾽ αὐτό· τὸ μὲν γὰρ ὡς γένος τινῶν κατηγορούμενον ἀναιρούμενον συναναιρεῖ αὐτῷ πάντα τὰ ὑφ᾽ αὐτὸ, ὧν οὐδενὶ ἀναιρουμένῳ συναναιρεῖται, διὸ πρῶτον τῇ φύσει· τὸ δ᾽ ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερόν ἐστιν, ἀναιρουμένῳ τῷ πρώτῳ ἔχοντι τὸ ὑπ᾽ αὐτοῦ σημαινόμενον συναναιρεῖται, διὸ οὐκ ἔτι πρῶτον ἀλλ᾽ ὕστερον γίνεται. τοιοῦτον δὲ δείξει καὶ τὴν ψυχὴν ὄν. διὸ εἰκότως προτίθεται τὴν περὶ αὐτοῦ ζήτησιν, ποιησάμενος δὲ τὸν λόγον ἐπὶ ζώου, ἐπὶ ὧν ἐμνημόνευσεν ὑπὸ τὸ ζῶον ἦν, προσέθηκεν τὸ ὁμοίως

3. πρᾶγμά τι] πράγματι vulg. 10. καὶ om. T. 13. ἐν] καὶ T. 24. δὲ δείξει] fort. δ᾽ἔδειξε. 27. ὑπὸ fort. ὅτι ὑπό.

δὲ κἂν εἴ τι κοινὸν ἄλλο κατηγοροῖτο δεικνύς, ὅτι πᾶν, εἴ τι οὕτω κοινῶς τινῶν κατηγορεῖται ὡς μὴ εἶναι γένος αὐτῶν, ἢ οὐδὲν ἔσται ἢ ὕστερον, ὡς προείρηται. τοῦτο μὲν οὖν ἐν ἐκείνοις εἴρηται. ἔνεστι μέντοι τὸ εἰρημένον καὶ ἐπὶ τοῦ ζώου καὶ ἐπὶ τῶν κυρίως γενῶν ὄντων ἐφαρμόζον δεῖξαι. ἐπεὶ γὰρ τὰ γένη καθόλου, τὸ δὲ καθόλου τινῶν ὄντων καθόλου ἐστίν· οὐ γὰρ δὴ μηδέν τι ὂν καθόλου τε ἔσται καὶ γένος καὶ συνωνύμως κατηγορεῖται, ὂν μέν τι τὸ γένος, ὂν δέ τι τόνδε τὸν τρόπον. τὸ μὲν ὑποκείμενον ᾧ τὸ καθόλου συμβέβηκε πρᾶγμά τί ἐστι, τὸ δὲ καθόλου τὸ ἐκείνῳ συμβεβηκὸς οὐ πρᾶγμά τι καθ' αὑτό ἐστιν, ἀλλὰ κατὰ συμβεβηκός τι ἐκείνῳ, οἷον ζῶον πρᾶγμά τί ἐστι καὶ φύσεώς τινος δηλωτικόν· σημαίνει γὰρ οὐσίαν ἔμψυχον αἰσθητικήν, ὃ κατὰ μὲν τὴν αὑτοῦ φύσιν οὐκ ἔστι καθόλου· οὐδὲν γὰρ ἧττον ἔσται, καὶ εἰ ἓν κατ' ἀριθμὸν ὑποτεθείη ζῶον εἶναι, ὑπάρχει δὲ αὐτῷ ὄντι τοιούτῳ ἐν πλείοσιν εἶναι καὶ κατ' εἶδος ἀλλήλων διαφέρουσιν. συμβέβηκεν οὖν αὐτῷ τοῦτο· ὃ γὰρ μὴ ἐν τῇ οὐσίᾳ τινὸς ὂν ὑπάρχει αὐτῷ, συμβεβηκός. ἐπεὶ γοῦν τὸ γένος τοιοῦτον οὐ πρᾶγμά τι, ἀλλὰ συμβεβηκὸς πράγματί τινι, εἶπεν αὐτὸ Ἀριστοτέλης ἢ μηδὲν εἶναι, ἐπεὶ μὴ κυρίως ὄν· τὸ γὰρ ὡς γένος ζῶον βουλόμενος δηλῶσαι προσέθηκε τῷ ζώῳ τὸ καθόλου εἰπών, τὸ γὰρ

4. τοῦτο] τὸ T. ἐν om. T. 5. καὶ fort. del. 8. ὄντων] ὄντι T. 10. ὂν δέ] οὐδὲ T. 23. πρᾶγμά τι] πράγματι, V, πρᾶγμα T.

ζῷον τὸ καθόλου· τοῦτο οὖν τὸ ὡς γένος ζῷον ἤτοι οὐδέν ἐστιν, ἐπεὶ μὴ φύσιν τινὰ οἰκείαν ἔχει, ἀλλ' ἔστι σύμπτωμα ἐπί τινι γινόμενον πράγματι, ἢ εἰ καὶ τὸ οὕτως ὂν ὄν τις λέγοι, ὕστερον ἔσται ἐκείνου ᾧ ὑπάρχει· δεῖ γὰρ εἶναι πρῶτον τὸ πρᾶγμα τοῦ συμβεβηκότος αὐτῷ, ὅτι δ' ὕστερον τοῦ πράγματος, δῆλον. ζῴου μὲν γὰρ ὄντος οὐκ ἀνάγκη τὸ ὡς γένος ζῷον εἶναι· δύναται γὰρ πρὸς ὑπόθεσιν καὶ ἕν τι ζῷον εἶναι, ἐπεὶ μὴ ἐν τῇ οὐσίᾳ αὐτοῦ τὸ καθόλου. εἰ δὲ εἴη τὸ ὡς γένος ζῷον, ἀνάγκη καὶ τὸ ζῷον εἶναι καὶ ἀναιρουμένης μὲν οὐσίας ἐμψύχου αἰσθητικῆς οὐδ' ἂν τὸ ὡς γένος ζῷον εἴη· οὐ γὰρ οἷόν τε τὸ μὴ ὂν ἐν πλείοσιν εἶναι. εἰ μέντοι ἀναιρεθείη τὸ ὡς γένος ζῷον, οὐκ ἀνάγκη καὶ τὴν οὐσίαν ἔμψυχον αἰσθητικὴν ἀνῃρῆσθαι· εἴη γὰρ ἂν ὡς εἶπον καὶ ἐν ἑνὶ, καί ἐστι διὰ ταῦτ' εἰρημένον τὸ ἢ *οὐδέν ἐστιν ἢ ὕστερον*. ὕστερον δὲ ὂν τοῦ πράγματος ᾧ συμβέβηκεν, πάλιν αὐτὸ πρῶτον ἑκάστου τῶν ἐν μέρει καὶ ὑπ' αὐτὸ γίνεται, διότι τὸ μὲν γένει εἶναί ἐστιν ἐν τῷ κατὰ πολλῶν καὶ διαφερόντων κατηγορεῖσθαι, τὸ δ' ἐν μέρει εἶναι ἔστι τὸ μετὰ πολλῶν εἶναι ὑφ' ἕν τι ἢ γένος ἢ εἶδος. διὸ ἀναιρουμένῳ μὲν ἑνὶ τῶν ὑπὸ τὸ κοινὸν οὐ συναναιρεῖται τὸ κοινὸν, διότι ἐστὶν ἐν πλείοσιν. εἰ δ' ἀναιρεθείη τὸ κοινὸν οὐδ' ἂν τῶν ὑπὸ τὸ κοινὸν εἴη τι οἷς τὸ εἶναι ἐν τῷ ἐκεῖνο ἔχειν ἐν ἑαυτοῖς.

2. ἐπεὶ] εἰ T. 4. ὂν om. T. 6. ὅτι] τὸ T. 7. δῆλον om. T. 8. εἶναι om. T. 9. καὶ] καθ' T. 20. μὲν γένει] fort. μὲν ἐν γένει. 26. οὐδ'] εἴη δ' T.

Πῶς οἷόν τε ἅμα τὸν αὐτὸν ἥδεσθαι καὶ λυπεῖσθαι, εἰ ἐναντία ταῦτα. ιβʹ.

Εἰ ἀδύνατον ἅμα τὰ ἐναντία τῷ αὐτῷ ὑπάρχειν, πῶς οἷόν τε ἅμα τὸν αὐτὸν ἥδεσθαι καὶ λυπεῖσθαι, ὃ συμβαίνει τοῖς διψῶσί τε καὶ πίνουσιν, ὁμοίως δὲ καὶ τοῖς πεινῶσι καὶ ἐσθίουσι, ἔτι τε τοῖς ψωριῶσί τε καὶ κνωμένοις; ἢ γὰρ οὐκ ἐναντίον ἡδονὴ λύπῃ, ἢ οὐκ ἀληθὲς τὸ μὴ οἷόν τε ἅμα τῷ αὐτῷ τὰ ἐναντία ὑπάρχειν. οὔτε τὸ ἀδύνατον ἅμα τῷ αὐτῷ τὰ ἐναντία ὑπάρχειν ἁπλῶς ἀληθὲς, ἀλλὰ κατὰ ταὐτὸ, οὔθ' ἁπλῶς ἡδονὴ λύπῃ ἐναντίον· οὐ γὰρ πᾶσα ἡδονὴ πάσῃ λύπῃ ἐναντία· οὐ γὰρ τῇ ἀπὸ τοῦ θεωρεῖν ἡδονῇ ἡ ἀπὸ τοῦ διψῆν λύπη ἐναντία, ἀλλ' ἡ ἀπὸ τοῦ αὐτοῦ ἡδονὴ τῇ ἀπὸ τοῦ αὐτοῦ λύπῃ ἐναντία, ἃς καὶ ἀδύνατον ἅμα τῷ αὐτῷ ὑπάρχειν· οὔτε γὰρ ἅμα ἥδεσθαί τε καὶ λυπεῖσθαι ἐπὶ τῷ θεωρεῖν, ὅτι ἡ διάμετρος ἀσύμμετρος τῇ πλευρᾷ, οἷόν τε διὰ τὸ αὐτὸ, οὔτε τὸν πεινῶντα ἐπὶ τῷ πεινῆν ἅμα οἷόν τε καὶ ἥδεσθαι καὶ λυπεῖσθαι, λυπούμενον μέντοι ἐπὶ τῷ πεινῆν ἅμα ἥδεσθαι ἐπὶ τῷ ἐσθίειν οὐκ ἀδύνατον· οὐ γὰρ ἐναντία τῇ αὐτῇ ἡδονῇ ἡ τοιαύτη λύπη. ἡ μὲν γὰρ λύπη ἐπὶ τῇ ἐνδείᾳ, ἡ δὲ ἡδονὴ ἐπὶ τῇ τῆς ἐνδείας θεραπείᾳ, διὸ καὶ ἔστ' ἂν μὲν ᾖ δεόμενον θεραπείας, θεραπευόμενον ἥδεται, ἅμα δὲ δεῖται θεραπείας καὶ ἐστὶν ἐν λύπῃ. ὅτι γὰρ οὐκ ἀπὸ τοῦ

9. οὔτε] ἢ οὔτε Vir doctus in exemplo bibl. Univers. Monac. 22. τῇ αὐτῇ] fort. τῇ τοιαύτῃ.

αὐτοῦ ἥ τε λύπη καὶ ἡ ἡδονή, δῆλον ἐκ τοῦ τοὺς πεινῶντας μὲν μὴ τρεφομένους δὲ λυπεῖσθαι μόνον, καὶ ἐκ τοῦ τοὺς τρεφομένους μειοῦν τὴν λύπην. οὕτω τὸ μὲν εἶναι ἐνδεᾶ λύπης μόνης αἴτιον, τὸ δ' ἀναπληροῦσθαι ἡδονῆς, καὶ οἱ ψωριῶντες καὶ κνώμενοι οὐ διὰ τὸ κνήθεσθαι λυποῦνται, ἀλλὰ διὰ τὸ ἔτι δεῖσθαι τοῦ κνήθεσθαι. οὕτω καὶ οἱ τρεφόμενοι ἐπὶ τῷ ἔτι εἶναι ἐνδεεῖς λυποῦνται, οὐκ ἐπὶ τῷ τρέφεσθαι.

Ὅτι μὴ ὁμοίως κατά τε τὰς ἄλλας αἱρέσεις καὶ κατ' Ἐπίκουρον εἰσάγεται τὰ χρώματα, ὡς ἔλεγεν Κηνσωρῖνος ὁ Ἀκαδημαικός. ιγ'.

Ὅτι μὴ ὁμοίως κατ' Ἐπίκουρον εἰσάγεται τὰ χρώματα, ὡς ἔλεγέν τις παριστάμενος αὐτοῦ τῃ δόξῃ, καὶ κατὰ τὰς ἄλλας αἱρέσεις. ὃ μὲν γὰρ οὖν ἐν τοῖς ἀτόμοις στοιχείοις, ἅπερ ἀρχὰς ὑποτίθεται τῶν ἁπάντων, οὐδὲν τούτων φησὶν εἶναι· καθ' οὓς δὲ στοιχεῖα τὰ τέσσαρα, κατὰ τούτους ἐν τοῖς στοιχείοις ἐστὶν καὶ ταῦτα. διὸ κατὰ μὲν τούτους ἐκ προϋπαρχόντων χρωμάτων γίνεταί τινα χρώματα, καθ' ὃν δὲ μή ἐστιν ἐν τοῖς στοιχείοις ταῦτα, οὐκ ἐκ προϋπαρχόντων ἡ γένεσις αὐτῶν. ὡς οὖν, εἰ ὑπέθετό τις ἄτομα εἶναι σώματα ἀρχὰς τῶν ὄντων μὴ μόνον ἔχοντα σχῆμα καὶ μέγεθος καὶ ἀντιτυπίαν, ἀλλὰ καὶ χρῶμα, οὐχ

2. πεινοντα; vulg. 4. ἐνδεᾶ] ἔνδεια vulg. 23. οὐκ ἐκ] ἐξ οὗ Bagolinus. 24. ὡς] πῶς T.

ὁμοίως κατά τε τοῦτον ἡ τῶν χρωμάτων γένεσις (ἐκ προϋπάρχοντος γὰρ χρώματος καὶ ὄντος ἐν τοῖς στοιχείοις), καὶ καθ' ὃν τὰ ἄτομα ταῦτα στοιχεῖα οὐκ ἔχει χρῶμα· οὕτως οὐδ' εἰ μὴ ἄτομά τις τὰ στοιχεῖα λέγοι, λέγοι δὲ τὰ τέσσαρα τῷ ἐν τούτοις εἶναι μετὰ τῶν ἄλλων καὶ τὰ χρώματα, οὐδ' οὗτος ἂν ὁμοίως Ἐπικούρῳ τὴν τῶν χρωμάτων εἰσάγοι φύσιν. ὡς γὰρ τὰ γινόμενα ἐκ τῶν στοιχείων οὐκ ἂν εἶχεν ἀντιτυπίαν μηδ' ὅλως ἐν τοῖς στοιχείοις οὔσης ἀντιτυπίας, οὕτως οὐδ' ἂν χρῶμά τι τῶν γινομένων ἔχοι μηδενὸς ὄντος στοιχείοις χρώματος. τὸ δὲ ζητεῖν πόθεν ἐν τοῖς στοιχείοις πυρί τε καὶ ὕδατι καὶ τοῖς ἄλλοις τὰ χρώματα, ἴσον ἂν εἴη τῷ ζητεῖν, πόθεν ἐν τοῖς ἀτόμοις τὰ σχήματα. τὸ δὲ ταῦτα μὲν ὑπό τινων εἶναι λέγεσθαι γενητὰ καὶ φθαρτὰ, ἀγενήτους δὲ τὰς ἀτόμους ὑπὸ τῶν ἐν ἐκείνοις στοιχείοις χρωμένων, οὐδὲν πλέον· καὶ γὰρ καθ' οὓς τὰ στοιχεῖα ταῦτα γενητὰ καὶ φθαρτὰ, κατὰ τούτους τῷ ἀριθμῷ τὸ γενητὸν ἔχει ταῦτα καὶ τὸ φθαρτὸν, ἄφθαρτα δὲ καὶ γένητα κατ' εἶδός ἐστιν. εἰς ἄλληλα γὰρ μεταβάλλει καὶ ἐξ ἀλλήλων γίνεται, ὥστε καὶ ἐν τῇ τούτων γενέσει ἐκ προϋπαρχόντων ἡ γένεσις. ὥσπερ οὖν τῶν ἄλλων, οὑτωσὶ δὲ καὶ τῶν χρωμάτων.

5. λέγοι semel om. T. 11. χρῶμά τι] χρώματι vulg. 13. καὶ ὕδατι] om. T. 17. ἐν fort. del. χρωμένων] χρῶμα μὲν οὖν T. 22. μεταβάλλοι T.

Ὅτι καθ' οὓς μόνον τὸ καλὸν ἀγαθόν ἐστιν, οὐδὲν οἱ θεοὶ τοῖς ἀνθρώποις παρέχουσιν ἀγαθόν. ιδ'.

Εἰ οἱ θεοὶ προνοοῦσι τῶν ἀνθρώπων, ἀγαθόν τι αὐτοῖς παρέχουσι· πᾶν γὰρ τὸ προνοοῦν τινος ἀγαθόν τι τῷ προνοουμένῳ περιποιεῖ, ὡς τὸ μὴ ἀγαθόν τι περιποιοῦν τινι τοῦτο οὐδ' ἂν προνοοῖ τὸ αὐτοῦ. ἀλλὰ μὴν καθ' οὓς μόνον τὸ καλὸν ἀγαθὸν, οὐδὲν οἱ θεοὶ τοῖς ἀνθρώποις περιποιοῦσιν, ὡς δείξω. καθ' οὓς οὖν μόνον τὸ καλὸν ἀγαθὸν, οἱ θεοὶ οὐ προνοοῦσιν τῶν ἀνθρώπων. ὅτι δὲ μηδὲν παρὰ θεῶν ἀγαθὸν τοῖς ἀνθρώποις κατὰ τοὺς προειρημένους γίνεται, δῆλον ἐντεῦθεν. τὸ καλὸν ἐφ' ἡμῖν, ὃ ἐφ' ἡμῖν ἐστι, τοῦτο δι' ἑαυτῶν κτώμεθα, ὃ δι' ἑαυτῶν κτώμεθα, τοῦθ' ὑπ' οὐδενὸς ἄλλου περιγίνεται· τὸ καλὸν ἄρα ὑπ' οὐδενὸς ἡμῖν ἄλλου περιγίνεται. εἰ ὑπὸ μηδενὸς, οὐδ' ὑπὸ τῶν θεῶν. ἀλλὰ μὴν ταὐτὸν ἀγαθόν τε καὶ καλόν. καθ' οὓς ἄρα μόνον τὸ καλὸν ἀγαθὸν, οὐδὲν ἀγαθὸν τοῖς ἀνθρώποις ὑπὸ τῶν θεῶν περιγίνεται.

Ὅτι εἰ ἡ αὐτὴ ὕλη ἐν τοῖς θείοις ἔσται, κἀκεῖνα φθαρτά. ιε'.

Ἡ ὕλη ἤτοι ἡ αὐτὴ ἔν τε τοῖς θείοις καὶ τοῖς ἐν γενέσει καὶ φθορᾷ ἢ ἑτέρα. ἀλλ' εἰ μὲν

7. προνοοῖ τό] προνοοῖτο vulg. 10. οὖν] γὰρ οὐ T. 22. ἡ om. vulg. ἐν τοῖς θείοις] fort. add. καὶ τοῖς ἐν γενέσει καὶ φθορᾷ.

ἡ αὐτὴ, ἔσται κἀκεῖνα φθαρτὰ, εἴ γε οἷς τὸ δυνάμει ὑπόκειται, ταῦτα φθαρτὰ, ὡς δέδεικται ὑπ' Ἀριστοτέλους ἔν τε τοῖς ἄλλοις καὶ δὴ καὶ ἐν τῷ πρώτῳ περὶ οὐρανοῦ· εἰ δ' ἄλλη, δῆλον ὡς διοίσει ἡ ὑποκειμένη ὕλη τοῖς ἐν γενέσει καὶ φθορᾷ τῆς τοῖς θείοις ὑποκειμένης. εἰ δὲ τοῦτο, ἕξει τινὰ διαφορὰν πρὸς ἑαυτήν· οὕτω δὲ οὐδ' ἂν ἄποιος ἔτι εἴη οὐδ' ἁπλῆ. ἢ οὔτε πᾶν τὸ διαφέρον τινὸς διαφορᾷ διαφέρει, εἴ γέ ἐστι κυρίως διαφορὰ, καθ' ἣν τὸ γένος εἰς τὰ οἰκεῖα εἴδη διαιρεῖται; τὸ γοῦν μὴ ὂν τοῦ ὄντος διαφέρει μὲν, ἀλλ' οὐ τῷ διαφορὰν ἔχειν. ἀλλ' οὐδ' ἐπεὶ διαφέρει τινὸς, ἤδη καὶ σύνθετον διὰ τοῦτο γίνεται. ἀλλ' οὐδὲ τὰ ὄντα ἀλλήλων, ἐπεὶ κατὰ τὰς κατηγορίας διαφέρει, ἤδη καὶ διαφοραῖς διοίσει, ὅτι μηδ' ὑπὸ γένος τι κοινόν ἐστι τὰ δέκα γένη. δέδεικται γὰρ ὅτι μὴ γένος τὸ ὄν. ἔτι πολλὰ ὄντα τῷ μὴ ἔχειν τι διαφέρει τῶν ἐχόντων αὐτὰ, ὡς τὸ μὴ ἔχειν φέρ' εἰπεῖν τρίχας ἢ χεῖρας ἤ τι τοιοῦτο. τὸ δὲ μὴ ἔχειν τι καὶ τὸ ἐστερῆσθαι οὐ ποιότης. ἔτι δὲ οὐ πᾶσα διαφορὰ ποιότης· εἰ γὰρ ἡ διαφορά ἐστι καθ' ἣν ἀντιδιαιρεῖται ἀλλήλοις, τὰ ἐκ τοῦ αὐτοῦ γένους εἴδη εἴη ἂν τοῦ εἴδους ἑκάστου ἡ διαφορὰ οὗ ἐστι διαφορὰ, καθὸ τὸ εἶναί ἐστιν αὐτῷ τοῦτο οὗ ἐστι δηλωτική. ἀλλὰ μὴν πάντων τῶν συνεστώτων φύσει, οἷς οὐχ ἡ ὕλη μόνον οὐσία ἀλλὰ καὶ τὸ εἶδος, ἐν τούτοις ἡ διαφορὰ δηλωτικὴ εἴη

4. περὶ οὐρανοῦ] I, 1 sqq. 8. ἢ] ἡ T. 23. εἴδη] εἰ δὴ T. ἤδη Bagolinus. 24. οὗ] οὐκ T.

ἂν οὐσίας τινὸς ἀλλ' οὐ ποιότητος, καὶ κατὰ τὰς τοιαύτας διαφορὰς ἀλλήλων διαφέροντα οὐσίᾳ ἀλλ' οὐ ποιότητι διαφέροι, ὥστε καὶ τῆς ὕλης οὔσης οὐσίας ἐν τῇ οὐσίᾳ τῷ εἶναι αὐτὴν τῶν ἐναντίων δεκτικὴν ὁ λέγων κατὰ τοῦτο διαφέρειν τήνδε τὴν ὕλην ἐκείνης οὐ ποιότητι ἂν διαφέρειν λέγοι. ἐπεὶ οἱ τιθέμενοι τὴν ὕλην τῶν ἐναντίων εἶναι δεκτικὴν ἄποιον εἶναι αὐτὴν λέγουσι, δῆλον ὡς οὔ φασιν εἶναι ποιότητα αὐτῆς τὸ τῶν ἐναντίων εἶναι δεκτικήν· εἰ δὲ μὴ ποιότητα τοῦτο τῆς ὕλης, οὐδ' οἱ λέγοντες τῷ τοῦτ' ἔχειν τὴν ὕλην τὴν ὑποκειμένην τοῖς ἐν γενέσει διαφέρειν τοῦ τοῖς θείοις ὑποκειμένου κατὰ ποιότητα αὐτὴν ἐροῦσι διαφέρειν. εἰ γὰρ τὸ τῶν ἐναντίων δεκτικὸν ποιότητα οὖν ἔχει, καθό ἐστι τοιοῦτο, οὐ διότι διαφέρει ἡ τοῦτο ἔχουσα τῆς μὴ ἐχούσης, ἐν ποιότητι ἔσται, ἀλλ' ὅτι ἐν τῇ οἰκείᾳ φύσει αὐτὴν ἔχει, ἀνάγκη φυλάττειν αὐτὴν, ἐάν τε διαφέρῃ τινὸς ἐάν τε μή.

Λέξεως ἐξήγησις εἰρημένης ἐν τῷ ά τῆς φυσικῆς ἀκροάσεως Ἀριστοτέλους περὶ τοῦ τἀναντία πως τὰς ἀρχὰς ποιεῖν πάντας. ιϛ'

Ὅτι μὲν οὖν τἀναντία πως πάντες ποιοῦσι τὰς ἀρχὰς, δῆλον. καὶ τοῦτο εὐλό-

3. fort. διαφέρει. 4. τῷ] τὸ T. 15. οὖν] abundat. 18. ἔχει om. T, ἔχει ἣν Bagolinus. 21. φυσικῆς ἀκροάσεως] I, 5. pag. 188, 26. conf. Simplicius ibique Ammonius fol. 39. 24. τἀναντία] ἐναντία vulg. 25. τοῦτο] τὸ T.

γως· δεῖ γὰρ τὰς ἀρχὰς μήτε ἐξ ἀλλήλων εἶναι μήτε ἐξ ἄλλων, καὶ ἐκ τούτων πάντα. τοῖς δ' ἐναντίοις τοῖς πρώτοις ὑπάρχει ταῦτα, διὰ μὲν τὸ πρῶτα εἶναι μὴ ἐξ ἄλλων, διὰ δὲ τὸ ἐναντία μὴ ἐξ ἀλλήλων. ἠπόρηται τί ποτ' ἐστὶ τὸ εἰρημένον διὰ ταύτης τῆς λέξεως, καὶ διὰ τί οὐκ ἐξ ἀλλήλων τὰ ἐναντία, ἢ οὐκ ἐξ ἄλλων καὶ τὰ πρότερα. τό τε γὰρ ἐξ ἀλλήλων τὰ ἐναντία γίνεσθαι αὐτὸς ὀλίγον προελθὼν λέγει· δείξας γάρ τινα ἐπήγαγεν· εἰ τοίνυν τοῦτ' ἔστιν ἀληθὲς, ἅπαν ἂν γίνοιτο τὸ γινόμενον καὶ φθείροιτο τὸ φθειρόμενον ἢ ἐξ ἐναντίων ἢ εἰς ἐναντία καὶ τὰ τούτων μεταξύ. τὰ δὲ μεταξὺ ἐκ τῶν ἐναντίων ἐστὶν, οἷον χρώματα ἐκ λευκοῦ καὶ μέλανος, ὥστε πάντα ἂν εἴη τὰ φύσει γινόμενα ἢ ἐναντία ἢ ἐξ ἐναντίων. τό τε λέγειν τὰ πρῶτα ἐναντία μὴ ἐξ ἄλλων γίνεσθαι ἀπορήσαι τις ἂν, πῶς λέγεται. καθόσον μὲν γὰρ πρῶτα ὑπόκειται ἐναντία, οὐκ ἂν εἴη γινόμενα ἔκ τινων προϋπαρχόντων ἐναντίων· οὐκέτι γὰρ ἂν αὐτὰ πρῶτα εἴη. πῶς δ' εἰ μὴ τοῦτο γίνοιτο, ἀΐδια ἔσται τὰ πρῶτα ἐναντία; ἢ γὰρ δεήσει αὐτὰ εἰς ἄλληλα μεταβάλλειν, ὅπως γίνοιτό τι ἐξ αὐτῶν, οὕτω δὲ οὐκέτ' ἂν σώζοιτο οὐδὲ ἀεὶ

4. ὑπάρχειν vulg. 9. καὶ om. T. 11. ἐπήγαγεν] p. 188. b, 21. 14. ἢ εἰς] εἰς vulg. 18. τό τε] τὸ δὲ V. 23. δ' εἰ] δεῖ T. 26. ἀεὶ] εἰ T.

μένοι, οὐδ' ἂν ἄφθαρτα εἴη οὐδ' ἀμετάβλητα εἰς ἄλληλα· ἢ εἰ ἀεὶ μένοι τὰ αὐτὰ, οὐ κατὰ μεταβολὴν ἂν οὐδὲ κατ' ἀλλοίωσίν τινα τὰ γινόμενα γίγνοιτο, ἀλλὰ συνθέσει τε καὶ συγκρίσει καὶ διακρίσει τῶν πρώτων πρὸς ἄλληλα καὶ ποιᾷ θέσει καὶ τάξει· οὐχ οὕτω δ' ἔχειν αὐτῷ δοκεῖ· ἢ ἐξ ἀλλήλων μὲν οὔ φησιν γίγνεσθαι τὰ ἐναντία, ὅτι μὴ οὕτω γίγνεσθαι ἐξ ἀλλήλων δύναται ὡς ὑπομενόντων· οὐ γὰρ ὑπομένει τὸ ἕτερον τῶν ἐναντίων θάτερον, δοκεῖ δὲ πᾶν γινόμενον ἔκ τινος ὡς ὑπομένοντος αὐτοῦ γίγνεσθαι, ὡς προϊὼν αὐτὸς δείκνυσί τε καὶ διορίζει; εἰ δ' οὕτω μὲν ἐξ ἀλλήλων μὴ γίνοιτο, κατὰ δὲ τὴν τοῦ ὑποκειμένου παρὰ μέρος εἰς ἑκάτερον αὐτῶν μεταβολὴ γίνεται, οὐδὲν κωλύσει καὶ τὰ πρῶτα ἐναντία μεταβάλλοντα εἰς ἄλληλα κατὰ τοῦτον τὸν τρόπον αἴτια γενέσεως γίγνεσθαι τοῖς μετὰ ταῦτα· ἀλλ' εἰ οὕτω μεταβάλλει, πῶς ἂν αἴτια ἀεὶ διαμένοι ἢ τίνι ἂν διαφέροι τῶν μὴ πρώτων ἐναντίων; καὶ γὰρ ἡ τούτων εἰς ἄλληλα μεταβολὴ τοῦτον γίνεται τὸν τρόπον. ἢ διαφέροι ἂν τὰ πρῶτα τῶν ἐναντίων τῶν μὴ πρώτων πρῶτον μὲν τῷ ἐξ ἐκείνων μὲν τὰ γινόμενα πάντα γίνεσθαι; ἐκ γὰρ εἴδους τινὸς καὶ στερήσεώς τινος παρὰ μέρος ἐν τῇ ὕλῃ γινομένων αἱ πάντων γενέσεις καὶ φθοραὶ, οὐκέτι δὲ ἐκ λευκοῦ καὶ μέλανος ἢ γλυκέος καὶ πικροῦ ἢ τινῶν ὁμοίων τούτοις ἐναντίων. ἔτι αὐτὰ μὲν ὕστερα ἐναντία, εἰ καὶ

3. ἂν om. T. 22. πρῶτον] πρώτω vulg.

εἰς ἄλληλα μεταβάλλει, τῷ γίνεσθαι παρὰ μέρος ἐν τῇ ὕλῃ, ὃ ἔχει καὶ τὰ πρῶτα ἐναντία, ἀλλὰ καὶ ἡ γένεσις τὴν ἀρχὴν ἐξ ἐκείνων αὐτοῖς· διὰ γὰρ ποιᾶς ἕξεώς τε καὶ στερήσεως ἥ τε τῶν χυμῶν γένεσις καὶ ἡ τῶν χρωμάτων καὶ τῶν ἀνάλογον τούτοις ἐναντίων, ἐξ οὐδενὸς δὲ μεταβάλλοντος τὰ πρῶτα ἐναντία γίνεται. διὸ καὶ ἀΐδια κατὰ τοῦτο τῷ μηδὲν αὐτῶν προεπινοεῖσθαι πρῶτον ἐξ ὧν ἡ τῶνδε γένεσις. δεικνύοιτο δ' ἂν καὶ ἀΐδια· οὐ γὰρ εἰ τὰ καθ' ἕκαστα εἴδη καὶ αἱ στερήσεις δείκνυνται παρὰ μέρος εἰς ἄλληλα μεταβάλλοντα, διὰ τοῦτο οὐκ ἀΐδια, ἀλλ' ἐὰν ἀεὶ φαίνωνται ἀναγκαίως περὶ τῇ ὕλῃ ἑκάτερον αὐτῶν ὄν, εἴη ἂν ἀΐδια ἥ τε ἕξις καὶ ἡ στέρησις, εἰ καὶ μὴ ἥδε ἡ ἕξις μηδὲ ἥδε ἡ στέρησις ἀΐδια. ὅτι δὲ ἀναγκαῖον ἀεὶ ταῦτα εἶναι, δῆλον πρῶτον μὲν ἐκ τοῦ τὴν ὕλην ἀΐδιον οὖσαν μὴ δύνασθαί ποτε χωρὶς εἴδους εἶναι, ἢ ἐπινοίᾳ μόνον, δεύτερον ἐκ τοῦ, εἰ μὴ δυνάμει τὰ ἀντικείμενά τε καὶ τὰ ἐναντία, οὖσαν αὐτὴν τῷ μὴ δύνασθαι ἅμα ἐν τοῖς ἐναντίοις εἶναι ἐνεργείᾳ, ἀνάγκη ὅταν θάτερον αὐτῇ τῶν ἐναντίων παρῇ, δυνάμει θάτερον εἶναι, τὸ δὲ δυνάμενον ἐν στερήσει τότε ἐστὶν ἐκείνου οὗ δύναται, ἀνάγκη τὴν ὕλην ἀεὶ μετὰ εἴδους τινὸς εἶναι καὶ στερήσεως. εἰ δὲ ἀεὶ μετὰ ἀμφοτέρων καὶ οὐδέποτέ ἐστιν ὅτε ἡ ληφθεῖσα ὕλη ἢ πάντα ἃ δύναται ἅμα ἐνεργείᾳ

5. καὶ τῶν om. T. 14. ὄν] ἓν T. 15. ἥδε post μηδὲ om. T. 19. εἰ om. T. 20. τῷ] τὸ T.

ἔσται, ἢ πάντα ἃ δύναται δυνάμει, οὐδὲν δὲ ὧν δύναται ἐνεργείᾳ (οὐδὲν γὰρ ἂν αὕτη εἴη), ἀναγκαῖον τὰ πρῶτα ἐναντία ἀΐδια εἶναι.

Ὅτι μὴ τὸ εἶδος ἐν τῇ ὕλῃ ὡς ἐν ὑποκειμένῳ. ιζ'.

Εἴ τι εἶδός τινος ἐν ὑποκειμένῳ ἐστὶν, ἤτοι ἐν τῇ ὕλῃ ἐν ὑποκειμένῳ ἐστὶ τῇ πρώτῃ, ἤτοι ἐν τῷ σώματι οὗ εἶδός ἐστιν, ἢ ἐν τῷ εἰς τοῦτο μεταβάλλοντι σώματι· οὔτε δὲ ἐν τῇ πρώτῃ ὕλῃ οἷόν τέ τι ἐν ὑποκειμένῳ εἶναι, ὅτι μηδὲ τὴν ἀρχὴν ὑπόκειται ἡ τοιαύτη ὕλη ἐνεργείᾳ, ἀλλὰ δεῖται πρὸς τὸ εἶναι ἐν ὑπάρξει τοῦ εἴδους· οὔτε γὰρ τὴν ὕλην χωρὶς εἴδους οἷόν τε ἐν ὑποστάσει εἶναι οὔτε τὸ εἶδος ἄνευ τῆς ὕλης· ἑκάτερον γὰρ αὐτῶν τοῦ ἑτέρου δεῖται πρὸς τὸ εἶναι ἐνεργείᾳ τε καὶ ἐν ὑπάρξει. δεῖ δὲ τὸ ἐν ᾧ τί ἐστιν ὡς ἐν ὑποκειμένῳ, αὐτὸ εἶναι πρῶτον ἐνεργείᾳ μηδὲν πρὸς τὸ εἶναι ὃ ὑπόκειται βοηθούμενον ὑπὸ τοῦ ἐν ὑποκειμένῳ ὄντος αὐτῷ. ἀλλ' οὐδὲ ἐν ᾧ ἐστι σώματι καὶ οὗ εἶδός ἐστιν, οἷόν τε αὐτὸ ἐν ἐκείνῳ ὡς ἐν ὑποκειμένῳ εἶναι. μέρος γάρ ἐστι τούτου, εἴ γε κατὰ τοῦτό ἐστιν ἐκείνῳ τὸ εἶναι. ἀλλ' οὐδ' ἐν τῷ εἰς τοῦτο μεταβάλλοντι σώματι εἴη ἂν, ὅτι μηδέ ἐστιν ἐκεῖνο τὴν ἀρχὴν, ἀλλὰ ἐφθάρη· ἡ γὰρ κατὰ τὰ εἴδη τῶν σωμάτων μεταβολὴ φθορά. οὐδὲν ἄρα εἶδος ἔνυλόν

20. καὶ fort. del.

τι καί τινος ὂν οἷόν τε εἶναι ἐν ὑποκειμένῳ. εἰ δὲ τοῦτο, εἶδός τε καὶ ἡ ψυχὴ τοῦ ἐμψύχου σώματος οὐδὲ αὐτὴ ἂν εἴη ἐν ὑποκειμένῳ. οὔτε γὰρ ἐν τῷ ζώῳ· μέρος γὰρ ἡ ψυχὴ τοῦ ζώου κυριώτατον· οὔτε ἐν τῷ εἰς τὸ ἔμψυχον σῶμα μεταβάλλοντι σώματι. πῶς γὰρ ἂν ἐν τῷ ἐφθαρμένῳ; φθορὰ γὰρ ἐκείνῳ ἐγένετο ἡ εἰς τὸ ἔμψυχον μεταβολή. ὅλως τε ἀδύνατον εἶναι τὴν ψυχὴν ἔν τινι ὃ μὴ ψυχὴν ἔχει. ὃ δὲ τὴν ἀρχὴν μή ἐστιν ἔν τινι, οὐδ' ἂν ἐν ὑποκειμένῳ αὐτῷ εἴη. εἰ δὲ ἐν μὲν ᾧ ἐστι σώματι, εἶδός ἐστιν ἐκείνου καὶ μέρος· ἐν ᾧ δὲ μή ἐστι τὴν ἀρχὴν, οὐδ' ἂν ἐν ὑποκειμένῳ αὐτῷ εἴη, οὐκ ἂν ἡ ψυχὴ ἐν ὑποκειμένῳ τινὶ εἴη.

Ὅτι μὴ οἷόν τε τὸν κόσμον ἄφθαρτον εἶναι διὰ τὴν βούλησιν τοῦ θεοῦ, εἰ εἴη φθαρτὸς τῇ ἑαυτοῦ φύσει. ιή.

Τὸ δυνατὸν ἢ εἶναι ἢ γενέσθαι ἐπὶ τούτων κατηγορεῖται κυρίως, ἐπὶ τῶν ἐνδεχομένων καὶ μὴ εἶναι καὶ μὴ γενέσθαι ταῦτα ἃ λέγεται δυνατὰ εἶναι ἢ γενέσθαι. λέγομεν γοῦν δυνατὸν εἶναι τὸ οἷόν τε εἶναι ἢ γενέσθαι τὸ ἀκώλυτον ὄν· οὐ γὰρ τῷ πάντως γενέσθαι ἡ τοῦ δυνατοῦ κρίσις, ἀλλὰ τῷ μὴ κεκωλῦσθαι γενέσθαι αὐτό. δυνατὸν γὰρ οὐδὲν ἧττον τὸ μὴ κωλυόμενον ὑπό τινος περι-

2. τε] δὲ V. 3. γὰρ om. T. 11. ἐν μὲν vulg. 16. εἰ εἴη] ἢ εἰ T.

στάσεως γενέσθαι πρὸς ὃ τὴν ἐπιτηδειότητα ἔχει, κἂν μὴ γένηται· δυνατὸς γὰρ Δίων γραμματικὸς γενέσθαι, ἔστ' ἂν ᾖ, κἂν μὴ γένηται, εἰ μὴ εἴη τὸ δύνασθαι γενέσθαι γραμματικὸν αὐτὸν κεκωλυμένον. εἰ δὲ τοιοῦτον, δῆλον ὅτι ἀληθεύοιτ' ἂν τὸ δυνατὸν γενέσθαι τόδε τι ἐπὶ τούτων, εἰ δυνατὸν τὸ αὐτὸ τοῦτο καὶ μὴ γενέσθαι. ὃ δ' ἐξ ἀνάγκης τι ἢ ἔστιν ἢ γίνεται, τοῦτο οὐκ ἀληθὲς λέγειν δύνασθαι γενέσθαι, εἰ μή τις τῷ δυνατῷ ἀντὶ τοῦ ἀναγκαίου χρῷτο. καὶ τὸ ἀδυνατὸν τὸ γινόμενον τοιοῦτο διὰ τὸ κεκωλῦσθαι καὶ μεταπίπτοντα τοῦ δυνατοῦ διὰ τὴν κωλύουσαν αὐτῷ γενέσθαι περίστασιν, τοῦτο, ὃ ἦν δυνατὸν κατὰ τὴν ἑαυτοῦ φύσιν, εἴη ἂν ἐπὶ τούτων γινόμενόν τε καὶ λεγόμενον, ἃ καὶ πρὸς τὸ γενέσθαι καὶ μὴ γενέσθαι τὴν ἐκ τῆς οἰκείας φύσεως παρασκευήν τε καὶ ἐπιτηδειότητα ἔχει. διὸ τὸ μὲν ἄχυρον δυνατὸν ὂν καυθῆναι καὶ μὴ καυθῆναι ἀδύνατον γίνεται καυθῆναι, ἐὰν ἐν τῇ ἀτόμῳ γένηται, καὶ ἡ ψηφὶς δυνατὴ οὖσα ὁραθῆναί τε καὶ μὴ ὁραθῆναι ἀδύνατος ὁραθῆναι γίνεται, ὅταν ἐν τῷ βυθῷ γένηται, τῷ κεκωλῦσθαι εἰς ἐνέργειαν ἐλθεῖν τὴν πρὸς τὸ ἕτερον ὧν ἐδύνατο ἐπιτηδειότητα· οὐκέτι δὲ ἡ διάμετρος ἀδύνατος σύμμετρος εἶναι τῇ πλευρᾷ διὰ τὸ κεκωλῦσθαι (τὴν γὰρ ἀρχὴν ἀνεπίδεκτός ἐστι τοῦ σύμμετρος εἶναι τῇ

6. εἰ] ἢ vulg. 11. μεταπίπτοντα] fort. μεταπίπτον vel μεταπίπτειν. 13. ὃ ἦν] οὖν V, Bagolinus; fort. οὖν δυνατὸν ὄν. 20. ψῆφις vulg.

πλευρᾷ δύνασθαι), λέγεται, ἀλλ' ἀσύμμετρον αὐτὴν ἐξ ἀνάγκης εἶναι λέγοντες τὸ σύμμετρον αὐτῆς ἀδύνατον κατηγοροῦμεν· καὶ τὸ θεῖον ἐξ ἀνάγκης ἄφθαρτον εἶναι λέγοντες ἀδύνατον αὐτόν φαμεν εἶναι τῇ αὑτοῦ φύσει φθαρῆναι. διττῶν τοίνυν τῶν ἀδυνάτων ὄντων, τῶν μὲν φύσει τῶν δὲ διὰ τὸ κεκωλῦσθαι, καὶ φύσει μὲν ὄντων ἀδυνάτων τούτων οἷς τισιν ὑπάρξεων τὰ ἀντικείμενα αὐτοῖς ἐξ ἀνάγκης ὑπάρχει· διὰ δὲ τὸ κεκωλῦσθαι τούτων, ἃ ἔχοντα πρὸς τὸ γενέσθαι φυσικὴν ἐπιτηδειότητα ὑπό τινος περιστάσεως ἐν αὐτοῖς γενέσθαι κεκώλυται, καὶ μόνων ἀδυνάτων γενέσθαι δυναμένων διὰ τὸ κεκωλῦσθαι τῶν ἐνδεχομένων τι ἢ δυναμένων, ὅτι δυνάμει ἦν, ἀλλ' οὐκ ἐξ ἀνάγκης· εἰ μὲν ὁ κόσμος γενητὸς ὢν ἔχει ἐν ἑαυτῷ δύναμιν καὶ τοῦ φθαρῆναι καὶ τοῦ μὴ φθαρῆναι, δύναιτ' ἂν ὑπό τινος κωλυθεὶς φθαρῆναι ἀδύνατος φθαρῆναι γενέσθαι. εἰ δέ ἐστιν ἐξ ἀνάγκης καὶ ἐν τῇ φύσει παντὸς τοῦ γενομένου τὸ φθαρῆναι, ἐξ ἀνάγκης ἂν ὑπάρχοι παντὶ τῷ γινομένῳ τὸ δεῖν αὐτὸ φθαρῆναι· ᾧ δὲ ἐξ ἀνάγκης τὸ φθαρῆναι, τοῦτ' ἀδύνατον μὴ φθαρῆναι διὰ τὸ τὴν φύσιν αὐτοῦ ἀνέφικτον ἀϊδιότητος εἶναι, ὥστε καὶ ὁ κόσμος φθαρτὸς ὢν ἐξ ἀνάγκης, εἴ γε καὶ γενητός, κατὰ τὴν αὑτοῦ φύσιν ἀνεπίδεκτός ἐστιν ἀϊδιότητος. τὸ δ' οὕτως

1. ἀλλ' ἀσύμμετρον] ἀλλὰ σύμμετρον vulg. 4. αὐτόν] aut αὐτὸ aut τὸν θεόν. 8. οἷς om. T. ὑπάρξεων] ὑπάρξεσι V, fort. τὸ ἐν ὑπάρξει εἶναι. 9. ὑπάρχει] οὐχ ὑπάρχει V. 10. ἃ] τὰ vulg.

ἀνεπίδεκτον ἀϊδιότητος κατὰ τὴν αὑτοῦ φύσιν ἀδύνατον ἀϊδιότητα δέξασθαι. τὸ δ' οὕτως ἀδύνατον, πᾶσιν ὂν ἀδύνατον, καὶ τοῖς θεοῖς ἂν εἴη τοιοῦτον. οὔτε γὰρ τὸ ἐξ ἀνάγκης ὑπάρχον τινὶ οἷόν τε ὑπάρχειν αὐτῷ κωλυθῆναί ποτε καὶ οὐκ εἶναι οὕτως ὑπάρχον, οὔτε τὸ ἀδύνατον ὑπάρχειν δυνατὸν ὑπάρχον γενέσθαι. μόνα γὰρ ἐκεῖνα κωλυθῆναι ὑπάρχειν τισὶν οἷά τε, πρὸς ἃ καὶ τοῦ ἔχειν αὐτὰ καὶ τοῦ μὴ ἔχειν φυσικὴν παρασκευὴν ἔχει, καὶ ἃ χωρὶς τοῦ κωλύεσθαι δύναται ἐν αὐτῷ μὴ γενέσθαι. ἃ δέ ἐστιν ἐξ ἀνάγκης τισὶ παρακολουθοῦντα, οὐχ οἷόν τε ταῦτα κωλυθῆναι γενέσθαι· ἔσται γὰρ οὕτω ταὐτὸν ἅμα γινόμενόν τε καὶ μὴ γινόμενον, γινόμενον μὲν διότι ἀναγκαῖον ἦν γενέσθαι, οὐ γινόμενον δὲ διότι ἦν κεκωλυμένον, τοῦτο δὲ ἀδύνατον. ἀδύνατον ἄρα καὶ τὸ φθαρτὸν κωλυθῆναι φθαρῆναι, ἐπειδὴ ἀναγκαῖον τῷ φθαρτῷ τὸ φθαρῆναι καὶ ἀδύνατον τὸ μὴ φθαρῆναι. ἔσται γὰρ οὕτως ἅμα φθειρόμενός τε καὶ μὴ φθειρόμενος. ὅτι δὲ τὰ ἀδύνατα τῇ αὑτῶν φύσει καὶ τοῖς θεοῖς ἐστι τοιαῦτα, καὶ Πλάτων αὐτὸς μαρτυρεῖ, δι' ὧν λέγει ἀλλ' οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατὸν ὦ Θεόδωρε· ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ ἀεὶ ἀνάγκη εἶναι, οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρύσθαι, τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τόν τόπον περιπολεῖ ἐξ ἀνάγκης.

8. πρὸς fort. del. 22 *Πλάτων*] Theaet. p. 176 (247 Bekk). 27. τρόπον T. περιπολεῖν vulg.

Πῶς ἡ αὐτὴ δύναμις ἅμα τῶν ἐναντίων λέγεται εἶναι. ιθʹ

Ἡ αὐτὴ δύναμις τῶν ἐναντίων εἶναι λέγεται, οὐχ ὡς ἅμα δυναμένων τῶν ἐναντίων περὶ τὸ τὰς δυνάμεις ἔχον αὐτῶν γενέσθαι· τοῦτο γὰρ ἀδύνατον, ἀλλ' ὅτι μὴ οὕτως ἔχειν τὸ τῶν ἐναντίων ἔχον τὰς δυνάμεις, ὡς πρῶτον μὲν ὀφείλειν τόδε τῶν ἐναντίων δέξασθαι, μετὰ δὲ τοῦτο τόδε· ἐν παντὶ γὰρ χρόνῳ ἐνδέχεται τὸ ἐν μηδετέρῳ ὂν τῶν ἐναντίων ἐν ὁποτερῳοῦν αὐτῶν γενέσθαι, καὶ οὐκ ἀφωρισμένως ἐν τῷδε. διὸ καὶ λέγεται ἅμα ἔχειν τὰς τῶν ἐναντίων δυνάμεις. τὸ γὰρ ἐνδέχεσθαι, ὅσον ἐπὶ τῇ φύσει τοῦ τὰ ἐναντία δεχομένου, ὅτε τὸ ἕτερον ἐν αὐτῷ γίνεται, μηδὲν ἧττον ἀντὶ τούτου τὸ ἕτερον ἐν αὐτῷ γενέσθαι, αἴτιον τοῦ ἅμα αὐτῶν τὰς δυνάμεις ἔχειν. παρὰ γὰρ τὰ ποιητικὰ αὐτῶν τόδε τι πρῶτον τῶν ἐναντίων ἐν τῷ ἀμφοτέρων δεκτικῷ γίνεται τῷ παρεῖναι τοῦτο, οὐ τῷ τοιαύτην σχέσιν ἐσχηκέναι πρὸς αὐτό, ἢ μετὰ ἰσχυροτέρας δυνάμεως αὐτὸ κινεῖν. εἰ γὰρ μὴ ἅμα τὰς δυνάμεις εἶχεν αὐτῶν, ἀλλ' ἐν ἄλλῳ καὶ ἐν ἄλλῳ χρόνῳ, ἀδύνατον ἂν ἦν ποτὲ τόδε τι τῶν ἐναντίων δέξασθαι αὐτὸ οὐ τῷ ἕτερον αὐτῷ ἐν αὐτῷ προλαβὸν εἶναι, ἀλλὰ καὶ μηδετέρου παρόντος καὶ παρόντος αὐτῷ τοῦ ποιητικοῦ τῷ μὴ ἔχειν τὴν δύναμιν τοῦ τότε δέ-

1. vid. II. 15. 3. δύναμις] fort. ἅμα add. 6. μὴ οὕτως ἔχειν] fort. οὕτως ἔχει. 24. οὐ τῷ] οὕτω T. αὐτῷ] fort. αὐτῶν.

ξασθαι αὐτό. εἰ δὲ μηδεὶς χρόνος ἐστὶν, ἐν ᾧ τὸ δεκτικὸν τῶν ἐναντίων ὁμοίως κεκώλυταί τι αὐτῶν ἔχειν· μόνον γὰρ τότε τὸ ἕτερον αὐτῶν κωλύεται ἐν τῷ δεκτικῷ γενέσθαι, ὅταν ὑπὸ θατέρου τὸ δεκτικὸν αὐτῶν προληφθῇ τῷ ἀδύνατον εἶναι τὰ ἐναντία συνυπάρχειν ἀλλήλοις, οὐδὲν μέντοι κεκώλυται, καθόσον ἐπὶ τῇ τοῦ δεκτικοῦ φύσει, φθεῖραν τὸ προϋπάρχον τῷ δεκτικῷ δύναμιν ἔχειν τὸ τοῦτο ποιητικὸν αὐτὸ ἐν αὐτῷ γενέσθαι. καὶ γὰρ ὅτε δὲ ἐν τῷ ἑτέρῳ τῶν ἐναντίων, τότε δύναμιν ἔχει τοῦ μεταβάλλειν εἰς θάτερον· εἰ γὰρ μὴ ἔχοι τὸ ἐν τῷ ἑτέρῳ τῶν ἐναντίων ὂν δύναμιν τοῦ μεταβάλλειν εἰς θάτερον, μένοι ἂν ἐν τῷ ἑτέρῳ ἀδύνατον ὂν εἰς τοῦτο μεταβάλλειν ἔτι. εἰ δὲ μεταβάλλει, δῆλον ὡς τῷ δύναμιν ἔχειν τοῦ δέξασθαι καὶ τοῦ μεταβάλλειν μεταβάλλοι ἂν πᾶν εἰς αὐτό. ἀλλὰ μὴν καὶ τοῦ ὄντος ἐν αὐτῷ ἐναντίου δύναμιν ἔχει· οὐ γὰρ δὴ μὴ δυνάμενον εἶναι ἐν αὐτῷ· ὅτε γὰρ τοῦ ἑτέρου τῶν ἐναντίων τὴν δύναμιν ἔχει, τότε καὶ θατέρου, ὥστε ἅμα μὲν ἀμφοτέρων, καὶ ὅτε τοῦ ἑτέρου καὶ τοῦ ἑτέρου, τότε θάτερον προειληφέναι, οὐδὲν ἧττον ὅσον ἐπὶ τῇ τοῦ δεκτικοῦ φύσει δεδυνημένου ἂν καὶ τούτου προειληφέναι, γίνεται τούτων ὧν δύναται, τὸ μὲν ἔχον τὸ δὲ ἕξον.

8. φθεῖραν . . γενέσθαι] corrumpi ipsum praeexistens eo quod receptivum potentiam habeat huius, quod effectivum in ipso fiat Bagolinus. fort. ἔχειν τοῦ ποιητικόν. 10. δὲ] abundat. 19. ἐν αὐτῷ] ἐν ἂν τῷ ἐν αὐτῷ vulg. Fort. ἐν αὐτῷ, ἔστιν ἐν αὐτῷ. 22. τότε] fort. τότε τῷ.

Διὰ τί τοῦ θέρους ὑπνωτικώτεροί ἐσμεν, εἰ ὁ ὕπνος διὰ τὴν τοῦ συμφύτου ἡμῖν θερμοῦ εἰς τὸ ἐντὸς ἀντιπερίστασιν. κ΄.

Εἰ ὁ ὕπνος διὰ τὴν τοῦ συμφύτου ἡμῖν θερμοῦ εἰς τὸ ἐντὸς ἀντιπερίστασιν, τοῦ δὲ θέρους ἀντιπεριέστηκε μᾶλλον τὸ θερμὸν εἰς τὸ ἐκτὸς, διὰ τί τοῦ θέρους ἐσμὲν ὑπνωτικώτεροι; ἢ ὁ ὕπνος γίνεται τῷ κατέχεσθαι ὑπὸ τῆς κατενεχθείσης ἀναθυμιάσεως ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν θώρακα τὸ σύμφυτον ἡμῖν θερμόν; ἡ γὰρ τούτου αὐτόθι συστολὴ αἰτία τῆς ἀργίας ταῖς αἰσθήσεσιν, ἥτις γίνεται κατοχῇ τοῦ θερμοῦ περὶ τὸν θώρακα, ἕως ἂν ἡ κατενεχθεῖσα ἀναθυμίασις οὖσα παχεῖα ὑπὸ τῆς κατεχομένης ὑπ᾽ αὐτῆς θερμότητος ἀθρόας αὐτόθι συνεσταλμένης πεφθῇ τε καὶ λεπτυνθεῖσα διακριθῇ. καὶ αὕτη κατὰ φύσιν αἰτία τοῦ ὕπνου καὶ τοῦ ἐν τῷ χειμῶνι καὶ τοῦ ἐν τῷ θέρει γινομένου, ἀλλὰ τοῦ μὲν χειμῶνος τῷ ὑπὸ τοῦ περιέχοντος ἡμᾶς ἀέρος ὄντος ψυχροῦ ἐπιψύχεσθαι τὴν ἐπιφάνειαν οὐχ ὁμοίως τὸ σύμφυτον ἡμῖν θερμὸν ἐπ᾽ αὐτὴν ἐπιῤῥεῖ τε καὶ χεῖται ἐπ᾽ αὐτῇ, ἀλλ᾽ ἐστὶν ἔνδον περὶ τὸν θώρακα καὶ τὴν καρδίαν πλεῖον συνηθροισμένον· διὸ ὑπὸ τῆς καταφερομένης ἀναθυμιάσεως οὔτε ὁμοίως κρατεῖται, κρατηθέν τε τῷ πλήθει ταχέως ἐκπέσσεται καὶ λεπτύνει τὴν κατέχουσαν ἀναθυμίασιν αὐτό· διὸ οὔτε ῥάδιοι οἱ τοῦ χειμῶνος ὕπνοι οὔτε πολυχρόνιοι. τοῦ δὲ θέρους

7. ἢ] εἰ Bogolinus. 26. ἐκπέσσεται] ἐκπεσεῖται vulg.

διὰ τὴν τῆς ἐπιφανείας μανότητα τὴν γινομένην ὑπὸ τῆς ἐν τῷ περιέχοντι ἀέρι θερμότητος τὸ σύμφυτον ἡμῖν θερμὸν πλεῖον ἐπ' αὐτὴν φερόμενον καὶ διαπνεόμενον ἔλλαττόν ἐστι περί τε τὸν θώρακα καὶ τὴν καρδίαν· διὸ ὑπὸ τῆς καταφερομένης ἀναθυμιάσεως κρατούμενόν τε καὶ κατεχόμενον ῥαδίως, ἔτι τε μὴ δυνάμενον ὁμοίως αὐτὸ διακρίνειν τε καὶ λεπτύνειν δι' ὀλιγότητα, ἐπὶ πλείονα χρόνον κρατούμενον ὑπ' αὐτοῦ, αἴτιον γίνεται πλειόνων ἡμῖν ὕπνων τοῦ θέρους. Ἴσως δὲ καὶ ἡ τῶν νυκτῶν βραχύτης φαντασίαν ἡμῖν πλείω παρέχει τοῦ δοκεῖν τοῦ θέρους κοιμᾶσθαι πλείω διὰ τὸ καὶ τῆς ἡμέρας ἐπιλαμβάνειν τι. εἴη δ' ἂν καὶ δι' ἀσθένειαν τῶν αἰσθητηρίων τὴν γινομένην ὑπὸ τῆς περιεχούσης ἡμᾶς τοῦ θέρους θερμότητος πλείων ὁ ὕπνος γινόμενος τοῦ θέρους. ξηροτέρων γὰρ γινομένων ὑπὸ τῆς ἔξωθεν θερμότητος αὐτῶν, καὶ διὰ τοῦτο μὴ δυναμένων ἐνεργεῖν ἡ εἰς ὕπνον γίνεται καταφορὰ τοῦ ἐν αὐταῖς ὄντος οἰκείου τε καὶ ἐμφύτου θερμοῦ ἐξασθενοῦντος πρὸς τὴν ἐνέργειαν τῷ ὑπὸ τοῦ ἔξωθεν θερμοῦ πλείονος ὄντος κρατεῖσθαι, ὃ καὶ τὸ τῶν λύχνων φῶς ὁρῶμεν πάσχον ὑπὸ τοῦ φωτὸς τοῦ τῆς ἡμέρας.

Ἐν τίνι κατηγορίᾳ ἡ κίνησις. κά.

Τὴν κίνησιν εἴ τις μὴ παραδέχοιτο ἐν τοῖς ποσοῖς τῷ ἐν ταῖς κατηγορίαις αὐτὴν ἐν τοῖς

25. conf. Theophrastus et Eudemus ap. Simplic. ad Physic. fol. 93.

ποσοῖς μὴ κεῖσθαι, λέγοιτ' ἂν εἶναι πρός τι. ᾧ δέ τινι οὔσῃ τῇ κινήσει ὑπάρχει τὸ πρός τι εἶναι, εἴη ἂν πάθος. εἰ γὰρ τὸ κινεῖσθαι πάσχειν τί ἐστι, πάθους δὲ παρουσίᾳ τὸ πάσχον πάσχει, καί ἐστι τὸ κινούμενον κινήσεως παρουσίᾳ κινούμενον, ἡ κίνησις ἂν πάθος εἴη. τὸ δὲ πάθος ποιότης· τρίτον γὰρ εἶδος ποιότητος παθητικαὶ ποιότητες καὶ πάθη. ἡ μὲν οὖν ἀτελὴς ἐνέργεια πάθος οὖσα εἴη ἂν ποιότης, ἡ δὲ τελεία ἐνέργεια ἔτι ἂν εἴη καὶ ὑπὸ κατηγορίαν τινά. ἢ εἰ ἡ τοιαύτη ἐνέργειά τε καὶ ἐντελέχεια εἶδος, τῶν δὲ εἰδῶν τὰ μὲν φυσικὰ τὰ δὲ τεχνικά, καί ἐστι τὰ μὲν φυσικὰ εἴδη οὐσίαι, τὰ δὲ τεχνικὰ ποιότητες, εἴη ἂν καὶ τῶν ἐνεργειῶν αὕτη διαφορά. εἰσὶ δὲ καὶ τῶν φυσικῶν εἰδῶν ποιότητες, ἃ μὴ εἰς τὴν οὐσίαν τῶν ὑποκειμένων συντελεῖ, ἀλλ' εἰς τὸ τοιοῖσδε εἶναι. τί οὖν χρὴ λέγειν τὸ φῶς εἶναι, ἐπεὶ καὶ αὐτὸ ἐντελέχεια τοῦ διαφανοῦς ᾗ διαφανές; ἢ εἰ μὴ φύσει τοῦ διαφανοῦς εἴδους τὸ φῶς, μηδὲ οὐσία τὶς γίνεται αὐτοῦ· οὐ γὰρ σύνεστιν τῷ διαφανεῖ οὐδὲ ἐν τῇ οὐσίᾳ ἐστὶν αὐτοῦ, ἀλλὰ παρουσίᾳ τινὸς ἐν αὐτῷ γίνεται καὶ κατὰ σχέσιν ἄλλου πρὸς ἄλλο, εἴη πάθος τι καὶ αὐτὸ γινόμενον κατὰ σχέσιν καὶ παρουσίαν τινὸς ἐν τῷ διαφανεῖ, ἀνάλογον ὂν χρώματι, ὡς καὶ Ἀριστοτέλης εἶπεν· οἷον γὰρ τὸ χρῶμα τὸ φῶς εἶπεν τοῦ διαφανοῦς.

10. τινά] fort. τίνα et τί pro ἔτι. εἰ ἡ] εἴη vulg. 14. αὕτη] fort. αὕτη ἡ. 19. ἢ εἰ] εἴη T. εἴδους] fort. εἶδος. 23. εἴη] add. ἄν. 24. fort. παρουσίᾳ. 26. Ἀριστοτέλης] de anima II, 7. de sensu 3.

Εἰ τὸ κινούμενον ἐπί τινος κατὰ πρότερον μόριον αὐτοῦ πρότερον κινεῖται. κβ'·

Εἰ τὸ κινούμενον ἐπί τινος μεγέθους κατὰ πρότερον μόριον αὐτοῦ πρότερον κινεῖται· διὰ τοῦτο γὰρ ἐν χρόνῳ πᾶσα κίνησις, ὅτι μὴ οἷόν τε ἅμα τὸ κινούμενον ἐπὶ παντὸς τοῦ ὑποκειμένου ἀθρόως κινηθῆναι, ἀλλὰ δεῖ τὸ μέν τι αὐτοῦ πρῶτον διελθεῖν τὸ δὲ ὕστερον· εἰ δὴ τοῦτο, καὶ κατὰ τὸ πρότερον μόριον τοῦ μεγέθους πρῶτον κινεῖται τὸ κινούμενον, εἰ ἐπ' ἄπειρον ἐν τῷ μεγέθει τὸ πρότερον, πᾶν τὸ κινούμενον ἄπειρα ἔσται κινούμενον, καὶ πᾶν τὸ κεκινημένον ὅσον δὴ διάστημα ἄπειρα πρότερα καὶ ἄπειρα μόρια κεκινημένον ἔσται. ἀλλὰ ἀδιεξίτητα τὰ ἄπειρα. ἤτοι οὖν οὐκ ἐπ' ἄπειρα ἡ τομὴ τῶν συνεχῶν, ἢ οὐ κατὰ τὸ πρότερον πρότερον ἡ κίνησις. ἢ γίνεται μὲν κατὰ τὸ πρότερον μόριον τοῦ μεγέθους ἡ κίνησις πρότερον, οὕτω μέντοι κατὰ τὸ πρότερον μόριον, ὡς ἔστιν ἐν τῷ συνεχεῖ τὸ μὲν πρότερον μόριον, τὸ δὲ ὕστερον; οὐ γὰρ ἄλλως ἐστὶ μὲν ἐν ἐκείνῳ, ἄλλως δὲ αὐτὸ τὸ κινούμενον δίεισι λαμβάνον τι. πῶς οὖν ἔστιν ἐν τῷ συνεχεῖ τὸ πρότερον καὶ ὕστερον μόριον; ἆρά γε ἐνεργείᾳ; ἢ οὐκ ἔτ' ἂν ᾖ συνεχὲς οὐδὲν εἴη ἂν αὐτοῦ τὰ μέρη διῃρημένα καὶ ἐνεργείᾳ ἐν τῷ ὅλῳ; τῷ γὰρ ἀδιαίρετον εἶναι τὸ μέγεθος (ἐπινοίᾳ γὰρ ἦν διῃρημένον) τούτῳ ἔστι συνεχές. εἰ γὰρ ἦν ἐνεργείᾳ διῃρημέ-

3. fort. κατὰ τό. 15. ἡ τομὴ] ἢ τὸ μὴ vulg. κατὰ τὰ vulg. 23. ἔτ'] fort. ἔστ' vel ἂν εἴη σ. οὐδέν, εἰ εἴη αὐτοῦ.

νον, οὔτ' ἂν αὐτὸ ἕν τι μέγεθος ἦν οὔθ' ἡ κίνησις μία. εἰ δὲ μὴ ἐνεργείᾳ τὰ μόρια τὰ ἐν τῷ ὅλῳ ἐστὶ, λείπεται δυνάμει αὐτὰ εἶναι ἐν τῷ ὅλῳ τε καὶ συνεχεῖ, καὶ τὸ πρότερον δὴ καὶ τὸ ὕστερον ἔσται ἐν τῷ συνεχεῖ δυνάμει οὐκ ἐνεργείᾳ, καὶ τὸ κινούμενον δὴ ἐπ' αὐτοῦ οὕτω κατὰ τὸ πρότερον κινήσεται, ὥς ἐστιν καὶ ἐν τῷ μεγέθει, δυνάμει δέ ἐστιν ἐν τῷ μεγέθει. οὕτως οὖν καὶ αὐτὸ ἐπ' αὐτοῦ κινήσεται. τοῦτο δὲ ποιήσει, εἰ μὴ ὡς διαιροῦν αὐτὸ κινοῖτο καὶ ἐνεργείᾳ ποιοῦν πρότερόν τι ἐν αὐτῷ καὶ δεύτερον, κινούμενον δὲ οὕτως, ὅταν κινηθῇ ἐπὶ τοῦ μεγέθους, ὡς εἶχεν τὸ μέγεθος τὰ πρότερα ἐπ' ἄπειρον, οὕτως ἔσται καὶ αὐτὸ κεκινημένον αὐτὰ, δυνάμει δὲ εἶχεν ἐκεῖνο ἐπ' ἄπειρον τὰ πρότερα, καὶ τοῦτ' ἔσται τὰ δυνάμει πρότερα ἐπ' ἄπειρον διεληλυθὸς, ὃ οὐκ ἦν ἀδύνατον. οὐ γὰρ ἔκειτο τὰ δυνάμει ἄπειρα ἀδιεξίτητα εἶναι, ἀλλὰ τὰ ἐνεργείᾳ. διαιρεῖ δὲ καὶ ὁ ἀξιῶν ἀριθμεῖν τὰ πρότερα ἃ διέξεισι τὸ κινούμενον.

Πῶς εἰ φθαρτὴ ἡ γῆ, οὐκ ἐνδέχεται αὐτὴν καὶ ἅμα ποτὲ φθαρῆναι. χγ'.

Εἰ ἐνδέχεται τήνδε βῶλον φθαρῆναι κατὰ τόνδε τὸν κολωνὸν, καὶ οὑτωσὶ ἕξουσιν ἐπὶ παν-

8. δὲ] τί ἐστιν T. 9. οὖν] ὂν T. 15. fort. ἐκεῖνα. 24. Εἰ] lemma Πῶς . . φθαρῆναι repetit Bagolinus. τήνδε] fort. τήνδε τήν.

τὸς μέρους τῆς γῆς ἀληθὲς τὸ ἐνδέχεσθαι αὐτὸ φθαρῆναι, ἐνδέχοιτο ἂν καὶ πᾶσαν τὴν γῆν φθαρῆναι. εἰ δὲ τοῦτο, ἐνδέχοιτο ἂν μὴ εἶναι γῆν, ὅπερ ἀδύνατον. οὐδὲ γὰρ ὁ κόσμος εἴη ἀναιρουμένου τοῦ περὶ ὃ ἡ φορὰ αὐτῷ. ἢ οὐχ ἕπεται τῷ πᾶσαν ἐνδέχεσθαι φθαρῆναι τὴν γῆν τε τὸ ἅμα; τοῦτο γὰρ ἀδύναταν. εἰ γὰρ πάντα διὰ τὸ τῆς τῶν οὐρανίων κινήσεως ἐκ τῆς τινος εἰς ἄλλο τι γίνεται μεταβολῆς, οὕτω καὶ ἐξ ἄλλου τινὸς εἰς γῆν. καὶ ἐπ᾽ ἀνθρώπων δὲ ὁ αὐτὸς λόγος. οὐ γὰρ εἰ πάντες φθαρτοὶ, καὶ ἅμα πάντες. ὁ δὲ τῇ ἐπαγωγῇ δεικνὺς διὰ τοῦ ἕνα ἕκαστον τῶν δεικνυμένων ἐνδέχεσθαι αὔριον φθαρῆναι, καὶ πάντας ἅμα αὔριον ἐνδέχεσθαι φθαρῆναι, οὐχ ὑγιῶς λαμβάνει. καὶ γὰρ εἰ λάβοι πάντας, οὓς ἐπεξῆλθεν, αὔριον ἀθρόους φθαρήσεσθαι, οὐκ ἤδη καὶ πάντας εἴληφεν τῷ μὴ ἐπεξεληλυθέναι πάντας. ἔτι τε οὐδὲ οὓς ἐπεξῆλθεν, οὕτως ἔλαβεν ὡς ἀθρόως ἐνδεχομένους αὔριον φθαρῆναι, ἀλλ᾽ ὡς ἕνα ἕκαστον. διὸ οὐ συνάξει τὸ πάντας ἀθρόους, ἀλλὰ τὸ πάντας ὡς ὁντιναοῦν αὐτῶν, ὡς ἐπὶ τῆς ἐπ᾽ ἄπειρόν τε καὶ πάντῃ τομῆς· πάντῃ γὰρ τμητὸν τὸ συνεχὲς, οὐχ ὅτι ἅμα πάντῃ. ἀλλ᾽ ὅτι καθ᾽ ὁτιοῦν· ἴσως δὲ οὐδὲ ὁμοίως γῆν τε ἀναγκαῖον εἶναι καὶ ἄνθρωπον, ἀλλὰ τὴν μὲν γῆν ἁπλῶς ἀνάγκη εἶναι, τὸν δὲ ἄνθρωπον ἐξ ὑποθέσεως. διὰ τοῦτο γὰρ οὐχ ἁπλῶς ἀναγκαία ἡ λέγουσα πρότασις τὸν ἄνθρω-

4. εἴη] add. ἄν. 5. φορὰ] φθορὰ vulg. 6. τε] del. vel καὶ scrib. 7. τὸ] fort. del. 15. ὑγιῶς] ὅτι ὡς T.

πον ἐξ ἀνάγκης ζῷον εἶναι, ἀλλὰ μετὰ διορισμοῦ τοῦ ἔστ' ἂν ἄνθρωπος εἴη.

Ἐξήγησις λέξεως ἐκ τοῦ πρώτου τῆς φυσικῆς ἀκροάσεως Ἀριστοτέλους ἐπὶ τέλει εἰρημένης, δι' ἧς λέγει εὑρεθεῖσαν τὴν ὕλην λῦσαι καὶ τὰς τῶν ἀρχαίων ἀπορίας. κδ΄.

Διαφέροιεν ἂν αἱ δείξεις αἱ δύο αἱ εἰρημέναι ἐν τῷ πρώτῳ τῆς φυσικῆς ἀκροάσεως ἐπὶ τῷ τέλει τοῦ βιβλίου, δι' ὧν εἰπὼν περί τε τῆς ὕλης καὶ τῆς στερήσεώς φησιν εὑρεθεῖσαν ταύτην τὴν ὕλην λύειν καὶ τὴν τῶν ἀρχαίων ἀπορίαν, δι' ἣν ἀνῄρουν γένεσιν καὶ φθορὰν τῷ δεῖν μὲν τὸ γινόμενον ἢ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος γίνεσθαι, μήτε δὲ ἐξ ὄντος δύνασθαι (προϋπάρχοι γὰρ ἂν ὃ γίνεται, εἰ γίνεται μὲν τὸ μηδέπω ὄν, τὸ δὲ ἐξ ὄντος γινόμενον ἐκ φθάνοντος εἶναι λέγοιτ' ἄν), μήτε ἐκ μὴ ὄντος εἶναι τῷ μηδὲν ἐκ μὴ ὄντος γίνεσθαι. ἃς δὴ τῆς ἀπορίας ταύτης εἴρηκε λύσεις, εἰσὶν ἡ μὲν διὰ τοῦ καθ' αὑτό τε καὶ κατὰ συμβεβηκὸς ἢ ὄντος ἢ μὴ ὄντος, ἡ δὲ διὰ τοῦ δυνάμει τε καὶ ἐνεργείᾳ. εἰσὶ δὲ αὗται, εἴ τις τὴν ὕλην λαβὼν λέγοι ἐκ ταύτης καθ' αὑτὸ μὲν οὔσης κατὰ συμβεβηκὸς δὲ μὴ οὔσης τὰ γινόμενα γίνεσθαι, καὶ ὁμοίως ἐκ ταύτης πάλιν γίνεσθαι τὰ γινόμενα δυνάμει μὲν οὔσης ἐντελε-

2. εἴη] scrib. ᾖ. 9. ἀκροάσεως] I, 8.

χείᾳ δὲ μὴ οὔσης. καθ' αὑτὸ μὲν οὔσης ἐπὶ τῇ ἑαυτῆς φύσει· ὂν γάρ τι ἡ ὕλη. κατὰ συμβεβηκὸς δὲ μὴ οὔσης, διότι ἡ στέρησις καθ' αὑτὸ μὴ ὂν οὖσα συμβέβηκεν αὐτῇ· οὐ γὰρ ἄλλως ἐκ τῆς ὕλης οἷόν τε γενέσθαι τι, εἰ μὴ εἴη αὕτη συμβεβηκυῖα ἡ στέρησις τοῦ γίνεσθαι μέλλοντος. καὶ δυνάμει μὲν οὔσης, ἐπειδὴ δυνάμει ἐστὶν ἡ ὕλη τοῦτο ὃ γίνεται· ἐνεργείᾳ δὲ μὴ οὔσης, ὅτι οὐδέπω ἐστὶν ὃ γίνεται· οὐ γὰρ ἂν ἐγίνετο.

Αὗται δὴ διαφέροιεν ἀλλήλων τῷ τὴν μὲν πρώτην ἀπὸ τοῦ ὑποκειμένου τῇ γενέσει καὶ προϋπάρχοντος τῇ φύσει γεγονέναι (τοιαύτη γὰρ ἡ ὕλη τῇ αὑτῆς φύσει, ἐξ ἧς γίνεται ὂν μέν τι κατὰ τὴν αὑτῆς φύσιν, μὴ ὂν δὲ κατὰ τὴν συμβεβηκυῖαν αὐτῇ στέρησιν), τὴν δὲ δευτέραν ἀπὸ τῆς σχέσεως αὐτῆς τῆς πρὸς ὃ γίνεται. τῷ γὰρ δύνασθαι μὲν γίνεσθαι, εἰς ὃ μεταβάλλει, μηδέπω δὲ εἶναι ἐν τούτῳ τὸ γινόμενον ἐξ αὐτῆς γίνεται. εἴτε γὰρ ἦν ἤδη ἐν αὐτῷ, οὐκ ἂν ἐγίνετο. εἴτε μὴ ἦν μέν, ἦν δὲ ἀδύνατον, ἀδύνατον εἰς αὐτὰ μεταβάλλειν· οὐδὲν γὰρ τῶν ἀδυνάτων γίνεται. τῷ οὖν δύνασθαι μὲν εἰς ὃ δύναται μεταβάλλειν, μηδέπω δὲ εἰς αὐτὸ ἐνεργείᾳ μεταβεβληκέναι τούτῳ τὸ γινόμενον ἐξ αὐτῆς γίνεται· ὑπάρχει δὲ αὐτῇ τὸ μὲν δύνασθαι παρὰ τῆς οἰκείας φύσεως· ἐν τούτῳ γὰρ αὐτῆς τὸ ὕλῃ εἶναι, τὸ δὲ μηδέπω ἐνεργείᾳ εἶναι παρὰ τῆς στερήσεως. δύναται δέ τις ἐπὶ τῆς πρώτης λύσεως τὰ εἰρημένα διαιρεῖν, ὡς τὸ μὲν αὐτῆς

10. διαφέροιεν] add. ἄν. 21. αὐτὰ fort. αὐτό.

ἐπὶ τῆς στερήσεως εἰρῆσθαι λέγειν, τὸ δὲ ἐπὶ τῆς ὕλης. οὔσης γὰρ τῆς μὲν στερήσεως καθ' αὑτὸ μὲν μὴ ὄντος, κατὰ συμβεβηκὸς δὲ ὄντος, διότι οὔσῃ τῇ ὕλῃ συμβέβηκεν· τῆς δὲ ὕλης καθ' αὑτὴν μὲν οὔσης, κατὰ συμβεβηκὸς δὲ μὴ οὔσης, διότι ἡ στέρησις αὐτῇ μὴ ὂν οὖσα συμβέβηκεν, τὸν λύοντα τὴν τῶν ἀρχαίων ἀπορίαν δύνασθαι ἐρεῖν καὶ ἐκ τοῦ μὴ ἁπλῶς ὄντος γίνεσθαι τὰ γινόμενα καὶ ἐκ τοῦ ὄντος ἁπλῶς, καὶ ἰδίᾳ μὲν μηδέτερον αὐτῶν ἱκανὸν πρὸς γένεσίν τινος εἶναι (μήτε γὰρ τὸ μὴ ὂν ἁπλῶς, ὅτι μηδὲν ἐκ τοῦ οὕτω μὴ ὄντος γίνεται, μήτε τὸ ὂν καθ' αὑτό· ἤδη γὰρ ἂν εἶναι), ἀμφότερα δὲ γίνεσθαι τῆς γενέσεως αἴτια, ἀλλὰ τὸ μὲν μὴ ὂν καὶ τὴν στέρησιν μὴ καθ' αὑτό· ἦ γὰρ ἂν ἐκ ταύτης ἐγίνετο, εἰ ὑπομένουσα μετέβαλεν εἰς τοὐναντίον αὐτῇ, τοῦτο δ' ἀδύνατον· οὐ γὰρ οἷόν τε ὑπομένειν καὶ ὑποκεῖσθαί τινι τὸ τῇ αὑτοῦ φύσει μὴ ὄν, οὔτε τὸ ἐναντίον τινὶ οἷόν τε σωζόμενον δέξασθαι τὸ ἐναντίον αὐτῷ· κατὰ συμβεβηκὸς δὲ τὸ γινόμενον ἐκ ταύτης γίνεται τῷ ἐξ οὗ γίνεται (γίνεται δὲ ἐκ τῆς ὕλης,) ἐκείνῳ τὴν στέρησιν ἐξ ἀνάγκης συμβεβηκέναι· καὶ οὕτω μὲν ἡ γένεσις ἐκ τοῦ μὴ ὄντος [ὂν] καθ' αὑτό· καθὸ γὰρ ὄν πως· τοιοῦτο δὲ τῷ τῷ ὄντι συμβεβηκέναι. ἐκ δὲ τῆς ὕλης γίνεσθαι μὲν καθ' αὑτὴν τὰ γινόμενα· ὂν γὰρ οὖσα κατὰ τὸν ἑαυτῆς λόγον ὑπομένει τε καὶ σώζουσα τὴν ἑαυτῆς φύσιν δέχεται

24 ὂν del. 25. ὂν om. T. τῷ] τὸ T.

τοῦ γινομένου τὸ εἶδος, πρὸς ἣν μεταβολὴν ἡ στέρησις αὐτὴ τοῦ γινομένου συντελεῖ προϋπάρχουσα καὶ συμβεβηκυῖα αὐτῇ, πᾶσι γὰρ τοῖς ἐξ ὕλης γινομένοις ἡ γένεσις κατὰ τὴν ἐκ τῆς στερήσεως, εἰς ἃ γίνεται, μεταβολήν. διὸ οὔτε ἐκ τῆς στερήσεως καὶ τοῦ μὴ ὄντος καθ' αὑτὸ ἡ γένεσις (καθὸ γὰρ ὄν πως· ὂν γάρ πως τῷ τῇ ὕλῃ ὄντι οὔσῃ συμβεβηκέναι), οὔτε ἐκ τῆς ὕλης καὶ τοῦ ὄντος καθ' αὑτὸ, εἴ γε καθ' ὅ ἐστι στέρησις, ἡ εἰς τὸ εἶδος αὐτῆς μεταβολή.

Εἰς τὰ περὶ προνοίας τινὰ συντελοῦντα. κέ.

Τῶν οὐσιῶν κατὰ Ἀριστοτέλην ἡ μέν ἐστιν ἀσώματός τε καὶ ἄνευ σώματος εἶδός τι ἄϋλον καὶ χωριστὸν, ἐνεργείᾳ τις οὖσα πάσης δυνάμεως κεχωρισμένη, ἣν οὐσίαν καὶ νοῦν καλεῖ, νοῦν δὲ τὸν κατ' ἐνέργειαν, ἀεὶ γὰρ νοοῦντα καὶ νοοῦντα τὸ τῶν ὄντων ἄριστον, τοῦτο δ' ἔστιν αὐτός. αὑτὸν δὴ νοεῖ ὁ νοῦς οὗτος· τὸ γὰρ μάλιστα νοητὸν ὁ μάλιστα νοῦς νοεῖ, μάλιστα δὲ νοητὸν τὸ χωρὶς ὕλης εἶδος· τῇ γὰρ αὑτῆς φύσει ἡ τοιάδε οὐσία νοητή. τὰ μὲν γὰρ ἔνυλα εἴδη νοητὰ μέν ἐστιν, ἀλλ' οὐ τῇ αὑτῶν φύσει, ἀλλ' οὐδὲ καθ' αὑτὰ, ἀλλ' ὁ νοῶν αὐτὰ νοῦς νοητὰ αὐτὰ ποιεῖ χωρίζων αὐτὰ τῆς ὕλης τῇ ἐπινοίᾳ καὶ ὡς

15. ἐνέργεια Bagolinus. 23. ἀλλὰ post φύσει del.

ὄντα καθ' αὑτὰ λαμβάνων· τὸ δὲ πάσης ὕλης καὶ πάσης δυνάμεως εἶδος κεχωρισμένον τῇ αὑτοῦ φύσει νοητόν ἐστι κυρίως, ἀλλὰ μὴν ἡ τοιαύτη οὐσία ὁ προειρημένος νοῦς ἐστιν, διὸ ἑαυτὸν νοεῖ. καὶ γὰρ εἰ ἡ τοιαύτη οὐσία μηδὲν ἔχουσα δυνάμει ἀεὶ ἐνεργείᾳ ἐστὶ νοητὴ, ἐνεργείᾳ δέ ἐστι νοητὸν τὸ ἀεὶ κατ' ἐνέργειαν νοούμενον, εἴη ἂν νοούμενον ὑπὸ τοῦ νοῦ τοῦ ἀϊδίου τε καὶ ἐνεργείᾳ, τοιοῦτον δὲ ἡ προειρημένη οὐσία ἦν, ἡ πρώτη οὐσία νοῦς τε ὁ πρῶτος καὶ νοητὸν τὸ πρῶτον καὶ νοῦς ἀεὶ νοῶν καὶ ἐν τούτῳ τὴν οὐσίαν ἔχων. πᾶς μὲν γὰρ ὁ νοῦς ὅταν ἐνεργῇ, αὑτὸν νοεῖ τῷ γίνεσθαί πως ἐνεργῶν ὁ αὐτὸς τῷ νοουμένῳ, εἴ γε τῇ τοῦ νοουμένου λήψει τὸ νοεῖν γίνεται, τὸ δὲ τὸ εἶδος νοουμένου λαβὸν γίνεταί πως τό νοούμενον. τὸ δὲ πὼς εἶπον τῷ ἐφ' ὧν μὲν τὸ νοούμενον ἔνυλον, ἐπὶ τούτων οὐχ ἁπλῶς ὁ νοῶν νοῦς νοούμενον γίνεται τῷ μὴ μετὰ τῆς ὕλης τὸ εἶδος λαμβάνειν· ἐφ' ὧν δὲ τὸ νοούμενον εἶδός ἐστιν ὕλης κεχωρισμένον, ἐπὶ τούτων ἁπλῶς γίνεται ὁ νοῶν νοῦς ὁ αὐτὸς τῷ νοουμένῳ· ὅταν δὲ προσῇ καὶ αὐτῷ τῷ νοοῦντι νῷ αὐτόν τε εἶναι καθ' αὑτὸν, τότε πάντῃ γίνεται νοῶν ἑαυτὸν, μάλιστα δ' ἂν προσῇ τὸ μηδ' ἄλλο τι εἶναι τὸ χωριστόν τε καὶ ὕλης καὶ νοητὸν καθ' αὑτὸ παρὰ τὸν νοῦν. ἐπὶ μὲν γὰρ τῶν ἐνύλων τῷ εἴδει τὰ αὐτὰ, οὐ τῷ ἀριθμῷ γίνεται τὰ τοῦ αὐτοῦ εἴδους κεκοινωνη-

10. ἦν ἡ] ἦν ἦν vulg. malim ἡ. 17. τῷ] fort. ὅτι. 23. αὐτὸν] αὐτῷ T. τε abundat, fort. καὶ καθ'. κατ' αὐτὸν vulg.

κότα, παρὰ τῆς ὕλης τὴν κατὰ τὸν ἀριθμὸν διαφορὰν ἔχοντα· ὅσα δὲ τὰ αὐτὰ ὄντα εἴδη ἄϋλά ἐστιν, ταῦτα οὐ κατὰ τὸ εἶδος μόνον ἀλλὰ καὶ κατὰ τὸν ἀριθμόν ἐστι τὰ αὐτά· ἓν γὰρ τῷ ἀριθμῷ τὰ πάντα, ὡς αἱ συντιθέμεναι στιγμαί τε καὶ γραμμαὶ καὶ ἐπίπεδα. καὶ τοιαύτη μὲν, ὡς διὰ βραχέων ἐπιδεῖξασθαι, ἡ πρώτη τε καὶ ἀσώματος καὶ ἀκίνητος καὶ ἀΐδιος οὐσία, μετ' ἐκείνην δὲ τὸ θεῖον σῶμα τὸ κυκλοφορητικὸν ἔμψυχον καὶ κατὰ ψυχὴν κινούμενον. καὶ ἐπεὶ πᾶν τὸ κατὰ ψυχὴν κινούμενον ἐφέσει τινὸς ἢ ἀποστροφῇ κινεῖται, καὶ τὸ κυκλοφορητικὸν δὲ σῶμα κατὰ ψυχὴν κινεῖται τὴν κίνησιν τὴν κύκλῳ, ἣ μόνη κινήσεων πασῶν ἀΐδιός τέ ἐστι καὶ συνεχὴς καὶ ὁμαλή τις, δῆλον ὡς καὶ τοῦτ' εἴη ἂν ἐφέσει τινὸς κινούμενον. ἀλλὰ μὴν εἰ πᾶσα σωματικὴ οὐσία ὑστέρα τοῦ σώματος ἐκείνου, οὐδενὸς τούτων ἐφέσει κινεῖσθαι οἷόν τε αὐτό. τῆς ἄρα πρώτης οὐσίας ἀϊδίου τε καὶ ἀκινήτου λείπεται ἐφιέμενον αὐτὸ κινεῖσθαι τὴν ἀΐδιον περιφοράν. ἡ δ' ἔφεσις αὐτῷ οὐ τοῦ λαβεῖν αὐτὸ, ἀλλὰ τοῦ ὁμοιωθῆναι κατὰ δύναμιν αὐτῷ, ὁμοιοῦται δ' αὐτῷ κατὰ τὴν κίνησιν τῷ τε ἀϊδίῳ καὶ τῇ ὁμοιότητί τε καὶ ὁμαλότητι τῆς κινήσεως· στάσει γὰρ ἔοικέν πως ἡ περιφορὰ ἡ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσα· ἔτι τε ὁμοίωσις τῷ τελείῳ καὶ ἡ καθ' ὅσον δύναται ἕκαστον τῶν ὁμοιουμένων αὐτῷ τελειότης, τελειότης δὲ τοῦ

2. εἴδη] ἤδη T. 4. ἓν] ἐν T. 16. εἰ] ἡ T.

κυκλοφορητικοῦ σώματος ἡ τοιαύτη περιφορά. πλειόνων δὲ σφαιρῶν οὐσῶν τῶν τοῦ θείου σώματος ἡ μὲν πρώτη τε καὶ ἐξωτάτω ἁπλῆν τε καὶ μίαν κινεῖται κίνησιν ἐκείνης ἐφέσει τῆς οὐσίας, αἱ δὲ μετὰ ταῦτα ἑπτὰ κινοῦνται μὲν καὶ τούτων ἑκάστη ἐφέσει τε καὶ ὀρέξει τινὸς οὐσίας, ὁποίας καὶ ἡ πρὸ αὐτῶν· οὐ μὴν μόνην τήνδε κινοῦνται, ἀλλ' ἐξ ἑαυτῶν κινεῖται ἑκάστη ἣν κινεῖται καὶ περιφέρεται ἀνάπαλιν ἐκείνῃ τῷ τὴν θέσιν τε καὶ τάξιν τοιαύτην ἔχειν, κινεῖται δὲ καὶ δευτέραν κίνησιν ὑπὸ τῆς πρώτης περιφερομένη τὴν αὐτὴν ἐκείνῃ. τῆς δὲ διπλῆς τούτοις αἰτία κινήσεως τὸ δεῖν μὲν εἶναί τι καὶ ἄλλο σῶμα παρὰ τὸ ἀΐδιόν τε καὶ θεῖον ὂν ἐν γενέσει τε καὶ φθορᾷ, ἐπεὶ πρὸς τὴν ἀΐδιον αὐτοῖς περιφορὰν συντελεῖ καὶ τὸ τοιόνδε σῶμα, οὐχ οἷόν τε δὲ τὸ τοιοῦτο σῶμα κατ' εἶδος ἀΐδιον μένειν μὴ ταῖς ἐκείνων ποικίλαις κινήσεσιν κυβερνώμενον. τούτων δὲ τοῦτον ἐχόντων τὸν τρόπον, εἰ μέν τις βούλοιτο λέγειν προνοεῖσθαι πᾶν τὸ διά τι καὶ παρά τινος ὁπωσοῦν τὸ μεταβάλλειν ἔχον καὶ τὸ κινεῖσθαι, εἴη ἂν πᾶσα σωματικὴ οὐσία ἥ τε ἀΐδιος καὶ ἡ ἐν γενέσει καὶ φθορᾷ ὑπὸ τῆς πρώτης οὐσίας τῆς ἀϊδίου καὶ ἀκινήτου καὶ ἀσωμάτου προνοουμένη. εἰ δέ τις ταῦτα μόνα προνοεῖσθαι λέγοι, ὧν χάριν τὸ προνοεῖν αὐτῶν λεγόμενον ἐνεργείᾳ τινὰς ἐνεργείας κινούμενον, μό-

2. δὲ] τε T. 26. λεγόμενον] fort. λέγομεν 27. κινούμενον] fort. κινουμένων.

νον ἂν εἴη κατὰ Ἀριστοτέλην τὸ ὑπὸ σελήνην σῶμα προνοούμενον, τοῦτο δ' ἔστι τὸ ἔνυλόν τε καὶ ἐν γενέσει καὶ ἐν φθορᾷ, ἐπειδὴ τῆς τούτου χάριν τεταγμένης μεταβολῆς καὶ ἀϊδίου κατ' εἶδος διαμονῆς κεῖνται κινεῖσθαι τοῦ κυκλοφορητικοῦ σώματος αἱ μετὰ τὴν πρώτην τε καὶ ἀπλανῆ καλουμένην ἑπτὰ σφαῖραι τὴν κίνησιν τὴν δευτέραν, διότι γὰρ ἔδει τοῖς γινομένοις καὶ φθειρομένοις ποικίλης κινήσεως· οὐ γὰρ οἷόν τ' ἦν ὡσαύτως ἔχοντα πάντα τὰ θεῖα ὁμοῦ μὲν γενέσεως ὁμοῦ δὲ φθορᾶς τεταγμένης αἰτιατοῖς τῇδε γενέσθαι, δι' ἃς γενέσεις τε καὶ φθορὰς τοῦτον γινομένας τὸν τρόπον ἀΐδια καὶ ταῦτα κατ' εἶδος μένει μενούσης τινὸς καὶ ἐν ἐκείνοις ποικίλης κινήσεως.

Πῶς τὸ εἶδος ἐν τῇ ὕλῃ, πότερον καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός. κϛʹ.

Εἰ μὲν λέγοι τις ἐν τῇ ὕλῃ γίνεσθαι τὸ εἶδος καθ' αὑτὸ, ἔσται ἐν τῇ οὐσίᾳ τῆς ὕλης τὸ εἶδος καθ' αὑτό, εἰ τὸ καθ' αὑτὸ ὑπάρχον τινὶ ἐν τῇ οὐσίᾳ αὐτοῦ. ἀλλ' εἰ τοῦτο, συμφθείροιτ' ἂν ἡ ὕλη τῷ εἴδει φθειρομένῳ. ἢ καὶ ἐν τῇ οὐσίᾳ ἐστὶ τῆς ὕλης τὸ εἶδος; οὐ γὰρ οἷόντε

1. εἴη] εἰ vulg. 5. κεῖνται] κινεῖται T. 8. γὰρ] fort del. 11. αἰτιατοῖς] scrib. αἰτιατὰ τοῖς. 14. μενούσης] μενούσας V. om. T. 18. Εἰ] lemma Πῶς .. συμβεβηκός repetit Bagolinus. 23. ἐστι] ἔτι T.

ὕλην εἶναι ἄνευ οἰκείου εἴδους, ἀλλὰ φθαρέντος τοῦ εἴδους ἢ χωρισθέντος οὐκέθ' οἷόν τε ἐκείνην τὴν ὕλην εἶναι, ἧς ἦν εἶδος ἐκεῖνο, ἀλλὰ ἅμα ἐστὶν, ὥστ' εἰς τὸ εἶναι τῇ ὕλῃ συμβάλλεται, αὐτῇ ἡ παρουσία τοῦ εἴδους. ἢ καθ' αὐτὸ οὖν ὑπάρχει τὸ εἶδος τῇ ὕλῃ ὡς ἐν τῇ οὐσίᾳ αὐτῆς ὂν, ὥσπερ καὶ τῷ ζώῳ ὁ ἄνθρωπος καὶ παντὶ τῷ ἐν τῇ οὐσίᾳ αὐτοῦ ὄντι καθ' αὐτὸ ὑπάρχοντι αὐτῷ. ἔτι τε οὐκ ἔσται ἐν τῇ αὐτῆς φύσει ἔχουσα τὸ τῶν εἰδῶν δεκτικὸν, ἀλλ' αὐτὰ τὰ εἴδη. ἔτι ἤτοι ἑκάστη ὕλη ἅμα τὰ εἴδη πάντα ἕξει, ὃ ἀδύνατον. ἔστι γὰρ καὶ ἐναντίωσις ἐν τοῖς ἐνύλοις εἴδεσιν, ὡς ἐπὶ τῶν στοιχείων ὁρῶμεν, ἐξ οὗ δῆλον ὅτι μὴ πάντα ἐν τῇ αὐτῇ. ἔτι εἰ εἶχεν πάντα ἡ αὐτὴ, οὐκ ἂν ἦν ἡ κατὰ γένεσιν μεταβολή· εἰ δ' ἄλλη ἄλλο, ἄφθαρτον ἂν ἕκαστον ἦν τῶν ἐνύλων. εἰ δ' ἦν φθαρτὸν, καὶ ἡ ὕλη ἂν συνεφθείρετο, ἐδείχθη δ' ἀΐδιος οὖσα. ἀλλ' οὐδ' ὡς τὰ συμβεβηκότα τῇ ὕλῃ τὰ εἴδη ἔστιν ἐν αὐτῇ· ἔσται γὰρ ἐν ὑποκειμένῳ αὐτῇ, καὶ ἤτοι οὐσία ὄντα συμβεβηκότα ἔσται, ὃ ἄτοπον, ἢ εἰ συμβεβηκότα εἴη καὶ τῆς φύσεως τῶν συμβεβηκότων, ἔσται ἡ οὐσία συναμφότερος ἐξ ὕλης καὶ συμβεβηκότος, οὕτω δ' οὐκ ἔσται ἁπλῶς ἡ συναμφότερος οὐσία οὐσία, ἀλλ' ὥσπερ τῶν κατὰ τέχνην γινομένων ἕκαστον. ἔτι εἰ μὲν ἦν ἡ ὕλη χωρὶς εἴδους εἶναι δυναμένη, ἐδύνατο ἂν ἐν ὑποκειμένῳ εἶναι αὐτῇ τὸ εἶδος, εἰ δὲ

4. ὥστ' εἰς] ὥστις T. 5. ἢ] om. Bagolinus, fort. εἰ atque excidit apodosis. 16. ἄφθαρτον] fort. φθαρτόν. 20. αὐτῇ.] αὕτη vulg.

σὺν εἴδει ἡ ὑπόστασις αὐτῇ, καί ἐστιν οὕτως ἐν ὑποκειμένῳ αὐτῇ γινόμενον τὸ εἶδος, ὡς οὔσῃ μετ᾽ εἴδους καὶ ἐν ὑποστάσει καὶ ἤδη σώματι, ἤτοι ἐν ἐκείνῳ ἔσται τῷ σώματι τῷ ἔχοντι τὸ εἶδος, ἐξ οὗ τῇ ὕλῃ ἡ εἰς τοῦτο μεταβολὴ, ὃ ἀδύνατον· πῶς γὰρ οἷόν τε ἐν τῷ φθειρομένῳ τῇ εἰς τοῦτο μεταβολῇ λέγειν εἶναι τοῦτο, ὃ οὐχ οἷόν τε ἐκείνου σωζομένου γίνεσθαι ἐν αὐτῇ; ἢ ἐν τῇ τοῦτο ἐχούσῃ τὸ εἶδος εἰς ὃ μεταβέβληκεν. ἀλλ᾽ οὐδὲ τοῦτο οἷόν τε, εἴ γε τοῦτο μὲν τὸ σῶμα ἐκ τῆς ὕλης καὶ τοῦ τούτου εἴδους τὸ εἶναι ἔχει, οὐδὲν δὲ αὐτὸ αὐτῷ συμβέβηκεν. καὶ ἔστιν ἐν ὑποκειμένῳ τὸ μὴ ὡς μέρος ὂν ἐν ᾧ ἐστιν, τὸ δ᾽ εἶδος τούτου μέρος ἐστὶ τοῦ ὑποκειμένου. μήποτε οὖν οὕτω συμβεβηκὸς ἐν τῇ ὕλῃ τὸ εἶδος, καὶ ἐν ὑποκειμένῳ οὕτω καθ᾽ αὑτὸ, ὡς λέγεται καθ᾽ αὑτὰ ὑπάρχειν τινὶ τὰ ἐν τῇ οὐσίᾳ αὐτοῦ ὄντα. ἀλλ᾽ ἐπεὶ ἦν καὶ ἄλλος τρόπος τοῦ καθ᾽ αὑτὸ, οὗ καὶ Ἀριστοτέλης καὶ Θεόφραστος ἐν τοῖς ὑστέροις ἀναλυτικοῖς μνημονεύουσιν, οὗτος δ᾽ ἔστι καθ᾽ ὃν ἐλέγετο καθ᾽ αὑτὸ ὑπάρχειν τινὶ, οὗ ἐν τῷ ὁρισμῷ τὸ ᾧ ὑπάρχει παραλαμβάνεται, καθ᾽ ὃν τρόπον τοῦ καθ᾽ αὑτὸ ὁ περιττὸς ἀριθμὸς καὶ ἄρτιος ὑπάρχουσι τῷ ἀριθμῷ. ἑκάτερον γὰρ αὐτῶν ὁριζόμενοι τῷ ἀριθμῷ ἐν τῷ ὁρισμῷ χρώμεθα λέγοντες τὸν

1. αὐτῇ] αὕτη vulg. 5. ἡ] om. vulg. 7. ὃ] om. vulg. 10. τοῦτο] τούτω vulg. 11. τούτου] fort. ταύτης. 20. ὑστέροις ἀναλυτικοῖς] I. cap. 4. et 22 pag. 84, 12.

μὲν περιττὸν ἀριθμὸν εἰς ἄνισα διαιρούμενον, τὸν δ' ἄρτιον ἀριθμὸν εἰς ἴσα διαιρούμενον· δοκεῖ γὰρ καὶ ἐν τῷ τοῦ ἐνύλου εἴδους λόγῳ ἡ ὕλη παραλαμβάνεσθαι, ἐν ᾗ ἐστι· παντὶ μὲν γὰρ ἐνύλῳ κατὰ τὸ εἶδος ὁ λόγος· κατὰ γὰρ τοῦτ' αὐτῷ τὸ τί ἦν εἶναι. οὐ μὴν ἀλλὰ καὶ τῆς ὕλης ἀναγκαῖον μνημονεύειν αὐτῆς· καὶ γὰρ σαρκὸς καὶ ὀστοῦ, ἀλλὰ καὶ χειρὸς καὶ προσώπου οἱ λόγοι τοιοῦτοι, καὶ τὴν ψυχὴν δὲ ὁριζόμενοι εἶδος οὖσαν ἔνυλον ἐν τῷ ὁρισμῷ αὐτῆς καὶ τὸ οὗ ἐστι παραλαμβάνομεν· τοῦτο γὰρ σημαίνεται ὑπὸ σώματος φυσικοῦ ὀργανικοῦ. καὶ ὡς ἐπὶ τῶν ἀριθμῶν οὐ πᾶς μὲν ἀριθμὸς περιττὸς, οὐδὲ πᾶς ἀριθμὸς ἄρτιος, πᾶς μέντοι ἄρτιος ἀριθμὸς, καὶ πᾶς περιττὸς ὁμοίως ἀριθμὸς, καὶ οὕτω καὶ ἐπὶ τοῦ εἴδους καὶ τῆς ὕλης οὐ πᾶσα μὲν ὕλη μετὰ τοῦδέ τινος τοῦ εἴδους, πᾶν δὲ ἔνυλον εἶδος ἐν ὕλῃ, καὶ ὡς ἐπ' ἐκείνων ὁ μὲν ἀριθμὸς οὐκ ἀπόλλυται ἐν τῇ εἰς τὸ ἄρτιον ἢ περιττὸν μεταβολῇ, τὸ δ' ἄρτιον καὶ περιττὸν ἐν αὐτῷ παρὰ μέρος φθείρεται τῇ εἰς τὰ εἴδη μεταβολῇ, τὰ μέντοι εἴδη παρὰ μέρος φθείρεται, οὕτω καὶ ἡ ὕλη οὐκ ἀπόλλυται ἐν τῇ εἰς τὰ εἴδη μεταβολῇ, τὰ μέντοι εἴδη παρὰ μέρος φθείρεται ἐν τῇ τῆς ὕλης εἰς αὐτὰ μεταβολῇ.

12. καὶ οὕτω] fort. οὕτω. 26. εἴδη] ἤδη T.

ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ

ΦΥΣΙΚΩΝ ΣΧΟΛΙΩΝ

ΑΠΟΡΙΩΝ ΚΑΙ ΛΥΣΕΩΝ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Ὅτι ἕπεται τοῖς καὶ τὸ μέγεθος καὶ τὸν χρόνον ἐξ ἀδιαιρέτων συντιθεῖσι τὸ πάντα τὰ κινούμενα κατὰ τοῦ ἀμεροῦς ἰσοταχῶς κινεῖσθαι. α'.

Ἕπεται τῷ καὶ τὸ μέγεθος καὶ τὸν χρόνον ἐξ ἀδιαιρέτων συγκεῖσθαι λέγειν τὸ πάντα τὰ κινούμενα κατὰ τοῦ ἀμεροῦς ἰσοταχῶς κινεῖσθαι· εἰ γὰρ εἴη τὸ μὲν θᾶττον τὸ δὲ βραδύτερον κατὰ τοῦ ἀμεροῦς κινούμενον, εἰ τὸ θᾶττον κινούμενον ἐν τῷ ἀδιαιρέτῳ χρόνῳ κεκίνηται κατ' αὐ-

5. καὶ τὸ] κατὰ T. 13. κινούμενον εἰ] κινούμενα εἰ vulg. θᾶττον] τάχειν T. ταχὺ Bagolinus.

τοῦ, τὸ βραδύτερον ἐν πλείονι ἀνάγκη κινεῖσθαι κατ᾽ αὐτοῦ καὶ διαιρετῷ· εἰ δ᾽ ἐν διαιρετῷ χρόνῳ, διαιρετὸν ἔσται καὶ τὸ μέγεθος, ἐφ᾽ οὗ ἡ κίνησις. εἰ γάρ τις λέγοι τὸ βραδέως κινούμενον μὴ κινεῖσθαι κατὰ τοῦ ἀμεροῦς μηδὲ ἐν τῷ ἀμερεῖ χρόνῳ, οὗτος οὐδ᾽ ὅλως λέγοι κινεῖσθαι τὸ βραδὺ, εἴ γε τὸ μέν τι ἢ μέγεθος ἐξ ἀμερῶν συγκεῖται καὶ ὁ πᾶς χρόνος, οὐχ οἷόν τε δὲ κινηθῆναι τὸ βραδὺ κατ᾽ οὐδενὸς ἀμεροῦς. διὸ ἰσοταχῶς ἂν κινοῖτο πάντα τὰ κατὰ τοῦ ἀμεροῦς κινούμενα· εἰ δ᾽ ἐπὶ τοῦ ἀμεροῦς ἰσοταχῶς, καὶ ἐπὶ παντὸς μεγέθους ἰσοταχῶς ἂν κινοῖτο, εἴ γε πᾶσι τοῖς μεγέθεσιν ἐξ ἀμερῶν ἡ σύνθεσις. τὸ γὰρ λεπτὸν κατὰ μὲν τοῦ ἀμεροῦς πᾶν ὁμοίως καὶ ἰσοταχῶς κινεῖσθαι, βραδύτερον δὲ ἄλλο ἄλλου δοκεῖν κινεῖσθαι διὰ τὰς ἀντικοπὰς τῶν ἐν αὐτῷ ἀτόμων ἐφιστάμενον, πλασματῶδές ἐστιν αὐτό· προσέτι τε πῶς οὐ φαίνεται τὰ οὕτω κινούμενα, εἰ κίνησις αὐτοῖς γίνεται βραδεῖα αὕτη, ἀλλ᾽ ἔκτασις αὐτὰ κωλύει συνεχῶς κινεῖσθαι, ἄλλως τε καὶ εἰ πολυπλασίως τὸ θᾶττον θᾶττον; ἔσται γὰρ οὕτω καὶ βραδέως κινούμενον πλείω χρόνον ἑστὸς ἢ κινούμενον. εἰ γὰρ εἴη ὥρᾳ μὲν μιᾷ τὸ θᾶττον κινούμενον τὸ διάστημα διεληλυθὸς, αὐτὸ δὲ τοῦτο ὥραις ε̅ τὸ βραδέως, δεήσει αὐτὸ μιᾷ μὲν κινεῖσθαι, ταῖς δὲ τέτταρσιν

1. ἀνάγκη om. T. 2. διαιρετῷ] fort. ἐν διαιρετῷ. 4. λέγοι] fort. λέγει. 7. μέν τι ἢ] scrib. μέν. 16. δοκεῖν] δοκεῖ vulg. 19. εἰ] ἢ T. 21. εἰ] ἢ vulg. 23. ἑστὸς] ἑστὼς vulg.

ἑστάναι. ἄτοπον δὲ ποσῷ τῷ πλείονι χρόνῳ ἑστὸς ἢ ἑστὸς μὲν μὴ φαίνεσθαι, κινούμενον δὲ ταῖς ε̄ ὥραις, καὶ τοῦτο ὁμαλῶς.

Ἐξήγησις λέξεως ἐν τῷ ᾱ περὶ ψυχῆς Ἀριστοτέλους εἰρημένης εἰς ἀναίρεσιν τοῦ τὴν ψυχὴν εἶναι αὐτοκίνητον, ἔστι δὲ ἡ λέξις ἥδε. β′.

Ἀλλὰ μὴν καὶ εἰ κινεῖ αὐτὴ αὑτὴν, καὶ αὐτὴ κινοῖτ᾽ ἂν, ὥστ᾽ ἐπεὶ πᾶσα κίνησις ἔκστασίς ἐστι τοῦ κινουμένου ᾗ κινεῖται, καὶ ἡ ψυχὴ ἐξίσταιτο ἂν ἐκ τῆς οὐσίας, εἰ μὴ κατὰ συμβεβηκὸς αὑτὴν κινεῖ, ἀλλ᾽ ἔστιν ἡ κίνησις τῆς οὐσίας αὐτῆς καθ᾽ αὑτήν.

Ἡ ψυχή φησιν εἰ κινεῖ ἑαυτὴν, ἤτοι κατ᾽ ἄλλο μέν τι κινεῖ, κατ᾽ ἄλλο δέ τι κινεῖται, καὶ οὕτως ἔσται αὐτοκίνητος, ὥσπερ καὶ τὸ ζῶον αὐτοκίνητόν φαμεν. τῷ γὰρ τὸ μὲν αὐτὸ κινεῖν τὸ δὲ κινεῖσθαι τὸ ὅλον φαμὲν αὐτοκίνητον· κινεῖ μὲν γὰρ τὸ ἐν αὐτῷ ἡ ψυχὴ, κινεῖται δὲ τὸ σῶμα, καὶ οὔτε ἡ ψυχὴ διότι κινεῖ κινεῖται, οὔτε τὸ σῶμα διότι κινεῖται κινεῖ· κινεῖται γάρ. καὶ τῶν τῆς ψυχῆς οὖν δυνάμεων, εἰ οὕτως εἴη κινουμένη, ἡ μέν ἐστι κινοῦσα ἡ δὲ κινουμένη, οὔτε τῆς

2. ἢ] del. 4. ᾱ] om. T. 8. εἰ] ἢ T. ἡ V. 10. ᾗ] εἰ vulg. 15. ἑαυττήν] αὐτὴν T. 18. αὐτὸ] αὐτοῦ Bagolinus. 23. εἰ] ἢ T.

κινούσης καθὸ κινεῖ κινουμένης, οὔτε τῆς κινουμένης καθὸ κινεῖται κινούσης. ἔσται οὖν οὕτω τὸ πρῶτον κινοῦν ἀκίνητον καὶ ἐπὶ τῆς ψυχῆς. εἰ γὰρ πάλιν ἡ κινοῦσα δύναμις κινεῖσθαι λέγοιτο, ἤτοι ὑφ' αὑτῆς ἢ ὑπ' ἄλλης ἔσται κινουμένη. εἰ μὲν οὖν ὑπ' ἄλλης, ἐπ' ἄπειρον προελεύσεται ἢ ἔσται τι πρῶτον κινοῦν μὲν ἀκίνητον δέ· εἰ δ' ὑφ' αὑτῆς, εἴη ἂν οὕτως αὐτοκίνητος, ὡς καθὸ κινεῖ κινουμένη. ἄμεινον τοίνυν αὐτὴν τὴν ψυχὴν οὕτω λέγειν αὐτοκίνητον. ἀλλ' εἰ ἡ ψυχὴ οὕτως αὐτοκίνητος λέγοιτο, ὡς καθὸ κινεῖ κατὰ τοῦτο κινεῖσθαι, εἰ καθὸ ψυχὴ κινεῖ, καθ' ὃ ψυχὴ καὶ κινηθήσεται. εἰ γὰρ κατ' ἄλλο τι κινουμένη, οἷον φέρε εἰπεῖν κατὰ τόπον, οὐ κατὰ τὸ αὐτὸ κινήσει τε καὶ κινηθήσεται· καθ' ὃ γὰρ ψυχὴ κινοῦσα, οὐ καθὸ ψυχὴ ἔσται κινουμένη, εἴ γε κατὰ τόπον· οὐ γὰρ κατὰ τόπον ἡ ψυχή. οὕτω δ' ἔσται κατ' ἄλλο μὲν κινοῦσα, κατ' ἄλλο δὲ κινουμένη, οὐχ οὕτω δὲ ἐλέγετο κινεῖσθαι ὑφ' αὑτῆς. καθὸ ἄρα ψυχὴ κινηθήσεται. ἀλλ' εἰ πᾶν τὸ κατά τι κινούμενόν τε καὶ μεταβάλλον ἐξίσταται τοῦ καθὸ κινεῖται, τὸ μὲν κατὰ τόπον τοῦ τόπου, τὸ δὲ κατὰ πάθος τοῦ πάθους, τὸ δὲ κατὰ μέγεθος τοῦ μεγέθους, καὶ τὸ κατὰ ψυχὴν κινούμενον ἐξίσταται τοῦ ἐν τούτῳ, ὥστε καὶ ἡ ψυχὴ εἰ καθὸ ψυχή ἐστιν ἀεὶ κινεῖται, ὑφ' αὑτῆς καὶ μὴ κατὰ συμβεβηκὸς

12. εἰ] ἢ T. 25. τοῦ] τὸ T.

ἐξίσταιτο ἂν τῆς οὐσίας τῆς ἐν ᾗ ἐστι καὶ τῆς ψυχῆς καθ' ἣν τὸ εἶναι αὐτῇ.

Τίς ἡ ἀπὸ τῆς κινήσεως τοῦ θείου σώματος ἐγγινομένη δύναμις τῷ γειτνιῶντι αὐτῷ θνητῷ τε καὶ ἐν γενέσει σώματι. γ'.

Τίς ἡ ἀπὸ τῆς κινήσεως τοῦ θείου σώματος ἐγγινομένη δύναμις τῷ γειτνιῶντι αὐτῷ θνητῷ τε καὶ ἐν γενέσει σώματι; ἆρά γε ἄλλη τίς ἐστιν αὕτη φύσις παρὰ τὴν οἰκείαν ἑκάστου τῶν φυσικῶν σωμάτων, ἣν ἀρχὴν κινήσεώς τε καὶ ἠρεμίας φαμὲν, ἐν ᾧ ὑπάρχει πρώτως καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός; καὶ γὰρ εἰ τῷ γειτνιῶντι αὐτῷ γίνεται σώματι, ἤδη ἂν εἴη τοῦτο ἔχον οἰκείαν φύσιν ὄν τε ἐνεργείᾳ σῶμα· πᾶν γὰρ σῶμα ἐνεργείᾳ θνητὸν ἁπλοῦν ὄν τί ἐστιν ἢ ἐκ τούτων σύνθετόν τε καὶ μικτὸν, τούτων δὲ ἕκαστον οἰκείαν ἔχει τινὰ φύσιν. ἢ καὶ δι' ἐκείνην ἐστὶν ἐνεργείᾳ τοιοῦτον, εἴη τε ἂν οὕτω πρῶτον ἀπολαβὸν τὸ πῦρ τῆς τοιαύτης ἐκ τοῦ θείου δυνάμεως, ἔπειτα τοῖς μετ' αὐτὸν διαδιδὸν αὐτὴν, ὡς πάντα τὰ σώματα τῇ τοιαύτῃ διαδόσει μεταλαμβάνειν αὐτῆς τὰ μὲν πλεῖον τὰ δὲ ἔλαττον; ἀλλ' εἰ τοῦτο, ἐπιζητήσαι τις ἂν τί συντελεῖ τῶν σωμάτων ἑκάστῳ ἡ τοιαύτη δύ-

5. τε om. T. 12. ἐν om. T. 16. ἁπλῶς T. 18. ἢ] ἡ T. 22. αὐτὴν] αὕτη T. 23. πλείω vulg.

ναμίς τε καὶ φύσις. κατὰ γὰρ τὴν πρώτην φύσιν τὴν ἐγγινομένην αὐτὴν ἑκάστῳ, καθ' ἣν τὸ μέν ἐστι πῦρ, τὸ δὲ ἀὴρ, τὸ δὲ ὕδωρ, τὸ δὲ γῆ, ἡ ἐπὶ τοὺς οἰκείους αὐτοῖς τόπους κίνησις γίνεται, καθ' ἣν ἕκαστον αὐτῶν τῆς ἰδίας τυγχάνει τελειότητος. ὁμοίως τὸ εἰ καὶ ἐν τοῖς συνθέτοις γίνοιτο σώμασιν, καὶ ἐν ἐκείνοις οὐ πρὸς τὸ εἶναι ἄνθρωπον ἢ ζῷον ἢ φυτὸν ἕκαστον αὐτῶν συντελοῖ ἄν τι· ἤδη γὰρ οὖσιν αὐτοῖς ἐγγίνοιτ' ἂν ὡς τῷ πυρὶ καὶ τῶν ἁπλῶν ἑκάστῳ· οὕτω δ' ἂν οὐκέθ' ἡ δύναμις ἐκείνη αἰτία γίνοιτο τοῦ τὰ μὲν ἔμψυχα εἶναι, τὰ δὲ ἄψυχα τῶν σωμάτων, καὶ τῶν ἐμψύχων τὰ μὲν τὴν θρεπτικὴν ψυχὴν μόνην ἔχοντα, τὰ δὲ καὶ τὴν αἰσθητικὴν, τὰ δὲ πρὸς τούτοις καὶ τὴν λογικήν· αὕτη δ' ἔκειτο τῆς κατ' αὐτὰς διαφορᾶς ἔχειν τὴν αἰτίαν· διὰ γὰρ ταύτης τῆς δυνάμεως πρόνοια ἔκειτο λογικὸν ζῷον τὸν ἄνθρωπον ποιοῦσα, καὶ διὰ τοῦτο ἐλέγετο πάντα ὅσα διὰ τὸν λόγον τε καὶ τὸν νοῦν οἷά τε ὑπάρχειν τῷ ἀνθρώπῳ, ταῦτα ἔχειν παρὰ τῆς θείας προνοίας. μήποτ' οὖν χρὴ λέγειν τοῖς μὲν ἁπλῶς σώμασιν προϋπάρχουσιν τήνδε τὴν δύναμιν ἐγγίνεσθαί τε καὶ προσγίνεσθαι, δι' ἣν αἰτίαν αὐτὰ μὲν οὐδέν τι θεῖον αὐτοὺς ἔχει πως· τοιοῦτο γὰρ ἡ ψυχή ἐστιν, ἧς ἄμοιρα παντάπασιν, ὅτι μὴ

6. τὸ] scrib. τῷ. 9. συντελοῖ ἄν τι] τέλοιαν τῇ T. 13. ἀψύχων T. 14. ἔχοντα] fort. ἔχειν. 21. ταυτὸν ἔχει T. 22. μέποτ'] μήτ' T. 24. προγίνεσθαι T. 25. αὐτοὺς] fort. ἐν αὐτοῖς. 26. ἧς om. T.

ἐστιν αὐτῶν ἐν τῇ οὐσίᾳ ἡ τοιάδε δύναμις ἔξωθεν αὐτοῖς καὶ προϋπάρχουσι προσγινομένη, ἀλλ' ἔστιν ἁπλῶς σώματα· ὅσα δ' ἐκ τῆς τούτων φυσικῆς μίξεώς τε καὶ κράσεως γίνεται, τούτων δ' ἐν τῇ γενέσει κατασπειρομένην καὶ τὴν θείαν δύναμιν καὶ φύσιν ἀμείνω καὶ τελειότερα ταῦτα ποιεῖν τὰ σώματα, συνεισφερόντων καὶ τῶν ἁπλῶς σωμάτων εἰς τὴν γένεσιν τῶν ἐξ αὐτῶν γινομένων σωμάτων καὶ τὴν θείαν δύναμιν, ἧς μεταλαμβάνουσιν κατὰ τὴν γειτνίασιν. δι' ἣν δύναμιν οὐκ ἔτι ταῦτα μόνης τῆς κατὰ τὴν ῥοπὴν κινήσεως ἀρχὴν ἐν αὐτοῖς ἔχει, ἀλλά τινα καὶ ψυχικὴν προσείληφεν τὴν ἀρχὴν καὶ τὴν γένεσιν ἔχουσαν ἀπὸ τῆς θείας δυνάμεως, ἥτις φύσις τε καὶ ψυχὴ κατὰ τὴν ποσότητα τῶν ἁπλῶν σωμάτων, ἐξ ὧν ἐστι τὸ ἔχον αὐτὴν σῶμα, ὧν τὸ μὲν ἐπὶ πλέον ὂν κοινωνεῖ τῆς θείας δυνάμεως τῷ ἐγγύτερον τὸ εἶναι τῷ θείῳ σώματι καὶ εἶναι λεπτομερές τε καὶ καθαρώτερον, τὸ δ' ἐπ' ἔλαττον διά τε τὸ ἀπόστημα τὸ πλεῖον καὶ διὰ τὴν τῆς συστάσεως παχύτητα διάφορον καὶ αὐτῆς γίνεται. ὅσα μὲν γὰρ τῶν συνθέτων σωμάτων τὸ πλεῖστον τὸ γῆς ἔχει, ταυτὸν γῆς τινος κοινωνεῖ ψυχικῆς δυνάμεως τῷ καὶ τὸ τὴν πλείστην μοῖραν τῆς οὐσίας αὐτῶν εἶναι σῶμα

2. προσγινομένης T. 7. καὶ] ἢ T. 17. ὂν] fort. del. 18. ἐγγυτέρω T. τὸ post hoc del. vel αὐτὸ scrib. 19. λεπτομερές τε] fort. λεπτομερέστερον. καθαρότερον vulg. 23. τὸ ante γῆς del. ταυτὸν γῆς] fort. ταῦτα γῆς. 24. τῷ καὶ τὸ] scrib. καὶ τῷ. 25. αὐτῶν εἶναι] αὐτῷ T.

ἔλαττον τῆς θείας μεταλαμβάνει δυνάμεως· ὅσα δὲ πλείονος ἐν αὑτοῖς ἔχει τῆς πυρώδους τε καὶ θερμῆς οὐσίας, ταύτης τῆς ψυχῆς τελειοτέρας μεταλαμβάνει τῷ τὸ πλεονάζον σῶμα ἐν αὐτοῖς ἐπὶ πλέον τῆς θείας μεταλαμβάνειν δυνάμεως. οὕτω δ' ἂν εἴη δευτέρα φύσις, ἣν εἰρήκαμεν θείαν δύναμιν εἶναι ἐγγινομένην τοῖς ὑπὸ σελήνην σώμασιν διὰ τὴν πρὸς ἐκείνην γειτνίασιν, ὡς ὕλῃ χρωμένη τοῖς ἁπλῶς φυσικοῖς σώμασι πρὸς τὴν τῶν τελειοτέρων τε καὶ ἐμψύχων γένεσιν σωμάτων. τὰ μὲν οὖν κατὰ κρᾶσιν τῶν ἁπλῶν σωμάτων καὶ κατ' ἀλλοίωσιν γινόμενα σύνθετα σώματα τῷ ἔχειν καὶ τὴν τοιαύτην δύναμιν ἐν τῇ τῶν ἐχόντων αὐτὴν σωμάτων μίξει συγκρινομένην πως καὶ μιγνυμένην κατ' αὐτὴν τελειότερα γίνεται σώματα καὶ θειοτέρας φύσεως καὶ ἀρχῆς κεκοινωνηκότα· ὅσα δὲ συνθέσει τε καὶ παραθέσει τῶν ἁπλῶν σωμάτων γίνεσθαι δοκεῖ σώματα σύνθετα, ταῦτα οὐκ ἔτι τῆς τοιαύτης κοινωνεῖν δυνάμεώς τε καὶ φύσεως οἷά τε, διότι ἕκαστον τῶν ἁπλῶν σωμάτων ἐνεργείᾳ σώζει τὴν αὑτοῦ φύσιν ἐν τῇ τοιαύτῃ μίξει καὶ συνθέσει. οὐ γὰρ εἰς τὴν τῶν οὕτω συνθέτων σωμάτων οὐσίαν ἡ θεία δύναμις συντελεῖ μένουσα ἐν ἑκάστῳ αὐτῶν, ὁποία καὶ πρὸ τῆς συνθέσεως αὐτῶν ἦν.

1. μεταλαμβάνων V. 2. πλείονος] fort. πλεῖον. 3. ταύτης] fort. ταῦτα 4. μεταλαμβάνειν vulg. τῷ τὸ] τοῦτο T. αὐτοῖς] fort. αὐτῷ. 15. κατ'] καὶ T. 20. διότι] ὧν T. 26. ἦν] ἧς T.

Τῆς πρὸς ἄλληλα δύναταί τις λέγειν καὶ τῆς τῶν ἁπλῶν σωμάτων γενέσεως τὴν ἀπὸ τῶν θείων δύναμιν αἰτίαν εἶναι αὐτὴν γινομένην αὐτῶν εἶδός τε καὶ φύσιν· ἡ γὰρ ὕλη κατὰ τὸν ἑαυτῆς λόγον ἄποιός τε οὖσα καὶ ἀσχημάτιστος ὑπὸ τῆς ἀπὸ τῶν θείων σωμάτων δυνάμεως γινομένης ἄνευ τῆς ἐνεργείας σῶμα ἔστι τε καὶ γίνεται, εἰδοποιεῖταί τε καὶ σχηματίζεται, ὡς τὸ μὲν πρὸς τῷ θείῳ σώματι αὐτῆς καὶ γειτνιῶντι ἐκείνῳ πλείονος τῆς θείας μεταλαμβάνον δυνάμεως εἰδοποιεῖσθαι θερμότητι καὶ ξηρότητι (ταῦτα γὰρ τὰ πρῶτα τῶν ἀπ' ἐκείνων αὐτοῖς θνητοῖς πάθη), τὸ δὲ πλεῖον ἀφεστὸς τῶν ταύτης τῆς μεταβολῆς τε καὶ γενέσεως αἰτίων αὕτη οἷον σωμάτων ἢ πάντη τοῖς τούτων ἐναντίοις εἰδοποιεῖσθαι, ἢ τὸ μέν τι τούτων, τὸ δέ τι τῶν τούτων ἐναντίων εἶδός τε καὶ πάθος λαμβάνειν κατὰ τὴν ἐκείνων ἄλλοτε ἀλλοίαν πρὸς τὰ τῇδε σχέσιν διὰ τὴν ἐπὶ τοῦ τοιούτου κίνησιν κύκλου διαφόρως εἰδοποιούμενον· τοιαύτη γὰρ ἡ τοῦ ζωδιακοῦ θέσις, ἐφ' οὗ κινούμενα ἥλιός τε καὶ σελήνη καὶ τὰ ἄλλα τὰ πλανᾶσθαι τῶν ἄστρων λεγόμενα τῷ μέν τινι τῆς ὕλης μέρει ᾧ μᾶλλον ἢ ἐγγυτέρω πρόσεισιν ἑκάστῳ θερμότητός τε καὶ ξηρότητος αἴτια γίνεται, ἐν οἷς τὸ εἶναι τῷ πυρί,

6. δυνάμεων vulg. 9. γειτνιῶντι] fort. γειτνιῶν. 12. αὐτοῖς] fort. τοῖς. Bagolinus τοῖς σώμασι. 14. αὕτη οἷον] ipsorum Bagolinus. fort. τῶν. 15. ἐναντίων vulg. εἰδοποιεῖται V. 17. ἐναντίον vulg. 21. θέσις] διάθεσις T. 22. ἄστρων] ἀστέρων vulg.

τῷ δὲ θερμότητός τε καὶ ὑγρότητος, ἥτις φύσις ἀέρος, τῷ δ' ὑγρότητός τε καὶ ψυχρότητος ἥ ἐστιν ὕδατος φύσις, τῷ δὲ τῆς ἔτι καταλειπομένης ἐκ τῶν ἁπλῶν τῶν πρώτων δύο ἐναντιώσεων, ἥπερ ἐστὶ ψυχρότης τε καὶ ξηρότης, ἃ τὴν τῆς γῆς συνίστησι φύσιν. καὶ τοιαῦτα μὲν τὰ ἀπὸ τῆς θείας δυνάμεως εἴδη ἐν τῇ ὕλῃ ἁπλᾶ τε καὶ πρῶτα εἴδη γενόμενα τῆς τῶν ἁπλῶν σωμάτων οὐσίας τε καὶ φύσεως αἴτια, τὰ δ' ἐκ τῆς τούτων γινόμενα μίξεώς τε καὶ κράσεως ἅτε πλειόνων κοινωνοῦντα δυνάμεών τε καὶ διαφόρων σωμάτων σύνθετά τε ἤδη γίγνεται καὶ τελειότερα, καὶ ἡ τελειότης τε καὶ τὸ εἶδος αὐτοῖς διαφέρον γίγνεται κατά τε τὴν ἐν τοῖς πρώτοις εἰρημένην τῶν ἐν τῇ μίξει τῶν σωμάτων διαφοράν. ἔστι γὰρ αὐτῶν τὰ μὲν λεπτότερα καὶ ποιητικώτερα· τοιαῦτα γὰρ, ὅσα ἐγγυτέρω κεῖται τῆς τῶν θείων κινήσεως, τὰ δὲ παχυμερέστερα καὶ παθητικώτερα, ὅσα πλέον ἀφέστηκεν τῆς ἐκείνων φορᾶς. ὅσα μὲν γὰρ τῶν ἐν τῇ μίξει τε καὶ κράσει πλεῖον ἔχει τῶν λεπτομερῶν τε καὶ καθαρωτέρων σωμάτων, τούτων τελειότερον τὸ εἶδος· ὅσα δὲ τοῦ μὲν τοιούτου σώματος ἔλαττον ἐν αὐτοῖς ἔχει, πλεῖον δὲ τοῦ παθητικοῦ τε καὶ παχυμερεστέρου, τούτων καὶ τὸ εἶδος ἀτελέστερον.

3. τῆς] τοῖς T. καταλειπομένοις vulg] 4. ἥπερ] ἅπερ T. 13. τε del. 15. τῶν del. διαφορὰ vulg.

Ὅτι, εἰ τοῦτο ἐφ' ἡμῖν, οὗ τὸ ἀντικείμενον μὴ ἐφ' ἡμῖν, οὐδ' αὐτὸ ἐφ' ἡμῖν, οὐδὲ τὸ ἐφ' ἡμῖν ἐφ' ἡμῖν ἔσται. δ'.

Εἰ ἐφ' ἡμῖν ἐστι τοῦτο, οὗ τὸ ἀντικείμενον ἐφ' ἡμῖν, τὸ οὗ τὸ ἀντικείμενον μὴ ἐφ' ἡμῖν, ἐκεῖνο οὐκ ἐφ' ἡμῖν. τοῦτο δ'ἐφ' ἡμῖν, οὗ τὸ ἀντικείμενον οὐκ ἐφ' ἡμῖν· τῷ γὰρ ἐφ' ἡμῖν τὸ οὐκ ἐφ' ἡμῖν ἀντικείμενον. οὐδὲ τὸ ἐφ' ἡμῖν ἄρα ἐφ' ἡμῖν. εἰ δὲ τὸ ἐφ' ἡμῖν μὴ ἐφ' ἡμῖν, οὐδέν ἐστιν ἐφ' ἡμῖν. καθ' οὓς ἄρα ἐφ' ἡμῖν ἐστιν, οὗ καὶ τὸ ἀντικείμενον ἐφ' ἡμῖν, κατὰ τούτους οὐδέν ἐστιν ἐφ' ἡμῖν. ἢ ψεῦδος τὸ εἰ μὴ ἐφ' ἡμῖν τὸ εἶναι ἐφ' ἡμῖν, οὐδέν ἐστιν ἐφ' ἡμῖν; τὸ μὲν γὰρ ἐφ' ἡμῖν τι εἶναι ἐν τῇ φύσει ἡμῶν καὶ τῇ οὐσίᾳ ὂν οὐκ ἐφ' ἡμῖν ἐστι, ὥσπερ οὐδὲ τὸ λογικοῖς εἶναι, τὰ μέντοι πράγματα οἷς χρώμεθα κατὰ τὸ ἐφ' ἡμῖν, ταῦτα ἐφ' ἡμῖν· τούτων γὰρ καὶ τὰ ἀντικείμενα ἐφ' ἡμῖν. τὸ μὲν γὰρ ἐφ' ἡμῖν τι εἶναι οὐκ ἐφ' ἡμῖν, τὸ δὲ περιπατῆσαι ἐφ' ἡμῖν, ὅτι καὶ τὸ μὴ περιπατῆσαι. καὶ γὰρ ἴδιον τὸ ἀντικείμενον τοῦ ἐφ' ἡμῖν οὐκ ἐφ' ἡμῖν διὰ τούτου, τὸ δὲ ἐφ' ἡμῖν ἐφ' ἡμῖν. δῆλον οὖν, ὧν τὰ ἀντικείμενα ἐφ' ἡμῖν, ταῦτα καὶ αὐτὰ ἐφ' ἡμῖν, ὅτι μὴ ἐφ' ἡμῖν ἐν τοῖς πρακτοῖς. οὐ πρακτὸν

2. μὴ] om. Bagolinus. οὐδὲ τὸ ἐφ' ἡμῖν om. V. 6. τοῦτο δ'ἐφ' ἡμῖν, οὗ] τοῦ δ'ἐφ' ἡμῖν Bagolinus. 8. ἄρα ἐφ' ἡμῖν] ἐφ' ἡμῖν om. V. 11. ἀντικείμενον] ἀντικείμενον μὴ V. 12. μὴ] μὴ τὸ V. fort. μὴ τὸ ἐφ' ἡμῖν τι. 22. οὖν ὧν] ὡς οὖν T.

δὲ τὸ εἶναί τι τὸ ἐφ' ἡμῖν ἐν τοῖς βουλευτοῖς καὶ τοῖς ἐνδεχομένοις καὶ ἄλλως ἔχειν. οὐκ ὄντος δὲ ἐν τούτοις τοῦ εἶναί τι ἐφ' ἡμῖν εἰκότως ἡ μὲν δύναμις, καθ' ἥν ἐστιν ἐφ' ἡμῖν, οὐκ ἐφ' ἡμῖν, πρὸς ἃ δὲ χρώμεθα τῇ τοῦ ἐφ' ἡμῖν τι εἶναι δυνάμει, ἐφ' ἡμῖν ταῦτα, ὥσπερ καὶ ἡ μὲν χρῆσις τοῦ λόγου ἐφ' ἡμῖν, οὐκ ἐφ' ἡμῖν δὲ ἡ δύναμις τῆς χρήσεως.

Περὶ τοῦ ὅτι καὶ τὸ ἐφ' ἡμῖν καθ' εἱμαρμένην. ε΄.

Τῷ ἐφ' ἡμῖν τι εἶναι ἀντίκειται τὸ μηδὲν εἶναι ἐφ' ἡμῖν. τὸ οὖν τῷ ἐφ' ἡμῖν τι εἶναι [τὸ] ἀντικείμενον ἀδύνατον. ἀλλὰ μὴν ᾧ τὸ ἀντικείμενον ἀδύνατον, τοῦτο καθ' εἱμαρμένην, εἴ γε ταῦτα καθ' εἱμαρμένην γίνεται, οἷς τὰ ἀντικείμενα ἀδύνατόν ἐστιν ἢ εἶναι ἢ γενέσθαι. τὸ οὖν ἐφ' ἡμῖν τι εἶναι καθ' εἱμαρμένην. τὸ δὲ ἐφ' ἡμῖν τι εἶναι καθ' εἱμαρμένην σώζοιτο ἂν τὸ ἐφ' ἡμῖν τι εἶναι κατὰ οὐσίαν πάντα γίνεσθαι καθ' εἱμαρμένην λέγοντας. ἢ οὐκ ἀληθὲς τὸ ᾧ τὸ ἀντικείμενον ἀδύνατον, τοῦτο εἶναι καθ' εἱμαρμένην; εἰ μὲν γὰρ ταὐτὸν ἦν τὸ ἐξ ἀνάγκης τῷ καθ' εἱμαρμένην, ἦν ἂν ὥσπερ τοῦ ἐξ ἀνάγκης ὁρισμὸς τὸ ᾧ τὸ ἀντικείμενον ἀδύνατον,

1. τι τὸ] fort. τι. 3. τοῦ] τὸ vulg. 5. ἃ om. T. 12. ἡμῖν. τὸ] ἡμῖν ἀδύνατον. τὸ Bagolinus. τὸ del. 18. σώζοιτο ἂν] fort. σώζοι ἂν τούς. 19. πάντα] fort. καὶ πάντα. 23. τῷ] τὸ T. ἦν om. vulg. τοῦ om. vulg. 24. τὸ ᾧ] τῷ T.

οὕτω καὶ τοῦ καθ' εἱμαρμένην. ἐπὶ πλέον δὲ τὸ ἐξ ἀνάγκης τοῦ καθ' εἱμαρμένην· οὐ γὰρ πᾶν τὸ ἐξ ἀνάγκης καθ' εἱμαρμένην. τέσσαρα γοῦν τὰ δὶς δύο ἐξ ἀνάγκης, οὐ μὴν καθ' εἱμαρμένην, εἴ γε ἐν τοῖς γινομένοις τὸ καθ' εἱμαρμένην, ὥστ' οὐκέτ' ἂν ὁρισμὸς εἴη τοῦ καθ' εἱμαρμένην ὁ λόγος ὁ λέγων, οὗ τὸ ἀντικείμενον ἀδύνατον, ἀλλ' ὑπάρχοι μὲν ἂν καὶ τοῦτο τοῖς καθ' εἱμαρμένην, ἐπεὶ καὶ αὐτὰ ἀναγκαῖα, οὐ μὴν ὡς ἐπ' ἴσης αὐτοῖς εἶναι· εἰ δὲ μὴ ἐπ' ἴσης, οὐκ ἐπιστρέψει. οὐ δεῖται γοῦν πάντως ᾧ τὸ ἀντικείμενον ἀδύνατον, τοῦτο καθ' εἱμαρμένην, ἀλλὰ ἀναγκαῖον τοῦτο, οὐ γὰρ ὁρισμὸς ὁ προειρημένος λόγος. τὸ ἐφ' ἡμῖν δή ἐστιν ἀναγκαῖον μέν, ὅτι πᾶν τὸ ἐν τῇ οὐσίᾳ τινὸς ὂν ἀναγκαίως αὐτῷ ὑπάρχει, οὐ μὴν καθ' εἱμαρμένην. οἷς γὰρ καθ' εἱρμὸν αἰτιῶν γινομένοις τὸ ἀντικείμενον ἀδύνατον, ταῦτα εἴη ἂν καθ' εἱμαρμένην.

Πῶς ἀκίνητον εἴη ἂν κατὰ Ἀριστοτέλην τὸ πρῶτον κινοῦν, εἴ γε, ὡς αὐτός φησιν, ἕκαστόν ἐστιν ὧν ἐστιν ἔργον ἕνεκα τοῦ ἔργου, θεοῦ δὲ ἐνέργεια ἀθανασία, τοῦτο δέ ἐστι ζωὴ ἀΐδιος, ὥστε ἀνάγκη τῷ θεῷ κίνησιν ἀΐδιον ὑπάρχειν. ϛ'.

Ἢ οὐκ ἔστιν ἐκεῖνο, ὧν ἐστιν ἔργον τι, εἴ γε

10. ἐπιστρέψει] scrib. ἀντιστρέψει 11. γοῦν] om. T. fort. δεῖ γοῦν εἶναι. 13. οὗ] οὐ T. γὰρ] om. Bagolinus. 16. εἱρμὸν] εἱμαρμένην T. 20. φησιν] de coelo II. 3, p. 286, 8. 21. ἕκαστον] ᾗ ἕκαστον vulg. 22. ἐνεργείᾳ vulg. 25. Ἢ] titulum Πῶς . . ὑπάρχειν repetens praeponit Bagolinus.

ἔργον μὲν τὴν ἐνέργειαν λέγει τὴν ὡς τέλος, τῷ δὲ οὐδὲν τέλος ἐστίν; ἡ γὰρ οὐσία αὐτοῦ ἐνέργειά ἐστιν, ἀλλ' οὐκ ὄν τι ἄλλο, ἔπειτα ἐνέργεια. δῆλον δὲ τοῦτο δι' ὃ ἐπήνεγκεν ὅ ἐστιν, ἐπεὶ δὲ ὁ οὐρανὸς τοιοῦτος, σῶμα ἄρα θεῖον· ἐκεῖνο γὰρ οὐ τοιοῦτον.

Τί ἔσται ἡ ὕλη εἰ παρὰ μὲν τῆς στερήσεως ἔχει τὸ ἄποιος εἶναι καὶ ἀσχημάτιστος, παρὰ δὲ τοῦ εἴδους τὸ πεποιῶσθαι καὶ ἐσχηματίσθαι. ζ'.

Ὕλη εἰ παρὰ μὲν τῆς στερήσεως ἔχει τὸ ἄποιος εἶναι καὶ ἀσχημάτιστος, παρὰ δὲ τοῦ εἴδους τὸ πεποιῶσθαι καὶ ἐσχηματίσθαι, τῷ αὑτῆς λόγῳ τί ἔσται; οὐ γὰρ ἐκ τούτων τῶν ἀποφάσεων ἡ τῆς ὕλης φύσις. κατὰ γὰρ τὸν αὑτῆς λόγον οὔτε ἄποιος οὔτε ποιά, ὡς ὁ ἄνθρωπος κατὰ τὸν αὑτοῦ λόγον οὔτε ἄμουσος οὔτε μουσικός· ὁπότερον γὰρ ἂν εἶχεν ἐν τῷ ἰδίῳ λόγῳ, οὐκ ἂν ἦν ἐν τῷ ἑτέρῳ γενόμενος. οὕτως οὖν καὶ τῇ ὕλῃ εἴη ἂν τὸ ὕλῃ εἶναι οὐκ ἐν τῷ ποιῷ εἶναι ἀλλ' ἐν τῷ ἐπιτηδειότητα ἔχειν καὶ δύναμιν, καθ' ἥν ἐστι δεκτικὴ ποιοτήτων, τὸ δ' ἄποιον αὐτῇ συμβέβηκεν οὐκ ὂν αὐτῆς συμπληρωτικὸν τῆς οὐσίας, ὡς καὶ παντὶ τῷ δεκτικῷ τινὸς τὸ μὴ εἶναι τοῦτο

5. ἄρα] γάρ τι Aristoteles. 7. ἐστιν T. εἰ] ἡ T. 11. εἰ] ἡ T. 14. ἐκ] ὡς V. ἡ] ἐν τῇ T. 15. φύσει T. 19. scrib. γενόμενον. 22. αὐτῇ] αὐτῆς vulg.

οὐ ἔστι δεκτικόν. οὖσα δ' ἐν τῷ μεθορίῳ τούτῳ εἴη ἂν καὶ ἄφθαρτος. ᾧ γὰρ ἐν τῷ δύνασθαί τινα δέχεσθαι παρὰ μέρος τὸ εἶναι, τοῦτο οὔτ' ἐν τῷ μὴ εἶναι ἔν τινι αὐτῶν οὔτ' ἐν τῷ εἶναι ἐξίσταται τῆς οἰκείας οὐσίας· οὐ γὰρ ἀπόλλυσι τὸ δύνασθαι ἐν ᾧ ἂν ᾖ τούτων ὧν ἐδύνατο· οὐ γὰρ οὐ ποιὸν τοῦτο ἐδύνατο. ἢ εἰ ἀπόφασίς τίς ἐστιν ἐπὶ τῆς ὕλης, ὅτι ἡ ὕλη οὔκ ἐστι ποιὰ τῇ αὑτῆς φύσει, τὸ δ' οὐ ποιὸν ἄποιόν ἐστι ἐπὶ τῆς ὕλης δεκτικῆς οὔσης ποιότητος, εἴη ἂν ἡ ὕλη τῇ αὑτῆς φύσει ἄποιος; ἢ οὐκ ἔστι ταὐτὸν εἰπεῖν ἐπ' αὐτῆς οὐκ ἔστι ποιὰ τῇ αὑτῆς φύσει καὶ ἔστιν οὐ ποιὰ τῇ αὑτῆς φύσει; τὸ μὲν γὰρ ἔστιν οὐ ποιὰ τῇ αὑτῆς φύσει κατάφασις οὖσα ἡ ἐκ μεταθέσεως λεγομένη, ἣ ἴσον δύναται τῇ στερήσει, τὸ δ' οὐκ ἔστι τῇ αὑτῆς φύσει ποιὰ ἀπόφασις, ἥτις οὐκ ἔτι ἴσον τῇ στερήσει δύναται, ὅ ἐστιν ἐπὶ τῆς ὕλης ἀληθές. ἡ γὰρ ἐπιτηδειότης ἡ πρός τι μεταξὺ ἐκείνου τε καὶ τῆς στερήσεως αὐτοῦ εἰ καὶ ὅτι μάλιστα τὸ ἐν ᾧ ἐστιν ἡ ἐπιτηδειότης, ἀδύνατον εἶναι χωρὶς θατέρου. οὐ γὰρ ταὐτὸν εἴη ἐπιτηδειότης τῇ στερήσει· ἡ μὲν γὰρ ὑπομένει, ὡς προείρηται, ἡ δὲ στέρησις φθείρεται. διὸ τὸ μὲν μὴ εἶναι ποιὰν ἐν τῇ φύσει αὑτῆς, οὐκ ἔτι δὲ καὶ τὸ ἄποιον. Ἀριστοτέλης ἐν πρώτῳ τῶν προτέρων Ἀναλυτικῶν

6. ᾗ τούτων] ἤπου τῶν vulg. 7. οὐ ποιὸν] ὁποῖον T. ἢ] εἰ εἴη vulg. 9. οὐ ποιὸν] ὁποῖον vulg. 15. ἡ del. ἣ] ἢ T. 20. τὸ] τῷ T. 22. scrib. ἂν εἴη, Bagolinus ἐστι. 26. Ἀναλυτικῶν] I, 46 pag. 51, b.

περὶ τῶν προειρημένων οὕτω λέγει. διαφέρει δέ τι ἐν τῷ κατασκευάζειν ἢ ἀνασκευάζειν τὸ ὑπολαμβάνειν ἢ ταὐτὸν ἢ ἕτερον σημαίνειν τὸ μὴ εἶναι [καὶ] τόδε καὶ εἶναι μὴ τόδε, οἷον τὸ μὴ εἶναι λευκὸν τῷ εἶναι μὴ λευκόν. οὐ γὰρ ταὐτὸν σημαίνει, οὐδ' ἔστιν ἀπόφασις τοῦ εἶναι λευκὸν τὸ εἶναι μὴ λευκὸν, ἀλλὰ τὸ μὴ εἶναι λευκόν. ἔστι δὲ λέγειν, ὅτι εἰ καὶ ὅτι μάλιστα ἀληθὲς ἐπὶ τῆς ὕλης τὸ τῇ αὑτῆς φύσει ἄποιον αὐτὴν εἶναι, ἀλλ' οὐκ ἐν τῇ οὐσίᾳ αὐτῆς τοῦτο, ἀλλὰ συμβέβηκεν αὐτῇ, ὥσπερ ποτὲ καὶ τὸ ποιότητα ἔχειν, ὡς καὶ τῷ ἀνθρώπῳ καὶ ἄμουσον καὶ μουσικὸν, καὶ ὁ κηρὸς δὲ ἀσχημάτιστος ὢν τῇ αὑτοῦ φύσει σχηματιζόμενος οὐ φθείρεται, ὅτι μένει τούτῳ τὸ κηρῷ εἶναι.

Πῶς οὐκ αὐτὸ δι' αὑτοῦ ὡρίσατο ὁ τὴν ψυχὴν ὁρισάμενος ἐντελέχειαν σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος. ή.

Εἰ *τὸ δυνάμει ζωὴν ἔχον σημαίνει τὸ δυνάμενον ζῆν, τὸ δὲ δυνάμενον ζῆν ἐστι τὸ δυνάμενον ψυχὴν ἔχειν, πῶς οὐκ αὐτὸ δι' αὑτοῦ*


2. *τι*] *τι ὅτι* T. *ἢ ἀνασκευάζειν* om. T. 3. *σημαίνειν*] *σημαίνει ἢ* vulg. 4. *καὶ* del. *εἶναι μὴ τόδε*] *τοῦτο μὴ εἶναι* T. 6. *οὐδ'*] *οὐ γὰρ* T. 7. *τὸ εἶναι — λευκὸν* om. T. 11. *οὐσίᾳ*] *αὐτῇ οὐσίᾳ* T. 13. *ἄμουσον*] *τῷ ἄμουσον* T. 18. *ὁρισάμενος*] de anima II, 1.

ὡρίσατο ὁ τὴν ψυχὴν ὁρισάμενος ἐντελέχειαν σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος; ἢ οὐ κέχρηται ἐν τῷ τῆς ψυχῆς ὁρισμῷ τῷ δυνάμει ζωὴν ἔχοντι; ἀλλὰ πρότερον λαβὼν τὸ δυνάμει ζωὴν ἔχοντος ὕστερον, ὅτε λοιπὸν τὸν ὅρον ἀποδίδωσιν, μετέλαβε τὸ ὀργανικὸν εἰς τὴν εὕρεσιν καὶ λῆψιν τοῦ ὀργανικοῦ χρησάμενος τῷ δυνάμει ζωὴν ἔχοντι, τὸ δ᾽ ὀργανικόν ἐστιν ὃ ἔχει μόρια διαφερούσαις ἐνεργείαις ὑπηρετεῖσθαι δυνάμενα, ᾧ ἴσον ἔλαβεν καὶ τὸ δυνάμει ζωὴν ἔχον. ἔτι εἰπὼν ἐντελέχειαν τὴν ψυχὴν τοῦ σώματος δυναμένου ζωὴν ἔχειν οὐ δι᾽ αὐτοῦ τὴν ἀπόδοσιν πεποίηται· τὴν γὰρ τοῦ σώματος φύσιν, ἐν ᾧ ἡ ψυχὴ ὁποία ἐστὶν, ἐδήλωσεν· οὐ γὰρ τὴν ψυχὴν ἐδήλωσεν, οὐδὲ τὴν ψυχὴν ὡρίσατο δι᾽ αὐτης. ἔτι οὐκ ἔστι ταὐτὸν ψυχὴ καὶ ζωὴ, ἀλλὰ τὸ μὲν ἐνεργὲς ἡ ζωὴ, ὅτι ἡ δι᾽ αὐτοῦ τροφή τε καὶ αὔξησις, τὸ δὲ δυνάμει ζωὴν ἔχον λέγοιτ᾽ ἂν τὸ ὀργανικὸν ἔχον δι᾽ αὐτοῦ τὸ δύνασθαι τρέφεσθαι καὶ αὔξεσθαι, ὃ οὐκ ἔστιν ἴσον τῷ τὴν ψυχὴν ἔχειν.

Πῶς οὐ πρός τι ἡ ψυχὴ, εἰ ἐντελέχεια σώματος τοιούτου. θ'.

Ἢ τὸ μὲν ἐντελέχεια ἴσον ἐστὶ τῷ εἶδος, τὸ δὲ εἶδος οὐ πρός τι, εἰ καὶ ὅτι μάλιστά τινός

8. ἔχειν vulg. 15. οὐδὲ] οὐ T. 16. ἔτι ἔστιν T. 18. λέγοιτ᾽] λέγοι vulg. 20. τρέφεσθαι om. T. 24. Ἢ] titulum Πῶς . . τοιούτου repetit Bagolinus. τῷ] τὸ T.



ἐστιν; οὐ γὰρ εἴ τί τινός ἐστιν, εὐθύς ἐστι τοῦτο καὶ πρός τι. καὶ γὰρ ἡ ἐπιφάνειά τινος οὖσα οὐ πρός τί ἐστιν· ἀλλὰ καὶ τὰ μέρη τῶν δευτέρων οὐσιῶν τινὸς μέν ἐστιν, οὐ μήν ἐστι καὶ πρός τι. πρός τι γάρ ἐστιν οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν, ἡ δὲ ψυχὴ σώματος μέν ἐστι τοιοῦδε ἐντελέχεια, οὐ μὴν τὸ εἶναι αὐτὴν ἐν τῷ πρός τί πως ἔχειν ἐστίν. οὖσα γάρ τι τοῦ σώματός ἐστιν, ὡς καὶ ἡ κεφαλὴ οὖσά τί ἐστιν κεφαλωτοῦ κεφαλή. τὸ μὲν γὰρ ὅμοιον καθὸ ὅμοιον, καὶ τὸ ἴσον καθὸ ἴσον ἐν τῇ πρὸς ἃ λέγεται σχέσει τὸ εἶναι ἔχει, καὶ οὐδὲν ἄλλο παρὰ τὴν πρὸς ὃ λέγεται σχέσιν δηλοῖ, ἡ δὲ ψυχὴ καὶ ἡ κεφαλὴ οἰκείαν τινὰ φύσιν καὶ οὐσίαν σημαίνουσιν ᾗ συμβέβηκεν ἄλλου εἶναι, οὐκ εἴ τι δὲ ἄλλου ἐστὶν, ἤδη καὶ πρός τί ἐστιν.

Ὅτι μὴ αὐτοκίνητος ἡ ψυχή. ι.

Ψυχή ἐστι καθὸ τὸ ζῶον ζῶόν ἐστι. καθὸ γὰρ διαφέρει ἐνυπάρχον αὐτῷ τὸ ζῶον τοῦ μὴ ζώου, κατὰ τοῦτο ζῶον· κατὰ δὲ τὴν ψυχὴν ἐνυπάρχουσαν αὐτῷ διαφέρει τὸ ζῶον τοῦ μὴ ζῴου, κατὰ τὴν ψυχὴν ἄρα τὸ ζῶον ζῶόν ἐστι. καθὸ δὲ τὸ ζῶον ζῶόν ἐστιν, εἶδος τοῦτο αὐτοῦ. πᾶν γὰρ καθὸ λέγεταί τε καί ἐστιν τόδε τι, εἶδος τοῦτο· καὶ γὰρ τῶν κατὰ τέχνην γινομένων ἕκαστον καὶ τῶν κατὰ φύσιν κατὰ τὸ

7. αὐτὴν] scrib. αὐτη. 10. κεφαλῶ τοῦ κεφαλῇ vulg.

εἶδός ἐστιν τοῦτο ὅπερ ἐστί. καὶ τὸ ζῷον δὴ ζῷόν ἐστι κατὰ τὸ εἶδος, ἣν δὲ κατὰ τὴν ψυχὴν ζῷον, εἶδος οὖν ἡ ψυχή. ἀλλὰ μὴν τό τινος εἶδος ἔνυλον εἶδός ἐστιν, ἡ ψυχὴ δέ τινος εἶδός ἐστιν, τοῦ γὰρ ζῴου. ἡ ψυχὴ οὖν ἔνυλον εἶδος ὂν ἀδύνατον αὐτὸ καθ' αὐτὸ εἶναι. ὃ γὰρ ὕλης δεῖται πρὸς τὸ εἶναι ταύτης τι ὄν, ἀδύνατον τοῦτο χωρισθὲν αὐτῆς αὐτὸ καθ' αὐτὸ εἶναι. ἡ δὲ ψυχὴ ἔνυλον εἶδός ἐστιν, ψυχὴν οὖν ἀδύνατον αὐτὴν καθ' αὐτὴν εἶναί ποτε. ὃ δ' ἀδύνατον αὐτὸ καθ' αὐτὸ εἶναι, ἀδύνατον καὶ καθ' αὐτὸ κινεῖσθαι. ἀδύνατον δὲ καθ' αὐτὴν εἶναι τὴν ψυχὴν, τὴν ψυχὴν ἄρα ἀδύνατόν ἐστι καθ' αὐτὴν κινεῖσθαι. ὃ δὲ μὴ καθ' αὐτὸ κινητὸν, οὐχ οἷόν τε εἶναι αὐτοκίνητον. ἡ δὲ ψυχὴ καθ' αὐτὴν οὐ κινεῖται, ἡ ψυχὴ ἄρα οὐκ ἔστιν αὐτοκίνητος.

Διὰ τί τὸ γινόμενον ἐκ τῆς στερήσεως μεταβάλλον ἅμα ἐκ τοῦ ἐναντίου αὐτοῦ μεταβάλλει, εἴ γε μὴ ταὐτόν ἐστιν ἡ στέρησις καὶ τὸ ἐναντίον. ιά.

Διὰ τί τὸ γινόμενον ἐκ τῆς στερήσεως μεταβάλλον ἅμα καὶ ἐκ τοῦ ἐναντίου αὐτοῦ μεταβάλλει, εἴ γε μὴ ταὐτόν ἐστιν ἡ στέρησις καὶ τὸ ἐναντίον; τὸ μὲν γὰρ ἐναντίον εἶδός τι, ἡ δὲ στέρησις ἀπουσία τούτου οὐ κατὰ τὴν ἑαυτοῦ

11. κατ' αὐτὸ vulg. 12. δὲ] τι vulg. alterum τὴν ψυχὴν om. vulg.

φύσιν τὸ ὑποκείμενόν ἐστι ἐπιδεκτικόν. ἆρ᾽ οὖν τόδε τούτου αἴτιον ἡ ὕλη, ἣ τῶν οὐσιῶν τῶν ἐν γενέσει τε καὶ φθορᾷ κοινὴ πασῶν αὐτῶν οὖσα καὶ ὑποκειμένη αὐτοῖς, δυνάμει πάντα ἐστὶ τῷ εἰς ἕκαστον αὐτῶν μεταβάλλειν δύνασθαι; διὰ τοῦτο γὰρ λέγεται μὲν δυνάμει πάντα, οὐδὲν μέντοι τούτων τῶν ἐξ αὐτῆς γινομένων καὶ εἰς ἃ μεταβάλλει, ἐν τῷ οἰκείῳ λόγῳ καὶ ἐν τῇ οἰκείᾳ οὐσίᾳ ἔχει, ἀλλ᾽ ἔστιν ἁπάντων αὐτῶν χωριστὴ τῷ λόγῳ, τῇ μέντοι ὑποστάσει τε καὶ ὑπάρξει ἀχώριστός ἐστιν αὐτῶν τῷ ἀεί τι αὐτῶν ἔχειν ἐνεργείᾳ καὶ μετὰ τοῦ σὺν τούτων τινὶ εἶναι, ἐνεργείᾳ τέ ἐστι καὶ ἐν ὑπάρξει. οὔτε γὰρ τῶν εἰδῶν τι ὧν ὕλη δεκτική, ἄνευ τῆς ὕλης οἷόν τε εἶναι ἐν ὑπάρξει, οὔτε τὴν ὕλην ἄνευ τινὸς εἴδους, ἀλλ᾽ ἔστιν ἀχώριστα ἀλλήλων πρὸς ὕπαρξιν. οὖσα οὖν ἀεὶ μετά τινος εἴδους, ὧν ἐστι δεκτικὴ τῶν εἰδῶν, ἐν οἷς οὐκ ἔστι, τότε ἐστερῆσθαι λέγεται τῷ δύναμιν ἔχουσα τῆς εἰς αὐτὰ μεταβολῆς μὴ εἶναι ἐν αὐτοῖς. διὸ καὶ ὅταν εἴς τι μεταβάλλῃ ἐκ τῆς οἰκείας ἐκείνου εἰς ὃ μεταβάλλει, στερήσεως μεταβάλλειν λέγεται τῷ κατὰ μὲν τὴν πρὸς τοῦτο δύναμιν γενέσθαι τὴν εἰς τοῦτο μεταβολὴν αὐτῇ. ἣν δὲ ἡ πρὸς τοῦτο δύναμις αὕτη κατὰ τὴν τούτου στέρησιν. οὔτε γὰρ εἰ παρῆν αὕτη ἐστέρητο ἂν αὐ-

1. ἐπιδεκτικόν] fort. δεκτικόν. 2. τόδε] scrib. τὸ vel τόδε τό. 3. κοινῇ vulg. 6. οὐδὲν] ἢ οὐδὲν ἡ T. 12. μετὰ τοῦ] fort. del. 19. ἐστερῆσθαι] στερεῖσθαι T. 21. μεταβάλλῃ] μεταβάλλει V. 25. αὕτη] fort. αὐτῇ, item in sequenti versu; sic Bagolinus.

τοῦ, οὔτε εἰ μὴ, ἣν ἐπιτηδειότητα ἔχουσα τὴν πρὸς αὐτό. τῷ οὖν μὴ κατ' ἄλλην τινὰ δύναμιν ἢ τὴν κατὰ τοῦτο τὴν εἰς τοῦτο αὐτῇ γίνεσθαι μεταβολὴν, τούτῳ ἕκαστον τῶν γινομένων ἐκ τῆς οἰκείας στερήσεως λέγεται γίνεσθαι κατὰ τὴν μεταβολὴν τοῦ ὑποκειμένου τῆς τούτου στερήσεως. διὸ καὶ κατὰ συμβεβηκὸς ἡ στέρησις ἑκάστου τῶν γινομένων ὡς στοιχεῖον ἀρχὴ τῷ τὴν μεταβάλλουσαν εἰς αὐτὸ ὕλην καὶ στοιχεῖον αὐτοῦ γινομένην κυρίως διὰ τὸ προϋπάρχειν ἐν αὐτῇ τὴν στέρησιν αὐτοῦ, τούτῳ κατὰ τοῦτο εἰς αὐτὸ μεταβάλλειν. διὰ τοῦτο ἐξ οὐ θερμοῦ γίνεται τὸ θερμὸν, οὐκ ἐκ γλυκέος, ὅτι τὸ οὐκ ἐκ θερμοῦ δηλωτικόν ἐστι τοῦ ἐν στερήσει θερμοῦ ὄντος καὶ κατὰ τὴν στέρησιν ταύτην μεταβάλλοντος. οὐ γὰρ κατὰ τὴν πρὸς γλυκύτητα δύναμιν ἡ εἰς τὸ θερμὸν μεταβολὴ, οὐδὲ κατὰ τὴν ταύτης στέρησιν.

Καὶ διὰ τοῦτο μὲν ἐκ στερήσεως, τῷ δὲ τὴν ὕλην εἰδοποιεῖσθαι τοῖς ἐναντίοις καὶ τούτων εἶναι παρὰ μέρος δεκτικὴν ἐξ ἐναντίου λέγεται γενέσθαι. τῶν γοῦν πρώτων ἐξ αὐτῆς γινομένων σωμάτων εἴδη δύο, αἱ πρῶται τῶν ἐναντιώσεων, θερμότητος καὶ ψυχρότητος, καὶ ξηρότητος καὶ ὑγρότητος. καὶ τούτοις ὁρίζεται τὰ ἁπλᾶ σώματα. ἐπεὶ τοίνυν τούτων δεκτικὴ καὶ ἥ ἐστι μετά τινος τούτων ἢ τινῶν, ἀναγκαῖόν ἐστιν αὐ-

1. ἣν] fort. παρῆν, ἣν ἄν. 3. αὐτῇ] αὕτη vulg. 12. ἐξ οὐ] ἐξ οὗ vulg. 13. τὸ οὐκ ἐκ] τὸ ἐξ οὐ Bagolinus. 26. καὶ ἥ] καὶ εἰ T, fort. ἥ.

τήν, ὅταν μὴ ἔχῃ τι τούτων ἀλλ' ἐν στερήσει ᾖ αὐτῶν, σὺν θατέρῳ εἶναι τῶν ἐναντίων, ἐν τοῖς ἐναντίοις αὐτῶν γένεσιν οὖσα ἔσται ἐξ ἀνάγκης ἐν τῇ τούτων στερήσει· καθὸ γάρ ἐστιν ἐν τῷ ἐναντίῳ τοῦ θερμοῦ, ἔστιν ἐν στερήσει αὐτοῦ, καὶ ἕως ἂν ἐν ἐκείνῳ ᾖ, μένει καὶ ἐν στερήσει. τῷ οὖν τῇ τοῦ ἐναντίου παρουσίᾳ τὴν τοῦ ἐναντίου στέρησιν συνεζεῦχθαι καὶ ἀναγκαίως καὶ ὅταν ἐκ τῆς στερήσεως αὐτοῦ εἰς τὴν ἕξιν μεταβάλλῃ, κατ' ἐκεῖνο ὃ παρὸν αἴτιον ἦν τῷ ὑποκειμένῳ τοῦ εἶναι, ἐν τῇ τούτου γίνεται στερήσει.

Ὅτι οὐ δείκνυται διὰ τοῦ συστέλλεσθαι τὰ σώματα εἰς ἑαυτὰ τὸ σῶμα διὰ σώματος χωρεῖν. ιβ'.

Οὐ γὰρ τὰ συστελλόμενα εἰς ἑαυτὰ ἀναχωροῦντα συστέλλεται σώματος χωροῦντος διὰ σώματος· συστέλλεται γὰρ τοῦτο ὃ ἐνεργείᾳ τι ὂν μένον ἐπὶ τῆς αὐτῆς οὐσίας εἰς ἐλάττονα ὄγκον συνάγεται ἢ ὑπό τινος ἢ ὑφ' ἑαυτοῦ. πάντα δὲ τὰ τοῦτο πάσχοντα ἀποκρίσει τινὸς τοῦτο ποιεῖ. ἢ γὰρ τοῦ πνεύματος χωριζομένου τὸ λοιπὸν σῶμα εἰς τὴν τέως ὑπ' ἐκείνου χώραν κατεχομένην συνέρχεται, ἢ τοῦ ὑγροῦ τοῦ ἐν αὐτοῖς παρεσπαρμένου, ἡ δὲ ὕλη οὐδὲ τὴν ἀρ-

2. σὺν θατέρῳ εἶναι τῶν ἐναντίων om. T. 6. ᾖ] ἢ ἡ vulg. 8. καὶ del. 16. Οὐ] titulum Ὅτι . . χωρεῖν repetit Bagolinus. 18. τι ὂν] αἴτιον T, ἔτι ὂν Bagolinus. 20. ὑπὸ] ἀπὸ vulg.

χὴν συστέλλεται τῷ μηδ' ἐνεργείᾳ ὑφεστάναι. γίνεται δὲ τὰ ὑπ' αὐτῆς σώματα ποτὲ μὲν ἐπὶ μείζονος ὄγκου, ποτὲ δ' ἐπ' ἐλάττονος τῷ τῶν σωμάτων τὰ μὲν εἶναι παχύτερα, τὰ δὲ στερεώτερα, τὰ δὲ λεπτότερά τε καὶ ὑγρότερα, ὧν τὰ μὲν παχύτερά τε καὶ στερεώτερα εἰς τὸν ἴσον ὄγκον πλείονος ὄγκου δεῖται, τὰ δὲ ὑγρότερά τε καὶ λεπτότερα ἐλάττονος· διὸ ποτὲ μὲν ἐπὶ τῆς αὐτῆς ὕλης ἐστὶν σῶμα πλείονα κατέχον τόπον, ποτὲ δὲ ἐλάττονα τῷ τὴν αὐτὴν ὕλην τῶν ἑκατέρου τῶν σωμάτων ποιητικῶν ποιοτήτων εἶναι δεκτικήν. εἰ μὲν οὖν ἐν τῇ τῶν σωμάτων χωρήσει δι' ἀλλήλων ἐγίνετο φθορά τις, καὶ ἡ μεταβολὴ εἰς παχυμερέστερα σώματα, ἴσως ἂν ἐδύνατο ὃν τέως τὸ ἕτερον κατεῖχεν τόπον, τοῦτον ὕστερον κατέχειν τότ' ἐκ τῆς ἀμφοτέρων μίξεως γινόμενον. εἰ δὲ τὰ αὐτὰ μένει (ἑκάτερον γὰρ αὐτῶν δοκεῖ σώζειν τὴν ἑαυτοῦ φύσιν), πῶς ἂν ἔτι γίγνοιτο τοῦτο, ᾧ γίνεται ἔτι ἔνια μιγνύμενα, οὐ μόνον οὐ παχύτερον ἀλλὰ καὶ λεπτότερον; αὐτὸ ἣ πρόσθεν ἦν ποιεῖ, ὥστε ἔδει αὐτὸ ἐπὶ μείζονος γιγνόμενον ὄγκου καὶ τόπον κατέχειν πλείονα.

2. ὑφ' αὐτῆς T. 6. ὄγκου] scrib. τόπου, et sic Bagolinus. 11. ποιητικὴν T. 15. κατεῖχεν] κατέχειν T. κατέχει Bagolinus. 16. τότ'] scrib. τό. 17. γὰρ αὐτῶν] ὃ γὰρ αὐτοῖς vulg. 18. τὴν] ἢ τὴν vulg. 19. ᾧ γίνεται] ὃ γίνεται V. γίνεσθαι T. 20. λεπτότερον] post hoc excidisse quaedam videntur, ut παχύτερον γάρ, οὐ λεπτότερον. 21. ἔδει] fort. δεῖ.

Πρὸς τοὺς Πλατωνικοὺς τοὺς ἐκ τῶν τριγώνων τὰ σχήματα καὶ τὰ εἴδη τῶν σωμάτων συγκεῖσθαι λέγοντας, οὐ τὰ σώματα. ιγ΄.

Ἐν πάσῃ μεταβολῇ ἔστι τὸ ὑποκείμενον, οὗ τὸ μεταβάλλειν κατηγορεῖται· ἔν τε γὰρ τῇ φορᾷ τὸ φερόμενον ὑπόκειται κατ' ἐκεῖνο τὸ μεταβάλλον, ἔν τε τῇ αὐξήσει τε καὶ μειώσει τὸ αὐξόμενόν τε καὶ μειούμενον, καὶ ἐν τῇ κατ' ἀλλοίωσιν τὸ ἀλλοιούμενον. ἀλλὰ καὶ ἐν τῇ κατὰ γένεσιν καὶ φθορὰν μεταβολῇ ἐξ ὑποκειμένου τινὸς ἡ μεταβολή· οὐ γὰρ ἐκ τοῦ μὴ ὄντος ἡ γένεσις, καὶ εἰς τὸ μὴ ὂν ἡ φθορὰ καὶ ἔστιν ἐν ταύτῃ τῇ μεταβολῇ τὸ ὑποκείμενον ᾗ ὑποκείμενον. καὶ ἐπὶ τῆς τῶν ἁπλῶν δὴ σωμάτων γενέσεώς τε καὶ φθορᾶς ὑποκεῖσθαί τι δεῖ καὶ τοῦτο εἶναι ὕλην αὐτῶν. ἐξ οὗ γὰρ πρώτου ἐνυπάρχοντός τινα γίνεται, καὶ εἰς ὃ ἔσχατον διαλύεται, τοῦτο ὕλη αὐτῶν ἐκείνων. καὶ τὰ ἁπλᾶ δὴ σώματα ἐξ οὗ πρώτου ὑποκειμένου γίνεται, καὶ εἰς ὃ ἔσχατον διαλύεται, τοῦτο ὕλη αὐτῶν. ἀλλὰ μὴν ἐν τοῖς ἁπλοῖς σώμασιν ὑποκείμενον τὰ τρίγωνα (ἐκ τούτων γὰρ πρώτων ἡ γένεσις αὐτῶν κατ' αὐτοὺς, καὶ εἰς ταῦτα ἔσχατα ἡ ἀνάλυσις), τὰ τρίγωνα ὕλη τῶν ἁπλῶν σωμάτων.

12. γάρ] γὰρ μὴ vulg. 14. τῇ μεταβολῇ] ἡ μεταβολη vulg. 17. πρώτου] πρὸ τοῦ T. 18. ὃ] τὸ T, et v. 21. 22. ἐν] scrib. εἰ vel εἰ ἐν, Bagolinus τὰ τρίγωνα οὖν ὕλη. 23. πρῶτον vulg.

εἶδος δὲ ἡ ποιὰ καὶ ποσὴ τούτων σύνθεσις. εἰ δὲ τοῦτο, τὰ σώματά ἐστιν, ἀλλ᾽ οὐ τὰ εἴδη τῶν σωμάτων τὰ γινόμενα ἐκ τῶν τριγώνων κατ᾽ αὐτούς. εἰ γὰρ εἴη τις αὐτοῖς καὶ ἄλλη ὕλη ὑποκειμένη, εἴη δὲ καὶ τὰ τρίγωνα, δύο ἂν ὕλας ἔχοι οὐδετέρας εἰς οὐδετέραν ἀναφέρεσθαι δυναμένης. εἰ δὲ λέγοιεν τὴν ὕλην κατὰ ταῦτα, καὶ γίνεσθαι κατὰ μὲν τάδε τὰ τρίγωνα καὶ ὧδε σχηματισθεῖσαν πῦρ, κατὰ δὲ τάδε τὴν γῆν, τί δήποτε ἡ γῆ ἀμετάβλητος αὐτοῖς εἰς τὰ ἄλλα γενήσεται, ὁμοίως τῆς ὑποκειμένης ὕλης τῇ γῇ δυναμένης καὶ κατὰ τὸ τοῦ πυρὸς καὶ κατὰ τὸ τῶν ἄλλων σωμάτων εἰδοποιὰ σχηματίζεσθαι τρίγωνα· οὐδὲ γὰρ οὐδ᾽ ἐπὶ τῶν τριγώνων αὐτὰ ἦν τὰ τρίγωνα μεταβάλλοντα, ἀλλ᾽ ἡ ὑποκειμένη ὕλη ἐσχηματίζετο κατὰ ταῦτα εἰς ἄλληλα, μενούσης τῆς ὑποκειμένης ὕλης ὁμοίως ἂν εἰς ἄλληλα πάντα μεταβάλλῃ, οὐ φησὶ δ᾽ αὐτὰ ὁμοίως εἰς ἄλληλα μεταβάλλειν. δῆλός ἐστιν ὕλην αὐτοῖς ὑποτιθεὶς τὰ τρίγωνα, ἐπεὶ μὴ ὁμοίως οἷά τ᾽ ἔστιν συντίθεσθαί τε καὶ σχηματίζεσθαι, οὐδ᾽ εἰς ἄλληλα ἔτι μεταβάλλειν αὐτά φησιν, εἴ τι παρὰ τῆς ὕλης ἔχουσιν· εἰ γὰρ καὶ τὴν βαρύτητα παρὰ τῶν τριγώνων· τὸ γὰρ ἐκ πλειόνων τῶν αὐτῶν συγκείμενον βαρύτερον λέγειν οὐκ ἔτ᾽ ἄν, εἰ γίνοιτο ἐκ τῆς ἐκείνων συνθέσεως τὸ μαθηματικὸν

6. fort. ἔχοιεν. ἂν φέρεσθαι T. 9. γῆν] δὲ T. 14. αὐτὰ] αὐτὸ vulg. 19. δῆλος] hoc quoniam triangula praeponit Bagolinus. 25. εἰ] fort. εἴη, εἰ.

σῶμα. εἰ δὲ μή, ἐκεῖνο τὸ φυσικὸν παρὰ τῶν τριγώνων αὐτοῖς, τὸ φυσικοῖς εἶναι σώμασιν.

Εἰ τὰ κοινὰ νοήματα, τὰ δὲ νοήματα οὐ σώματα, οὐδ' ἂν τὸ κοινὸν εἴη σῶμα, νόημά τε ὂν τοῦ κοινοῦ σώματος οὐδ' ὁρισμὸς οὐκ ἔστι σώματος ὁρισμός. ιδ'.

Ἢ τὰ κοινὰ οὐχ ἁπλῶς νοήματα, ἀλλὰ ἀπὸ τινῶν καὶ περὶ τινῶν; ταῦτα δ' ἔστι τὰ καθ' ἕκαστα. γίνεται δὲ ἀπὸ τούτων τῶν οὐκ ὄντων κοινῶν τῷ ἀφαιρεῖσθαι αὐτῶν τῇ ἐπινοίᾳ, ταῦτα δὲ καθ' αὑτὰ διαφέροντα ἀλλήλων καθέκαστά ἐστιν, ὧν ἀφαιρεθέντων τὸ καταλειπόμενον νόημα. ἢ ἐν ἅπασι τὸ κοινόν ἐστιν, ὃ τῷ μὴ οὕτως ὑφεστάναι, ὡς νοεῖται, δοκεῖ τὴν ὑπόστασιν ἔχειν ἐνιῶν λέγεται, καί ἐστιν ὁρισμὸς τοῦ τοιούτου καὶ τοῦτον τὸν τρόπον νοουμένου καὶ διὰ τοῦ νοήματος εἶναι δοκοῦντος, οὐ τοῦ νοήματος, ἀλλὰ τοῦ οὕτω νοουμένου; μηνυτικὸς γὰρ ὁ ὁρισμὸς τοῦ ἀπὸ τοῦ πράγματος τοῦ ὁριζομένου νοήματος γεγονότος. σημεῖα γὰρ τὰ μὲν νοήματα τῶν πραγμάτων, οἱ δὲ λόγοι τῶν ἀπ' ἐκείνων νοημάτων, ὥστε καὶ ὁ τοῦ σώματος ὁρισμὸς εἴη ἂν τοῦ νοήματος μηνυτικός.

1. *μή*] *εἰ μή* Bagolinus. 5. fort. *ὧν τοῦ κοινοῦ ὁ ὁρισμὸς οὐκ.* 7. *Ἢ*] titulum *Εἰ . . ὁρισμὸς* repetit Bagolinus, neque ille titulus sed quaestionis initium est. 10 *κοινῶν τῷ*] *κοινὸν τὸ* vulg. 15. *ἐνιῶν*] fort. *ἐφ' ὧν*, in illis de quibus Bagolinus.

ὅ λέγομεν ἀπὸ τοῦ σώματος κατὰ ἀφαίρεσιν τῶν ὑπαρχόντων τοῖς καθέκαστα σώμασιν, ὧν ἀφαιρεθέντων τὸ καταλειπόμενον κοινὸν καὶ ταὐτόν ἐστιν ἐν ἅπασι τοῖς σώμασιν. ὧν δὲ τῆς τοῦ σώματος φύσεώς τε καὶ οὐσίας μηνυτικὸς, οὐκ ἂν εἴη ἀσωμάτου, οὐδ' ἐπεὶ ἀσώματος οὗτος, καὶ τὸ νόημα τὸ ἀπὸ τοῦ σώματος διὰ τοῦτο ἄτοπόν τι λέγεται. ὁ μὲν γὰρ ὁρισμὸς λόγος, οὐ λόγος δὲ, τὸ σῶμα. καὶ ἐν πᾶσι δὴ οὐ τοῦ νοουμένου τὸ σημαινόμενον, ἐπεὶ αὐτὸ τοῦτο τίς ἀξιώσει καὶ τὸν τοῦ λευκοῦ λόγον λευκὸν εἶναι καὶ τὸν τοῦ βαρέος βαρύν; ὅτι μὲν γὰρ οὐ τοῦ νοήματος ὁ ὁρισμὸς, ὁ μὲν λέγει τὸ τριχῇ διεστὸς ἁπτὸν, οὐ τοιοῦτο δὲ τὸ νόημα· καὶ ὁ μὲν ζῶον λογικὸν θνητὸν, οὐδὲν δὲ τούτων ἐν τῷ νοήματι.

Πῶς λέγομεν τὴν αὐτὴν δύναμιν ἅμα τῶν ἐναντίων εἶναι. ιέ.

Ὅταν λέγωμεν τὴν αὐτὴν δύναμιν εἶναι τῶν ἐναντίων, οὐ τοῦτο λέγομεν, ὅτι τῇ αὐτῇ δυνάμει καὶ περιπατεῖ τις καὶ ἠρεμεῖ, καὶ λέγει καὶ σιγᾷ. οὐ γὰρ καθ' ἣν δύναμιν κινεῖται, κατὰ ταύτην καὶ ἠρεμεῖ· οὕτω γὰρ ἂν γίνοιτο καὶ τὸ κινεῖσθαι ταὐτὸν τῷ ἠρεμεῖν εἴ γε ὧν ἡ δύναμις ἡ αὐτὴ, τούτων καὶ ἡ ἐνέργεια ἡ αὐτή· ἀλλ' ἔστι

4. ὧν] ὧν vulg. 9. οὐ] fort. οὗ. 11. λευκὸν om. T. 15. καὶ ὁ μὲν] fort. ὁ δέ. 17. conf. I, 19. 19. λέγωμεν] λέγομεν vulg. 24. εἴ γε] εἰ δὲ T.

τὸ λεγόμενον ἴσον τῷ ὃ τὸ ἐναντίον τινὶ δύναται, τοῦτο καὶ τὸ ἐναντίον ἐκείνῳ δύναται. ὃ γὰρ πρὸς θάτερον τῶν ἐναντίων ἐπιτηδειότητα ἔχει, ἐξ ἀνάγκης καὶ πρὸς θάτερον· συνεισάγει γὰρ ἡ θατέρου δύναμις τὴν θατέρου. ἡ αὐτὴ οὖν ἀντὶ τοῦ ἴση. τῷ γὰρ τὸ δύναμίν τινος ἔχον μηδέπω μὲν εἶναι ἐν ἐκείνῳ, δύνασθαι δὲ μεταβάλλειν εἰς αὐτὸ τὸ [δὲ] μεταβάλλον εἴς τι ἐξ ἐναντίου τινὸς αὐτῷ μεταβάλλει. καὶ γὰρ τὸ μεταξὺ ἐναντίον ἀεὶ τῷ τὸ εἰς τὸ ἐναντίον τινὶ μεταβάλλειν μέλλον ἐν τῷ ἐναντίῳ αὐτοῦ δεῖν εἶναι· ἐκ τούτου γὰρ ἡ μεταβολή. τὸ δ' ὂν ἔν τινι καὶ ἀποβάλλον αὐτὸ, ὡς δέχεσθαι αὐτοῦ τὸ ἐναντίον, ἀμφοτέρων δύναμιν ἔχει τῷ ἑκάτερον αὐτῶν παρὰ μέρος κατέχειν καὶ ἀποβάλλειν δύνασθαι. τῷ οὖν συνεισάγειν τὴν τοῦ ἑτέρου δύναμιν καὶ τὴν θατέρου, τούτῳ ἡ αὐτὴ δύναμις τῶν ἐναντίων λέγεται. τὸ δὲ πῦρ οὐκέτι τοῦ ψυχροῦ δύναμιν ἔχει θερμὸν ὂν, ὅτι μήτε θερμὸν οἷόν τε δυνάμει εἶναί ποτε πῦρ τε ὂν ἀλλ' ἀεὶ ἐνεργείᾳ τοιοῦτον. καὶ καθόλου ἀληθὲς τὸ οὗ τις δύναμιν ἔχει, τούτου δύναται καὶ τὸ ἀντικείμενον. ἢ γὰρ ἐξ ἀνάγκης ἐν αὐτῷ ἔσται καὶ οὐ δυνήσεται ἔτι αὐτὸ, καὶ εἰ δύναται τοῦτο, δυνήσεται καὶ αὐτὸ, τῷ

4. ἔχει] scrib. ἔχει, ἔχει. 6. ἔχον] ἔχειν vulg. 8. δὲ del. 10. τῷ τὸ] τῷ V. τὸ T. fort. μεταβαλεῖν. 11. δεῖν om. T. 13. ἐναντίον ἢ ἀμφ. vulg. 16. καὶ τὴν] καὶ τοῦ vulg. 17. τούτῳ ἡ αὐτὴ] τούτων αὕτη vulg. 19. scrib. μηδέ. 20. τε] scrib. γε vel del. ἀλλὰ ἡ' ἐνέργεια T. 23. αὐτὸ] αὐτῷ T. 24. καὶ εἰ] εἰ T. fort. ἢ εἰ — καὶ αὐτὸ] αὐτό T. τῷ τε] τότε T.

τε μὴ ἔχειν αὐτὸ δύναμιν ἕξει. εἰ δὲ τὸ μὴ ἔχειν ἀντίκειται τῷ ἔχειν, τὸ δύναμιν ἔχον τινὸς καὶ τοῦ ἀντικειμένου αὐτῷ δύναμιν ἔχει. οὐκ ἀνάγκη δὲ τῶν ἐναντίων καὶ τὰς δυνάμεις ἐναντίας λέγειν· τὰ μὲν γὰρ ἐναντία ἀδύνατον ἅμα τῷ αὐτῷ ὑπάρχειν, αἱ δὲ τῶν ἐναντίων δυνάμεις ἅμα εἰσὶν ἐν τῷ δυναμένῳ αὐτὰ, ὅταν ἐν μηδετέρῳ πως αὐτῶν ἡ ἐνέργεια. ὅτε γὰρ κηρὸς δύναται καὶ τρίγωνος γενέσθαι, τότε δύναται καὶ περιφερής. πρὸ τοῦ γοῦν ἐν μηδετέρῳ τούτων εἶναι τῶν σχημάτων οὐδὲν μᾶλλον εἰς τὸ ἕτερον αὐτῶν μεταβάλλειν δύναται· ἔχον μέντοι ἀμφοτέρων ἅμα τὰς δυνάμεις οὐχ οὕτως ἔχει ὡς καὶ ἀμφότερα ἅμα δέξασθαι δυνάμενον. οὐδὲν γὰρ ἅμα τῶν ἐναντίων ἐστὶ δεκτικὸν, καίτοι ἅμα αὐτῶν τὰς δυνάμεις ἔχον. εἰ γὰρ μὴ ἔχοι ἡ ὕλη ἅμα πρὸς τὰ ἐναντία ἐπιτηδειότητα, ἀλλὰ νῦν μὲν αὐτῶν τόδε δύναιτο, νῦν δὲ τόδε, οὐκ ἂν εἴη ἔτι κατὰ τὸν αὐτῆς λόγον ἄποιος, παρουσίᾳ δέ τινος καὶ διαφορᾷ νῦν τὸ μὲν τῶν ἐναντίων, νῦν δὲ τὸ ἕτερον δυνήσεται. διὸ τὰς μὲν τῶν ἐναντίων δυνάμεις οὐ ῥητέον ἐναντίας, εἴ γε αὗται μὲν συνυπάρχουσιν, οὐχ οἷόν τε δὲ συνυπάρχειν τὰ ἐναντία, τὰς δ' ἐπ' αὐτῶν εἰς τὴν ἐνέργειαν προόδους ἐναντίας ἐροῦμεν δὴ καὶ αὐτάς.

3. τῶν ἐναντίων] τῷ ἐναντίῳ T. 7. μηδετέρῳ] fort. μηδετέρᾳ. 8. ἡ ἐνέργεια] fort. ᾗ ἐνεργείᾳ. 12. δύναται om. T. 13. ἔχει ὡς] ἐκείνως vulg. 16. ἔχοι] ἔχον vulg. 19. δὲ om. T. 20. νῦν τὸ] νῦν δὲ τὸ T.

Πῶς οὐχ ὁμοίως ταῖς στοχαστικαῖς τέχναις καὶ αἱ ἄλλαι τέχναι τέλος ἕξουσιν τὸ πάντα τὰ παρ' αὐτὰς ποιεῖν πρὸς τὸ τοῦ προκειμένου τυγχάνειν. ιϛ'.

Εἰ τῶν στοχαστικῶν τεχνῶν τέλος εἶναί τις λέγοι τὸ πάντα τὰ παρ' αὐτὰς ποιεῖν πρὸς τὸ τοῦ προκειμένου τυγχάνειν, πῶς οὐχ ὁμοίως καὶ αὗται τοῦ οἰκείου τεύξονται τέλους ταῖς οὐ στοχαστικαῖς τῶν τεχνῶν; δοκοῦσι δὲ κατὰ τοῦτο μάλιστα διαφέρειν τῶν ἄλλων αἱ στοχαστικαὶ τῷ μὴ ὁμοίως τοῦ τέλους τυγχάνειν. καθ' οὓς μὲν τέλος ἐστὶν αὐταῖς τὸ τυχεῖν τοῦ προκειμένου, διαφέροιεν ἂν ταύτῃ· καθ' οὓς δὲ τὸ προκείμενόν ἐστιν αὐταῖς τέλος, εἰ καὶ τὰ τοῦ τέλους μὴ ὁμοίως τυγχάνει, οὐ διαφέροιεν αὐτῶν κατὰ τὸ μὴ ὅμοιον αὐταῖς τὸ τέλος ἔχειν. ἐκεῖναι μὲν γὰρ τῷ τοῖς κατὰ τὴν τέχνην γινομένοις ἕπεσθαι τὸ οὗ χάριν γίνονται, καὶ τὴν ἀποτυχίαν αὐταῖς τοῦ προκειμένου κατὰ τὴν διαμαρτίαν τῶν γινομένων, οὐ τεχνικῶς γινομένων, ἕπεσθαι, τέλος ἔχουσιν τὸ τυχεῖν τοῦ προκειμένου· ἴσον γὰρ ἐν ἐκείναις τῷ πάντα τὰ παρ' αὐτῶν ποιῆσαι πρὸς τὸ τυχεῖν τοῦ προκειμένου τὸ καὶ τυχεῖν αὐτοῦ· ταῦτα γὰρ ποιούντων τὰ παρ' ἑαυτοῖς γίγνεται. ἐπὶ δὲ τῶν στοχαστικῶν τῷ μὴ πάντως τοῖς γινομένοις κατὰ τὴν τέχνην ἕπεσθαι τὸ

10. στοχαστικαὶ] Victorius, στοχαστικαὶ καὶ vulg. 14. εἰ] οὐ T. τὰ] del. 15. διαφέροιεν] add. ἂν. 17. τῷ τοῖς] τούτοις T. 22 αὐτῶν] scrib. αὐτὰς. 24. ἑαυτοῖς] scrib. αὐτὰς.

οὗ χάριν, διὰ τὸ δεῖσθαι πρὸς τὸ τυχεῖν ἐκείνου πολλῶν, ἃ μή ἐστιν ἐπὶ μόνῃ τῇ τέχνῃ, ἔτι δὲ καὶ αὐτὰ τὰ κατὰ τὴν τέχνην γινόμενα μὴ ὡρίσθαι, μηδὲ τῶν αὐτῶν εἶναι ποιητικὰ τῷ μὴ πάντῃ ὁμοίως ἔχουσι προσφέρεσθαι διὰ πάντα ἢ διά τινα καὶ ἄλλως ἐν αὐταῖς οὐχ ὡς προσεδοκᾶτο ἔσεσθαι, οὐ τὸ τυχεῖν τοῦ προκειμένου τέλος ἐστὶν, ἀλλὰ τὸ ἀποπληρῶσαι τὰ τῆς τέχνης. ἢ τέλος μὲν καὶ ταύταις τὸ τυχεῖν τούτου οὗ χάριν πάντα τὰ παρ' αὐτὰς ποιοῦσιν, διὰ τοῦ πάντα τὰ παρ' αὐτὰς ποιῆσαι, ἔργον δὲ ἴδιον αὐτῶν τὸ πάντα τὰ παρ' αὐτὰς πρὸς τὸ τυχεῖν τοῦ προκειμένου ποιῆσαι τῷ μὴ μόνον τοῦτο ἀρκεῖν πρὸς τὸ τοῦ προκειμένου τυχεῖν, ἀλλὰ δεῖν καὶ ἄλλων τινῶν, ἃ οὐκ ἔστιν ἐπὶ τῇ τέχνῃ;

Ὅτι οὐκ, εἴ ἐστιν τοῦ ὡς ὑπεκκαύματος πυρὸς ὃ καὶ στοιχεῖόν ἐστι, θερμότερόν τι ἄλλο πῦρ, διὰ ταύτην τὴν αἰτίαν μίξει τοῦ ἐναντίου τοιοῦτον ἐκεῖνο, ιζ'.

Οὐκ ἐπεὶ μᾶλλον θερμὸν τοῦ ὡς στοιχείου πυρὸς ὃ καὶ ὑπέκκαυμα λέγεται, ἡ ζέσις τοῦ πυρὸς, ὁποῖόν ἐστι καὶ τὸ παρ' ἡμῖν πῦρ, ἤδη ἐν ἐκείνῳ τὸ ἔλαττον θερμὸν μίξει τοῦ ἐναντίου. ἡ γοῦν φλὸξ ἔλαττον μὲν θερμὸν τοῦ πεπυρωμένου σιδήρου, ἀλλ' οὐ ψυχρότητος μίξει, ἀλλ' ἔστιν ἡ

5. ἢ διὰ] ἡ δὲ T. 10. αὐτὰς] αὐτοῦ T. 11. αὐτὰς] αὐτοῦ vulg.

ἐπίτασις ἐν τῷ σιδήρῳ παρὰ τὴν τῆς ὕλης στερεότητά τε καὶ ἀντιτυπίαν· τῷ γὰρ ἀντιβατικὴ εἶναι καὶ μὴ εἰκτὴ καὶ τὸ ἐν αὐτῇ θερμὸν τοιοῦτον παρέχεται. καὶ τὸ ὡς στοιχεῖον δὴ πῦρ τὴν φύσιν ὂν μανόν τε καὶ ξηρὸν καὶ ἄμικτον ὕλης χορηγίαν παρέχειν δυναμένης τοιούτῳ πυρὶ οὕτω θερμόν ἐστιν. ἀμέλει ταῦτα αὐτοῦ ἐξάπτεται ὅσα ἐν αὐτῷ πίλησίν τινα ἔχει καὶ πυκνότητα καὶ τῷ τοιούτῳ πυρὶ τροφήν. διὸ καὶ εὐλογώτερον ἄν τις λέγοι τὸ τοιοῦτο πῦρ μεμῖχθαι τῷ ἐναντίῳ· τροφῆς γὰρ τοῦτο δεῖται καὶ σώζεται ἕως ταύτην ἔχει, τροφὴ δὲ τὸ ἐναντίον τῷ ἐναντίῳ. ἔτι οὖν ἐπεὶ ὕλη τὸ τοιοῦτο πῦρ, ἔχοι ἄν τι καὶ τοῦ ἐναντίου αὐτῷ ὃ φέρον εἰς αὐτὸ μεταβάλλει. τὸ δὲ οὐκ ἐπιτροφὴ πῦρ, ἀλλ' εἰλικρινές τε καὶ καθαρὸν ἄμικτον τοῦ ἐναντίου, τὸ καθ' αὑτὸ ὑφεστὸς, ὡς καὶ τῶν ἄλλων στοιχείων ἕκαστον.

Περὶ τοῦ τὴν φύσιν ὑπάρχειν ἀρχὴν κινήσεως ιή.

Ὅτι μὲν ἡ φύσις ἀρχὴ κινήσεως, δῆλον ἐκ τοῦ τῆς κινήσεως ἀρχῇ διαφέρειν τὰ φυσικὰ τῶν μὴ φυσικῶν σωμάτων. ᾧ δὲ διαφέροντα τὰ φυσικὰ τῶν μὴ φυσικῶν φυσικά ἐστι, τοῦτο εἶναι τὴν φύσιν. ὅσα μὲν οὖν σώματα γενητά ἐστιν ὄντα φυσικὰ, τούτοις ἡ γένεσις ἐν ἀλλοτρίοις γίνεται τόποις, καὶ ἔστιν ἡ κίνησις αὐτοῖς συνεργοῦσα

15. ἐπιτροφὴ] fort. ἔστι τροφῇ.

πρὸς τὸ ἐν τῷ οἰκείῳ γενέσθαι τόπῳ ἐν ᾧ γενόμενα ἠρεμεῖ τε κατὰ τόπον καί ἐστι καθὸ ἐστι γινόμενα, ἐν τελειότητι· εἶχε γὰρ ἐν αὐτοῖς καὶ τὴν ἀρχὴν τῆς ἐπὶ τοῦτο κινήσεως. τοῖς δ' ἀγενήτοις τε καὶ τῇ ἑαυτῶν φύσει τελείοις σώμασιν καὶ οὖσιν ἐν τῷ κατὰ φύσιν αὐτοῖς τόπῳ, ἡ φύσις, τοῦτ' ἔστιν ἡ ἐν αὐτοῖς ἀρχὴ τῆς κινήσεως, οὐκ εἰς τὴν ἐξ ἀτελείας εἰς τελειότητα μεταβολὴν συντελεῖ, οὐδὲ εἰς τὸ ἐπὶ τὸν κατὰ φύσιν αὐτοῖς τόπον ἐνεχθῆναι· τελεία τε γάρ ἐστι καὶ οὐδέποτε ἐξίσταται τοῦ κατὰ φύσιν ἑαυτοῖς τόπου, ἀλλ' εἰς τὸ διὰ τῆς κατ' αὐτὸν ἐνεργείας ὁμοιοῦσθαι τῷ τῶν ὄντων ἀρίστῳ, τῇ ἀϊδίῳ τε καὶ συνεχεῖ καὶ ὁμαλῇ κινήσει μιμούμενα τό τε ἐνεργείᾳ δεῖν εἶναι αὐτοῦ καὶ τὸ ἀκίνητον καὶ τὴν στάσιν· διὰ μὲν τοῦ κινεῖσθαι τὸ ἐνεργείᾳ εἶναι αὐτοῦ· ἐνέργεια γάρ τις ἡ κίνησις, ἔδει γὰρ τὰ μιμούμενα τὸ ἁπλῶς ἐνεργείᾳ ὂν καὶ μηδαμῶς κοινωνοῦν δυνάμεως δι' ἐνεργείας τῆς κατὰ φύσιν αὐτοῖς τοῦτο ποιεῖν. διὰ δὲ τοῦ συνεχῶς [ἢ] καὶ τεταγμένως καὶ ὁμοίως ἀεὶ κινεῖσθαι τὴν ἀΐδιον αὐτοῦ μεμίμηται φύσιν. οὐδὲ γὰρ μὴ κινούμενον ἦν ἂν σῶμα φυσικὸν, ὅ κυριώτατον τῶν σωμάτων, οὔτε κινούμενον τοῦ στῆναί ποτε καὶ μὴ συνεχῶς κινεῖσθαι εὔλογον αἰτίαν ἔχει· οὔτε γὰρ παρὰ τοῦ τόπου, οὔτε παρὰ τοῦ κινεῖσθαι παρὰ

3. fort. γενόμενα ἐν τελειότητι] ἐν om. T. 11. scrib. αὐτοῖς. 14. δεῖν] fort. del., nisi ἀεὶ scripseris. 17. γὰρ ante τις om. T. 20. ἢ del.

φύσιν, οὔτε παρὰ τῆς διὰ τὸ θνητὸν ἀσθενείας. διὸ κινούμενα συνεχῶς κατὰ τὴν ἐν αὐτοῖς φύσιν διὰ τῆς ἐν τῇ κινήσει μονῆς τὴν ἐκείνου μιμεῖται στάσιν. ὅτι δ' οὐ τὸ κινεῖσθαι μόνον, ἀλλὰ καὶ τὸ συνεχῆ τε καὶ ἀΐδιον κινεῖσθαι κίνησιν κατὰ φύσιν αὐτοῖς, δείκνυσι καὶ τὸ σχῆμα ἔχειν αὐτὰ σφαιρικὸν, ἐπεὶ τὸ μὲν ἄριστόν τε καὶ τελειότατον τῶν σχημάτων τῷ ἀρίστῳ τῶν σωμάτων κατὰ φύσιν, τῷ δὲ τοιούτῳ σχήματι παρὰ φύσιν ἡ στάσις, διὸ οὐδὲ βάσιν ἔχει τινὰ καθ' ἣν στήσεται.

Ὅτι εἰ ὁ κόσμος ἀΐδιός ἐστι, τὸ δὲ κόσμῳ εἶναι αὐτῷ ἡ τάξις ἐστὶν, εἴη ἂν ἐν τῇ οἰ-ὀϳɜκὐσίᾳ αὐτοῦ καὶ τοῦτο. ιθ'.

Εἰ ὁ κόσμος ἀΐδιος τῇ ἑαυτοῦ φύσει, τὸ δὲ κόσμῳ εἶναί ἐστι τὸ ἐν τοιᾷδέ τινι τάξει εἶναι, εἴη ἂν καὶ τὴν τάξιν παρὰ τῆς ἑαυτοῦ φύσεως ἔχων. εἰ δὲ τοῦτο, οὔτε πρὸς τὸ εἶναι οὔτε πρὸς τὴν τάξιν ἣν ἔχει, δέοιτ' ἂν τοῦ προνοήσαντος. ἀλλὰ μὴν πᾶν τὸ προνοοῦν ἢ τοῦ εἶναι προνοούμενον προνοεῖται, ἢ τοῦ εὖ εἶναι· ὧν πρὸς μηδέτερον δεόμενος τοῦ προνοήσοντος ὁ κόσμος οὐδ' ἂν προνοοῖτο ὅλως. ἢ πᾶς μὲν ὁ κόσμος οὐ δεῖταί τινος προνοήσοντος, οὔτε πρὸς τὸ εἶναι, οὔτε πρὸς τὸ εὖ εἶναι, ἡ δὲ γινομένη πρόνοια ἐν τῷ κόσμῳ γίνεται μέρους μέν τινος ἐν τῷ

3. μονῆς] μόνης vulg. 11. εἰ om. vulg. 19. προνοούμενον προνοεῖται] scrib. τὸ προνοούμενον προνοεῖ.

κόσμῳ προνοοῦντος, μέρους δέ τινος προνοουμένου; ὅσον μὲν γὰρ αὐτοῦ σῶμα ἀγένητόν τε καὶ ἄφθαρτόν ἐστι, καὶ ἀεὶ κατὰ τὴν αὐτοῦ φύσιν τε καὶ ψυχὴν τεταγμένον, καὶ τὴν αὐτοῦ κίνησιν κινούμενον ἐφέσει μιμήσεως τοῦ πρώτου θεοῦ, τοῦτ' οὐδὲν δεῖται τοῦ προνοήσοντος, ἐν τῇ οἰκείᾳ φύσει τήν τε κατὰ τὸ εἶναι καὶ τὴν κατὰ τὸ εὖ εἶναι τελειότητα ἔχον. ὅσον δὲ αὐτοῦ γενητόν τε καὶ φθαρτὸν καὶ τῆς παρ' ἄλλου βοηθείας δεόμενον πρός τε τὸ εἶναι καὶ πρὸς τὴν διὰ τῆς εὐτάκτου μεταβολῆς κατ' εἶδος ἀϊδιότητα, τοῦτ' ἔστι τὸ προνοούμενον ὑπὸ τῆς τοῦ θείου μέρους τοῦ κόσμου κινήσεως εὐτάκτου καὶ ποιᾶς σχέσεως πρὸς αὐτοῦ κυβερνώμενον, ὑφ' ἧς ἐφ' ὅσον ἐνδέχεται, θνητόν τι ὂν μετέχον τάξεως καὶ παρ' ἐκείνων αὐτῆς τυγχάνον φυλάσσει δι' αὐτῆς τὴν κατ' εἶδος ἀφθαρσίαν.

Πῶς τὸ μεταβάλλον εἴς τι καθ' ἣν ἔχει δύναμιν, τηρεῖ τὴν δύναμιν καὶ μετὰ τὸ μεταβάλλειν, εἰς ὃ μετέβαλεν. κ'.

Πῶς τὸ μεταβάλλον εἴς τι τῷ δύναμιν ἔχειν πρὸ τοῦ μεταβάλλειν εἰς αὐτὸ τῆς εἰς αὐτὸ μεταβολῆς κινεῖται τηρεῖ τε τὴν δύναμιν τὴν τοῦ δύνασθαι ἐκεῖνο πᾶν ἐξ οὗ μετέβαλεν, καὶ γίνεσθαι πάλιν ἐκεῖνο;

6. θεοῦ] fort. θείου. 14. fort. ποιᾷ σχέσει πρὸς αὐτό. 16. καὶ om. T. fort. ἐκείνου. 22. κινεῖται τηρεῖ τε] malim τηρεῖ, sed si in sequenti γίνεται probum est, τε retinendum. 24. γίνεται T.

ὡς λέγει Ἀριστοτέλης ἐπὶ τοῦ κόσμου, εἰ γενητὸς εἴη· διὰ τοῦτο γάρ φησιν αὐτὸν καὶ φθαρήσεσθαι. οὐ γὰρ οὕτως ἔχοντα ὁρᾶται τὰ γινόμενα· οὔτε γὰρ τὸ βάθρον τὸ ἐκ τοῦ τοιοῦδε ξύλου γεγονὸς φυλάσσει τὴν δύναμιν ἔτι τοῦ τοιοῦτο γενέσθαι ξύλον, οὔτ᾽ εἰς ταὐτὸ ἡ μεταβολή τε καὶ φθορὰ, οὔθ᾽ ὁ ἔκ τινων κατὰ μεταβολὴν γινόμενος ἄνθρωπος πάλιν εἰς ἐκεῖνα φθείρεται, ἐξ ὧν ἡ γένεσις αὐτῷ, τόδε τὸ ἔμμηνον καὶ τόδε τὸ σπέρμα. ἢ τὰ μὲν κατὰ τὰς τέχνας γινόμενα οὐκ ἀνακάμπτει πάλιν ἐπὶ τὰς ὕλας, ὅτι μηδὲ ἦν τῆς τέχνης ἔργον ἡ ὕλη, ἐξ ἧς ἐποίει τὸ ἔργον, ἀλλὰ μηδ᾽ ἦν ἀντικειμένη τῷ ἔργῳ γινομένῳ, εἰς ὃ ἡ μεταβολὴ τῷ γινομένῳ; ἔχον δὲ τὸ ὑποκείμενον φυσικόν τε ὂν δύναμιν τοῦ δέξασθαί τε τοῦτο τὸ εἶδος καὶ μὴ, κἂν δέξηται φυλάσσον τὴν δύναμιν τὴν τοῦ χωρίζεσθαι τοῦ εἴδους ὃ ἐδέξατο, χωρίζεταί τε αὐτοῦ καὶ φθείρεται, καὶ γίνεται αὐτῷ ἡ φθορὰ, ὥσπερ οὖν καὶ ἡ γένεσις, ὑπὸ ἔξωθέν τινος ἤ τινος τοιούτου, εἰ ὡς τεχνικὸν φθείροιτο, ἢ ὑπὸ φύσεως, εἰ τῇ τοῦ ὑποκειμένου σώματος φυσικῇ φθορᾷ συμφθείροιτο καὶ τὸ τῆς τέχνης ἔργον. ἐπὶ δὲ τῆς τῶν φύσει γινομένων, ὥσπερ οὖν τὸ γινόμενον, οὕτω καὶ τὸ ὑποκείμενον φύσει, καί ἐστι πρῶτον μὲν ὑποκείμενον ἡ ὕλη, ἥτις οὐδέποτέ

1. Ἀριστοτέλης] de coelo I, 10. 6. οὔτ᾽] fort. οὐ γάρ. 15. τε] fort. del. 16. τε] γε vulg. καὶ μὴ κἂν] κἂν μὴ Bagolinus. 21. εἰ] ἢ vulg. om. Bagolinus. 22. εἰ] ἢ vulg. 24. τῆς del

ἐστιν ἐνεργείᾳ καθ' αὑτήν, ἐνεργείᾳ δὲ ὑποκείμενα τὰ στοιχεῖα, ἃ ἤδη μετά τινος ποιότητός τε ὄντα καὶ ἐναντιώσεως εἰς ἄλληλα μεταβάλλει κατὰ τὰς ἐναντιώσεις, ἃς ἔχει πρὸς ἄλληλα, τῆς ὑποκειμένης αὐτοῖς ὕλης κοινῆς τε οὔσης ἁπάσης καὶ ἀλλοιούσης τὸ εἶδος κατὰ τὴν ἐπικρατοῦσαν τῆς ποιότητος ἐναντίωσιν. τῷ γὰρ τόδε τι γεγονέναι, ἔχειν δὲ δύναμιν καὶ τοῦ ἐν τῷ ἐναντίῳ τοῦδε εἶναι φυλάττουσα τὴν δύναμιν μεταβάλλει ποτὲ καὶ εἰς ἐκεῖνο, διὸ οὐδὲν ἄφθαρτον τῶν ἁπλῶν τε καὶ γενητῶν σωμάτων. γίνεται δὲ ἐκ τῶν ἁπλῶν τούτων σωμάτων καὶ τὰ σύνθετα κατὰ μίξιν τινὰ καὶ κρᾶσιν καὶ συμμετρίαν τῶν δυνάμεων, καθ' ἣν οὐκ εἰς ἕν τι τῶν ἁπλῶν μεταβολὴ γίνεται, ἀλλ' εἴς τι μεταξὺ μετέχον ἁπασῶν τῶν ποιοτήτων τε καὶ δυνάμεων τῶν ἐν τοῖς ἁπλοῖς σώμασιν ὑποκειμένων, ἔχοντα δὲ δύναμιν καὶ τοῦ χωρίζεσθαι πάλιν ἀπ' ἀλλήλων τὰ σώματα ἁπλᾶ ἐκ τῆς τοιαύτης μίξεως ἀναλύεταί τε καὶ χωρίζεται. διὸ οὐχ οἷόν τέ τι τῶν ἐξ αὐτῶν συγκειμένων ἄφθαρτον εἶναι. γίνεται δὲ καὶ ἡ τῶν ζώων γένεσις κατὰ συμμετρίαν τινῶν σωμάτων ἤδη μεμιγμένων αὐτῶν. οὐ γὰρ ἁπλοῦν σῶμα τὸ ἔμμηνον, καθ' ἣν συμμετρίαν ἔμψυχά τε γίνεται καὶ ἡνωμένα, καὶ τάςδε τινὰς τὰς δυνάμεις ἔχοντα ἧς [ἣ] συμμετρίας λυομένης τῷ τὰ ἐξ ὧν ἐγένετο μεταβάλλοντα μὴ

8. τοῦ] τῷ T. 24. ἐμμένον T. 26. ἣ del.

τηρεῖν τὰς δυνάμεις, καθ' ἃς ἡ συμμετρία, ἀνάλυσίς τε καὶ διάλυσις αὐτῶν γίνεται οὐκ εἰς τὰ μηκέτ' ἂν αὐτοῖς σωζόμενα, οἷον καὶ τὸ ἔμμηνον. τοῦτο μὲν γὰρ ἦν καὶ αὐτὸ σύνθετον, ἥτις σύνθεσις μετὰ τὴν πρώτην μίξιν τε καὶ ἁρμονίαν τῶν ἐξ ὧν ἡ σύνθεσις τῷ ζώῳ σωμάτων. μεταβάλλοντα δ' ἐξ ὧν ταῦτα τὰ σώματα, ταῦτα δ' ἦν τὰ στοιχεῖα σωζόμενα, λύεταί τε ἀπ' ἀλλήλων ἀσυμμετρίας τινὸς ἐν αὐτοῖς γινομένης τῷ πλεονεκτήσαντι ἐξ αὐτῶν (οὐ γὰρ δύναμιν ἔχει, ὥστ' ἐπ' ἄπειρον τὴν τοιαύτην συμμετρίαν φυλάσσειν), καὶ ἔστιν ἥ τε τῶν ζώων καὶ τῶν ἄλλων τῶν συνθέτων σωμάτων φθορὰ γινομένη εἰς τὴν τῶν στοιχείων ἀνάλυσιν, ἐξ ὧν κατὰ συμμετρίαν τινὰ τὴν πρὸς ἄλληλα τῶν στοιχείων ἡ γένεσίς τε αὐτῶν καὶ ἡ σύστασις. καὶ ὁ κόσμος δὲ εἰ ἔκ τινων σωμάτων ἐνεργείᾳ ὄντων κατὰ μεταβολήν τινα γέγονεν, δῆλον ὅτι τὰ σώματα ἐκεῖνα σώζεται ἐν αὐτῷ, ᾧ κατὰ μεταβολὴν ἡ γένεσις αὐτῶν, σωζόμενα δὲ καὶ δυνάμενα κἀκείνως ἔχειν, ὡς ἔχοντα μεταβάλλει εἰς τὸ κόσμος εἶναι, πάλιν ἂν μεταβάλλοι, εἰς ὃν μεταβάλλοντα οὐκ ἔτ' ἂν ὁ κόσμος εἴη, ὥσπερ ὁρῶμεν μεταβάλλοντα τά τε ἁπλᾶ σώματα εἰς ἄλληλα πρῶτα τῷ τὴν ὑποκειμένην αὐτοῖς ὕλην εἶναι δεκτικὴν τῶν εἰδοποιούντων τὰ πρῶτα σώματα, καὶ τὰ σύνθετα,

1. ἡ] ἢ vulg. 3. ἂν] fort. ἐν. 10. ἔχειν vulg. 16. εἰ ἐκ] ἐκ V. τῶν εἰ T. 18. γέγονεν] γίνεσθαι ἢ γεγονέναι T. 21. μεταβάλλειν vulg. 22. ὃν] τὰ T.

ὅταν ἢ διὰ τὴν φύσιν ἢ διά τινα ἔξωθεν περίστασιν ἐπικρατήσῃ τι ἐν αὐτοῖς, ὃ λύει τὴν συμμετρίαν αὐτῶν πρὸς ἄλληλα, καθ' ἣν τὸ εἶναι τῷ συνθέτῳ σώματι.

Ὅτι μὴ κατὰ συμβεβηκὸς ἡ πρόνοια κατὰ Ἀριστοτέλην. κά.

Πρώην ἡμῖν γινομένων πρὸς τοὺς ἑταίρους περὶ προνοίας λόγων, καὶ πειρωμένου μου δεικνύναι, ὅτι τέ ἐστι κατὰ Ἀριστοτέλη ἀπὸ τῶν θείων τῶν θνητῶν ἐπιμέλειά τις καὶ πρόνοια καὶ τίς καὶ τίνα γινομένη τὸν τρόπον ὄντος ἑτοίμου λέγειν, εἶπέν τις τῶν παρόντων πρῶτον ἄξιον εἶναι μαθεῖν, πῶς ἀποκρίνασθαι δεῖ πρὸς τοὺς ἐρωτῶντας, πότερα χρὴ προηγουμένως λέγειν τὰ θεῖα τῶνδε προνοεῖσθαι καθ' ἡμᾶς, ἢ κατὰ συμβεβηκός. οἱ γὰρ οὐ φάσκοντες εἶναι κατὰ Ἀριστοτέλη πρόνοιαν τὴν ὑφ' ἡμῶν λεγομένην γίνεσθαι πρόνοιαν κατὰ συμβεβηκός φασι γίνεσθαι λέγεσθαι. εἰ δὲ ἐν πᾶσιν οἷς προστίθεται τὸ κατὰ συμβεβηκὸς, τοῦ μὴ κυρίως εἶναι τούτοις ἃ λέγεται σημεῖόν ἐστι, τὸ δὲ μὴ κυρίως ὂν οὐδ' ὄν πως, οὐδ' ἂν ἡ κατὰ συμβεβηκὸς λεγομένη πρόνοια εἴη πρόνοια μετὰ τοιαύτης προσθήκης λεγομένη· κατὰ συμβεβηκός τε γὰρ κε-

7. fort. γενομένων. 9. scrib. Ἀριστοτέλην, item v. 17, et sic ubique. 15. προνοεῖσθαι] fort. προνοεῖν τῶν. 18. γίνεσθαι καὶ λέγεσθαι Bagolinus.

κινῆσθαι λέγεται τὰ μὴ κινούμενα κυρίως τε καὶ καθ' αὑτὰ, καὶ κατὰ συμβεβηκὸς αἴτια μὲν ταῦτα, ἀφ' ὧν μηδεμία συντέλεια προηγουμένως πρὸς τὰ ὧν αἴτια εἶναι λέγεται. εἰ δὴ καὶ τὴν πρόνοιαν μετὰ ταύτης γίνεσθαι τῆς προσθήκης λέγομεν, ἴσως ἐξ ὧν λέγομεν αὐτοὶ περὶ προνοίας, ἀναιροῖμεν ἂν τὸ εἶναι τὴν πρόνοιαν. ὡς γὰρ τὴν κίβδηλον δραχμὴν οὐχ οἷόν τε δραχμὴν εἶναι λέγειν τῷ ἀναιρετικὸν αὐτῆς εἶναι τὸ προκείμενον, οὕτως οὐδὲ τὴν κατὰ συμβεβηκὸς πρόνοιαν οἷόν τε λέγειν πρόνοιαν τῷ τὸ κατὰ συμβεβηκὸς ἐν πᾶσιν ἐπὶ ἀναιρέσει τοῦ ᾧ συντίθεται, προστίθεσθαι.

Καὶ ἐγὼ πρὸς αὐτὸν, τί δὲ, ἀναγκαῖον εἶναί σοι δοκεῖ τὴν πρόνοιαν θατέρῳ τούτων προσγενέσθαι, καὶ δεῖν τὸν ἀποκρινόμενον πρὸς τὸν οὕτως ἐρωτῶντα ἢ προηγουμένως καὶ καθ' αὑτὸ γίνεσθαι λέγειν αὐτὴν ἢ κατὰ συμβεβηκός;

Καὶ ὅς, τί γὰρ ἄν τις λέγων ἄλλο παρὰ ταῦτα δόξειεν κατὰ λόγον ποιεῖσθαι τὴν ἀπόκρισιν;

Δῆλον, εἶπον, ὡς εἰ μὲν μηδὲν φαίνοιτο δυνάμενον εἶναι μεταξὺ τοῦ καθ' αὑτὸ καὶ τοῦ κατὰ συμβεβηκὸς, ἀνάγκη τὸν ἀποκρινόμενον ὑγιῶς πρὸς τὴν ἐρώτησιν ἐν θατέρῳ τὴν πρόνοιαν τίθεσθαι· εἰ δ' ἔστι τι δυνάμενον εἶναι τούτων μεταξὺ, φανερὸν ὡς ὁ τοῦτο δείξας εἴη ἂν δεικνὺς τὴν ἐρώτησιν οὐκ ἀναγκαίαν τῷ μὴ πάντας

10. τὴν κατὰ] τὸ κατὰ vulg. 19. τί] τίς vulg.

τοὺς δυναμένους λέγεσθαι τρόπους τῆς προνοίας περιειληφέναι.

Καὶ παντοῖον, εἶπεν, εἴη τοιοῦτον, ὃ τῷ παραλελεῖφθαι παραλύει τὸ τῆς ἀποκρίσεως ἀναγκαῖον.

Κἀγὼ, δοκῶ μοι τοῦτο γνώριμον ἔσεσθαι, εἴτε τοῦτον ἔχει τὸν τρόπον εἴτε καὶ μὴ, εἰ πρῶτον ὑπομνήσαιμεν ἑαυτοὺς, τίνος ποτὲ ἐκείνων ἑκάτερον εἶναι μηνυτικὸν, λέγω δὲ τό τε καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός. τοῦ δ' ὀρθῶς με φήσαντος λέγειν ἐπειρώμην τὸ σημαινόμενον ὑφ' ἑκατέρου τῶν ἐν τῇ ἐρωτήσει κειμένων ἐκτίθεσθαι, λέγων καθ' αὑτὸ μὲν προνοεῖν τινος λέγεσθαι τοῦτον, ὃς ποιησάμενος σκοπὸν τὴν ὠφέλειαν τοῦ προκειμένου ἐνεργεῖ τε καὶ πράττει ταύτης χάριν τὰ δι' ὧν οἴεται τοῦ προκειμένου τεύξεσθαι σκοποῦ, τέλος ποιούμενος τῶν ἐνεργειῶν τὴν ὠφέλειαν τοῦ προνοουμένου· κατὰ συμβεβηκὸς δὲ προνοεῖν λέγεταί τί τινος, ὅταν μηδὲν τοῦ προνοεῖν οὕτω λεγομένου πράττοντος ὑπὲρ ὠφελείας τοῦ προνοουμένου ἔκ τινων ὑπ' ἐκείνου γινομένων ὠφελεῖσθαί τι συμβαίνῃ, μηδὲ τὴν ἀρχὴν γνωρίζοντος τὸ συμβαῖνον τοῦ τοῦτον προνοοῦντος τὸν τρόπον. Θησαυρόν τε γὰρ εὑρηκέναι δοκεῖ κατὰ συμβεβηκὸς ὁ πρώτως ἄλλου τινὸς ὀρύσσων χάριν, μηδὲ εὑρήσειν προσδοκῶν· καὶ ὑπὸ κεραυνοῦ τινος ἀπόλωλε κατὰ συμβεβηκὸς τῷ τὸν κεραυνὸν μήτε

3. παντοῖον] fort. τί ἂν vel πάντῃ, εἶπεν, εἰ εἴη. 9. με] μὲν vulg. 18. λέγεται] fort. λέγεσθαι. 25. ὀρύσσων] ὀρύσσειν vulg.

τούτου χάριν ἐνεχθῆναι, μήτε τούτου τὸ ἔσεσθαι ἔννοιάν τινα γεγονέναι τῷ τοῦ κεραυνοῦ ποιητῇ εἴτε καὶ δημιουργῷ· ἡ γὰρ γνῶσίς τινος τῶν ἑπομένων τοῖς γινομένοις ἄλλου χάριν παραλύει τὸ γίνεσθαι κατὰ συμβεβηκὸς αὐτῷ τῷ κατὰ συμβεβηκὸς μὲν εἶναι τὸ παρὰ λόγον γίνεσθαι δοκοῦν, τὴν δὲ πρόγνωσιν τῶν κατὰ λόγον γινομένων. σημεῖον εἶναι δοκεῖ· ἢ γὰρ οὐκ ἐπὶ τούτων καὶ τῶν οὕτω γινομένων κατηγοροῦμεν τὸ συμβεβηκός;

Κἀκεῖνος οὐκ ἐπ᾽ ἄλλων μέν· τὴν γοῦν τύχην κατὰ συμβεβηκὸς αἰτίαν λέγοντες εἶναι ἐπ᾽ ἔλαττον αὐτὴν ὁρίζομεν τοῦ σπανίως γίνεσθαι οὐ τῷ ἀπροαιρέτῳ.

Ἀλλὰ μὴν, ἔφην ἐγὼ, τοιαύτης οὔσης τῆς τε καθ᾽ αὑτὸ καὶ τῆς κατὰ συμβεβηκὸς προνοίας οὐκ ἔτ᾽ οἶμαί σε δεήσεσθαι πολλῶν λόγων πρὸς τὸ μὴ ἡγεῖσθαι ἱκανῶς ἔχειν τὴν ἐρώτησιν τὴν ἀξιοῦσαν τὴν πρόνοιαν εἴς τε τὴν καθ᾽ αὑτὸ καὶ τὴν κατὰ συμβεβηκὸς διαίρεσιν μόνας.

Ὀρθῶς λέγεις, εἶπεν· εἰ γάρ τις γνωρίζει τὴν γινομένην ὠφέλειαν εἴς τινα ἐκ τῶν ὑφ᾽ αὑτοῦ γινομένων ἄλλου χάριν, δῆλον ἐκ τῶν προειρημένων ὅτι μήτε καθ᾽ αὑτὸ μήτε κατὰ συμβεβηκὸς οὗτος προνοεῖ τοῦ τοῦτον τὸν τρόπον ὑπό τινος τῶν ὑφ᾽ αὑτοῦ γινομένων ὠφελουμένου.

1. τούτου τὸ] τούτου τὶ τὸ V. fort. τοῦτο. 14. ἀπροαιρέτῳ] ἀπροοράτῳ T. conf. Alex. περὶ ψυχῆς fol. 160 b. — in paucioribus ipsam definimus ipsius fieri raro a non providente. Bagolinus.

Τί δὲ, εἶπον ἐγὼ, εἰ πρὸς τῷ γνωρίζειν τὴν ὠφέλειαν τὴν γινομένην εἴς τινα καὶ κατὰ τὴν ἑαυτοῦ βούλησιν γίνοιτο, οὐ πολὺ πλεῖον ἔτι τὴν οὕτω γινομένην πρόνοιαν ἐρεῖς ἀφεστάναι τῆς κατὰ συμβεβηκός;

Καὶ ὅς, πάνυ μὲν οὖν. σχεδὸν γὰρ ἡ τοῦτον γινομένη τὸν τρόπον καθ' αὐτὸ, ὃν τὸ καθ' αὐτὸ προνοεῖν τινος [ἢ] τὸ ἕνεκα τοῦ προνοουμένου πάντα ποιεῖν, κατὰ συμβεβηκὸς δὲ τὸ ἕνεκα μὲν ἄλλου τινὸς ποιεῖν, οὐ γνωρίζον δὲ τὴν εἰς τοῦτο δι' ἐκείνου γινομένην ὠφέλειαν, οὐδὲ βουλόμενον· τὸ δὲ μὴ ἕνεκα μὲν τούτου ποιοῦν, γνωρίζον δὲ καὶ βουλόμενον ὠφελεῖσθαι, τοῦτο προνοοῖ μὲν ἂν τούτου, οὔτε δὲ καθ' αὐτὸ οὔτε κατὰ συμβεβηκὸς, καὶ εἰ ὠφελοῖ μὲν τοῦτο, ἐφ' ἑαυτὸ δὲ τὴν ἀναφορὰν ποιοῖτο τῆς ὠφελείας, οὐδὲ τοῦτο καθ' αὐτὸ οὐδὲ κατὰ συμβεβηκὸς προνοεῖ· καὶ εἴ τι τῶν μὲν καθόλου καθ' αὐτὸ, τῶν δ' ἐν μέρει κατὰ συμβεβηκὸς, οὐδὲ τοῦτο ἁπλῶς οὐδὲ καθ' αὐτὸ οὐδὲ κατὰ συμβεβηκὸς τῶν καθ' ἕκαστα προνοεῖ, οὐ καθ' αὐτὸ μὲν, ὅτι οὐ τούτων ἕνεκα, οὐ κατὰ συμβεβηκὸς δὲ, ὅτι οὐχ ἕτερον τὸ καθόλου τῶν κατὰ μέρος· ἐν γὰρ τούτοις αὐτῷ τὸ εἶναι ἀποδεῖν τοῦ γίγνεσθαι καθ' αὐτὴν προηγουμένως.

Τί δ' ἂν, εἶπον, λέγοις περὶ τοῦ προνοοῦντος μέν τινων, ἐφ' ἑαυτὸν μέντοι τὴν ἀπὸ τῶν προ-

7. καθ' αὐτὸ om. T. ὃν τὸ] ὄντα vulg. 8. ἢ del. 17. καθ' αὐτὸ οὐδὲ] fort. οὔτε καθ' αὐτὸ οὔτε. 20. fort. οὔτε καθ' αὐτὸ οὔτε. 25. αὐτὴν] fort. αὐτὸ καί.

νοουμένων ὠφέλειαν ἀναφέροντος; ὃν τρόπον ὁρῶμεν τούς τε ποιμένας τῶν προβάτων προνοουμένους, καὶ τοὺς βουκόλους τῶν βοῶν, καὶ τῶν αἰγῶν τοὺς αἰπόλους, ὁμοίως δὲ καὶ τοὺς ἱππονόμους καὶ τοὺς συβώτας τῶν νεμομένων τε καὶ βοσκομένων ὑπ' αὐτῶν.

Ἀλλ', οὗτος οὔτι γε ἔφη, καὶ πᾶσά γε ἡ τοῦτον τὸν τρόπον γινομένη πρόνοια ὀλίγον τι διαφέρει τῆς γινομένης προηγουμένως τε καὶ καθ' αὑτήν· τῶν γὰρ ἄλλων γινομένων ὁμοίως ὁ σκοπὸς μετατιθέμενος μόνος τῆς τοιαύτης προνοίας ὁ πρὸς τὴν καθ' αὑτὸ ποιεῖ τὴν διαφοράν.

Τί δ' οὐχὶ καὶ ὁ λέγων, ἔφην, τῶν μὲν καθ' αὑτὸ γίνεσθαι τὴν πρόνοιαν, τῶν δὲ κατὰ συμβεβηκὸς, καθ' αὑτὸ μὲν τῶν καθόλου, κατὰ συμβεβηκὸς δὲ τῶν ὑπ' αὐτὰ, ἄλλον τινὰ τρόπον προνοίας λέγει παρὰ τοὺς ῥηθέντας ἐξ ἀρχῆς;

Πῶς γὰρ εἶπεν οὐκ ἄλλον, εἴ γε τὸ κοινὸν ἄλλο μὲν ἑκάστου τῶν ὑφ' ἑαυτὸ, ἐν τούτοις μέντοι τὸ ἕν τι εἶναι ἔχον, καὶ διὰ τοῦτο κοινωνοῦν πως αὐτοῖς τῶν εἰς αὐτὸ γινομένων προηγουμένως;

Κἀγὼ πρὸς αὐτὸν, δῆλον τοίνυν, εἶπον, ἐκ τῶν ὡμολογημένων, ὅτι καθ' ὃν ἂν τις τῶν ὕστερον ῥηθέντων τρόπων τὴν πρόνοιαν γίνεσθαι

2. προνοουμένους] fort. προνοοῦντας. 7. οὗτος οὔτι] οὗτος T, fort. οὗτος ἔφη vel οὗτοι οὔτι. 13. ἔφην] ἔφη ἔφην T. τῶν μὲν . . τῶν δὲ] τῷ μὲν . . τῷ δὲ vulg. 20. μέντοι] μὲν T.

λέγῃ, οὔτε προηγουμένως οὔτε κατὰ συμβεβηκὸς ἂν αὐτὴν γίνεσθαι λέγοι.

Δῆλον γὰρ οὖν εἶπεν.

Ἀλλὰ μὴν, ἔφην, τούτου δήλου γεγονότος δῆλον, ὡς οὔτε ἡ πρώτη εἰς ἣν ἔφην ἐρωτᾶν τινας, ἀποκρίσεως ἀξία, οὔθ' ὁ κατά τινα τούτων τῶν τρόπων τὴν πρόνοιαν γίνεσθαι λέγων ἀναιρεῖ τὴν πρόνοιαν, ὡς δοκεῖ ποιεῖν ὁ κατὰ συμβεβηκὸς αὐτὴν γίνεσθαι λέγων. τὸ γὰρ ἀφεμένους τούτων τινὶ τῶν τρόπων ἀνατιθέναι τὴν ἐκ τῶν θείων τῶν ἐν γενέσει τε καὶ θνητῶν πρόνοιαν τοὺς θεοὺς λέγειν διὰ τὴν τῶν θνητῶν σωτηρίαν τὰς οἰκείας ἐνεργείας ἐνεργεῖν παντελῶς ἀλλότριον θεῶν. παραπλήσιον γὰρ τοῦτο τῷ λέγοντι τοὺς ἐλευθέρους καὶ τοὺς δεσπότας τῶν οἰκετῶν εἶναι χάριν καὶ τὰς οἰκείας ἐνεργείας ἕνεκα τῆς ἐκείνων σωτηρίας τε καὶ τάξεως ἐνεργεῖν, εἴπερ δεσπόται τῶν ἄλλων πάντων οἱ θεοί. εἰ γὰρ ἐν πᾶσιν τιμιώτερον τοῦ ἄλλου χάριν ὄντος τὸ οὗ χάριν ἔστιν τι, εἴ γε τιμιώτερον τὸ τέλος τῶν πρὸ αὐτοῦ, ἔσται κατὰ τοὺς οὕτω λέγοντας ὁ μὲν οἰκέτης τε καὶ δοῦλος τιμιώτερος τοῦ δεσπότου, τῶν δὲ θείων τὰ θνητά. καίτοι γε ἐπὶ μὲν τῶν δούλων καὶ τῶν δεσποτῶν ἔστιν εἰπεῖν ἀντίδοσιν αὐτοῖς τινα γίγνεσθαι παρ' ἀλλήλων διὰ τῶν ἐνεργειῶν ἃς ἐνεργοῦσιν· τὰς μὲν γὰρ τῶν δεσποτῶν ἐνεργείας τῆς σωτηρίας

5. εἰς] πρότασις Bagolinus, fort. ἐρώτησις. 7. λέγω vulg. 14. θεῶν] θεῷ vulg.

τῶν δούλων γίνεσθαι χάριν, συντελεῖν δὲ πάλιν εἰς τὴν τῶν δεσποτῶν σωτηρίαν. ἐν γὰρ τῇ τῶν δούλων ἐνεργείᾳ τὴν τῶν δεσποτῶν σωτηρίαν κεῖσθαι, ὥς εἶναι ἑκάτερόν πως ἑκατέρου τέλος, τὸ δὲ τὴν τῶν θεῶν σωτηρίαν δεῖσθαι λέγειν τῆς τῶν θνητῶν ἐνεργείας ἄτοπον ἂν εἶναι δόξειε παντάπασιν.

Πῶς γὰρ οὔ;

Ἄτοπον δὲ τούτῳ παραπλησίως καὶ τὸ τέλος καὶ τἀγαθὸν τῶν θεῶν εἶναι λέγειν ἐν τῇ τῶν θνητῶν τάξει τε καὶ προνοίᾳ, καὶ ταῦθ' ὁρῶντας πολλὰ τῶν ἐν τοῖσδε γενομένων οὐκ ἄξια τῆς οἰκείας τάξεως. ἀλλ' εἰ τὰς οἰκείας τὸ θεῖον ἐνεργήσει ἐνεργείας τῆς τῶν θνητῶν σωτηρίας, οὐχ αὑτοῦ χάριν, παντάπασιν ἂν δόξειε τῶν θνητῶν εἶναι χάριν. ποιήσει δὲ τούτου χάριν κατὰ τοὺς ἐν τῷ προνοεῖν τὴν οὐσίαν αὐτοῦ τιθεμένους. τί γὰρ ἄλλο τὸ θεῖον ἔσται κατὰ τὸν οὕτω γράφοντα, ἐπεὶ τί τὸ καταλειπόμενον ἢ τῆς χιόνος, ἂν ἀφέλῃ τὸ λευκὸν καὶ ψυχρόν; τί δὲ πυρὸς, ἂν τὸ θερμὸν σβέσῃς, μέλιτος δὲ τὸ γλυκὺ καὶ ψυχῆς τὸ κινεῖσθαι καὶ τοῦ θεοῦ τὸ προνοεῖν; εἰ γὰρ ἐν τῷ προνοεῖν τὸ εἶναι θεῷ κατὰ τὸν

8. οὐ ;] οὐκ vulg. possis et οὐκ ἄτοπον; ἄτοπον. 12. γενομένοις vulg. 15. οὐκ αὐτοῦ vulg. δόξει vulg. 16. τούτου] fort. τούτων. 19. οὕτω om. T. 20. ἢ τῆς] ἤ τις T. εἴ τις V., sed melius absunt. ἂν ἀφέλῃ] ἀναφέληται vulg.

οὕτω λέγοντά τε καὶ γράφοντα, πᾶν δὲ τὸ προνοοῦν προνοεῖ τινός, καί ἐστι προνοεῖν τὸ τὰς οἰκείας ἐνεργείας ἐνεργεῖν χάριν τοῦ προνοουμένου, πᾶσα ἂν ἀνάγκη γένοιτο ἡ ὡς θεοῦ ἐνέργεια τῷ θεῷ χάριν τῶν προνοουμένων εἶναι, ἢ πῶς σοι δοκεῖ;

Καὶ ὅς, τί γὰρ ἄλλο λέγει ὁ τὴν οὐσίαν τῶν θεῶν ἐν τῷ προνοεῖν τιθέμενος οὕτως, ὡς ἐν τῷ θερμῷ τὴν τοῦ πυρός;

Τί οὖν, ἔφην, οὐκ ἐν πᾶσιν ἀτελέστερα τὰ πρὸς τὸ τέλος συντελοῦντα τοῦ τέλους αὐτοῦ;

Πῶς γάρ, εἶπεν, ἄλλως.

Τί δ', οὐχὶ καὶ πᾶν τὸ τὰς οἰκείας αὐτῷ καὶ κατὰ φύσιν ἐνεργείας ἄλλου χάριν ἐνεργοῦν ἐκείνου χάριν ἀναγκαῖον εἶναι λέγειν, ἄλλως τε καὶ ἂν ἐν τῇ οὐσίᾳ αὐτοῦ τὸ τοιοῦτον ᾖ;

Πάνυ μὲν οὖν.

Ἀλλὰ μὴν τὸ τέλος ἄλλο τι πρόκειται, οὗ ποιεῖ χάριν ὃ ποιεῖ, καὶ ὃ ἐν τῇ οἰκείᾳ οὐσίᾳ ἔχει τὸ εἶναι ἄλλου χάριν, τοῦτ' ἀναγκαῖον ἀτελές τε εἶναι καὶ δεύτερον τιμῇ τούτου, οὗ χάριν ἐστίν.

Οὕτως ἔφη.

Ἀναγκαῖον οὖν ἄρα τοῖς τοιαύτην εἶναι τὴν ἐκ τῶν θείων πρόνοιαν τῶν θνητῶν λέγουσιν ἀτελέστερον θεῖον τῶν θνητῶν λέγουσι καὶ ὂν

4. ἡ . . ἐνέργεια] nonne τὴν . . ἐνέργειαν? an ἀνάγκη del.? 7. λέγει] λέγοι vulg. τοῦ θεοῦ Bagolinus. 8. οὕτως] ὅπως vulg. 13. αὐτῷ] αὐτῶν vulg. 16. τὸ] fort. ᾧ τὸ. 21. τιμῇ] τι μὴ vulg.

τούτων χάριν, οὗ τί γένοιτ' ἂν ἀσεβέστερον ἢ ἀλλοτριώτερον τῆς τῶν θεῶν οὐσίας τε καὶ προλήψεως.

Καὶ ὅς, ἀληθῆ μὲν λέγεις, εἶπεν, καὶ ἀνάγκη ταῦτά τε ἕπεσθαι τοῖς τοιαύτην καὶ οὕτω γίνεσθαι τὴν πρόνοιαν λέγουσιν καὶ ἄλλα τούτοις παραπλήσια. πολλὰ γὰρ τὴν ἀρχὴν οὐδὲ γνώσεως ἄξια εἶναι δόξει τῶν ἐνταῦθα γινομένων, μήτε ὑπὸ τῆς ἐκείνων γίνεσθαι προνοίας. ἄτοπον δ' ἂν ἕποιτο τοῖς ἀνατιθεῖσι μὲν πάντα τῇ προνοίᾳ, λέγουσι δὲ καὶ μόνον τὸ καλὸν ἀγαθὸν, καὶ τοῦτ' ἐφ' ἡμῖν εἶναι τιθεμένοις, τινὸς ἀγαθοῦ τοῖς ἀνθρώποις κατ' αὐτοὺς οὐχ οἷόν τε γίνεσθαι τὴν θείαν πρόνοιαν, ἐν ᾗ τὸ εἶναι τοῖς θεοῖς φασιν εἶναι. διὸ τὸν μὲν περὶ τούτων λόγον ὑπερθώμεθα εἰς σχολὴν μακροτέραν, ὁ δέ γε νῦν ἡμῖν προκαταβεβλημένος λόγος ἀπαιτεῖν μοι δοκεῖ, τίνα τρόπον οὖν χρὴ γίνεσθαι λέγειν κατὰ Ἀριστοτέλη τὴν πρόνοιαν, ἐπεὶ μήτε καθ' αὑτὴν μήτε κατὰ συμβεβηκὸς αὐτήν φαμεν γίνεσθαι λέγειν, εἰσὶ δέ τινες παρὰ τούτους τρόποι προνοίας εὑρημένοι πλείους, ὧν τίνα φαμὲν οἰκεῖον εἶναι τῶν θεῶν ἀπαιτήσαι τις ἄν.

Κἀγὼ πρὸς αὐτὸν, τί δὲ, οὐ τὸ προκείμενον ἦν ἡμῖν δεῖξαι τὴν ἠρωτημένην ἐρώτησιν ὑπὸ τῶν προηγουμένως λεγόντων τὰ θεῖα προνοεῖν

7. οὐδὲ . . μήτε] fort. οὔτε . . οὔτε. 14. τε] τῷ T. 26. δέξαι vulg.

τῶν ἐν γενέσει καὶ φθορᾷ ἢ κενήν γε οὖσαν καὶ μηδὲ τὴν ἀρχὴν ἀποκρίσεως ἀξίαν, εἴ γε πλειόνων ὄντων τρόπων, καθ' οὓς οἷόν τε τὴν πρόνοιαν εἶναι λέγειν γίνεσθαι, ἥδε περὶ δύο μόνων ἐγίνετο, ὧν ἐδείχθη κατ' οὐδέτερον οἷόν τε γίνεσθαι τὴν ἐκ θεῶν ἐπιζητουμένην πρόνοιαν.

Ἦν μὲν, ἔφη, τοῦτο, ἀλλ' ἐπεὶ ἱκανῶς παρέστησας, ὃν προεθέμην, πρὸς ἐκείνους λόγος ἐστί σοι πεπληρωμένος, ἡμῶν δὲ χάριν ἄξιόν σε τὰ τοῖς δεδειγμένοις ἀκόλουθα προσθεῖναι. εἰ γὰρ φαίνοιτο κατὰ τὴν ὑπ' Ἀριστοτέλους λεγομένην πρόνοιαν ἀναιρούμενα ταῦτα, ἃ ταῖς προειρημέναις δόξαις ἕπεσθαι δέδεικται, εἴη ἂν οὐ μικρὸν καὶ τοῦτο μαρτύριον γινόμενον εἰς τὴν τῆς δόξης ὡς ἀληθοῦς σύστασιν.

Ἔστι μὲν ὡς εἶπον οὐ ῥάδιος ὁ περὶ τῶν τοιούτων λόγος, καὶ μάλιστ' ἐπεὶ μὴ τῶν πρὸ ἡμῶν ἔργον τις ἐποιήσατο τοῦτο δεῖξαι· οὐδεὶς γοῦν δόξει, ὅσα κἀμὲ εἰδέναι, μὴ προηγουμένως τῶν προαγόντων τὸν Ἀριστοτέλους λόγον περὶ τούτου τοῦ προβλήματος διειληφέναι, ὡς δεῖξαι τοῖς ὑφ' αὐτοῦ λεγομένοις συνᾴδοντα τὰ ὑπὸ Ἀριστοτέλους εἰρημένα. ἀλλ' ἐπεὶ σύ τε ἀξιοῖς ἡμᾶς τε καλῶς ἔχειν ὑπολαμβάνω, ἐφ' ὅσον οἷοί τε ἐσμὲν περὶ αὐτοῦ διαλαβεῖν, ἐπὶ τοσοῦτον προα-

1. ἢ κενήν γε] fort. κενήν τι. 4. εἶναι] fort. del. ἥδε] εἰ δὲ vulg. 8. παρέστησα V. 9. προεθέμην] προεθούμην T, προεθείμην V. 17. ὡς] fort. del. 24. σύ τε] οὔτε T.

γαγεῖν τὸν λόγον, ἄμεινον ἡγοῦμαι τὸ κἂν ἐπ' ὀλίγον εὐπορῆσαι τῶν περὶ αὐτοῦ λέγεσθαι δυναμένων, ἢ φόβῳ τῷ ἂν μὴ δυνηθῆναι τέλος ἐπιθεῖναι τῷ προβλήματι, καὶ τῶν ὀλίγων ἀποστῆναι.

Οὐκ ὀκνητέον ἄρα πρὸς αὐτό.

Πειράσομαι δ' ὁμοῦ τῷ περὶ τούτων λόγῳ καὶ τοὺς τὰ Πλάτωνος μὲν ὑπισχνουμένους, σφόδρα δὲ πεπεικότας ἑαυτοὺς ὡς μηδὲν Ἀριστοτέλους περὶ προνοίας εἰρηκότος, δεικνύναι ὅτι μηδὲν μετ' ἐπιστάσεώς τε καὶ φροντίδος λέγουσιν.

Ἐξήγησις λέξεως ἐκ τοῦ δευτέρου περὶ γενέσεως καὶ φθορᾶς Ἀριστοτέλους ἄλλως ἔχουσα παρὰ τὴν ἐντῷ εἰς αὐτὸ ὑπομνήματι· ἡ δὲ λέξις ἐστὶν ἥδε. κβ'.

Εἰ μὲν οὖν εἰς ἄπειρον εἶσιν ἐπὶ τὸ κάτω, οὐκ ἔσται ἀνάγκη τὸ ὕστερον τόδε γενέσθαι ἁπλῶς, ἀλλ' ἐξ ὑποθέσεως· ἀεὶ γὰρ ἕτερον ἔμπροσθεν ἀνάγκη ἔσται, δι' ὃ ἐκεῖνο ἀνάγκη γενέσθαι.

Εἰ ἐν οἷς τὸ ὕστερον ἐξ ἀνάγκης, ἐν ἐκείνοις μόνοις ἀληθὲς δειχθῇ τὸ εἰ τὸ πρῶτον ἐξ ἀνάγ-

3. *ἂν μὴ*] fort. *μὴ ἄν.* 12. *περὶ γενέσεως καὶ φθορᾶς*] II, 11 pag. 337, b, 25; conf. infra III, 5. 18. *τὸ*] *τῶν* vulg. 19. *ἀλλ'*] *ἀλλ' οὐδ'* male Aristotelis libri praeter *E.* 21. *δι' ὃ*] *διὸ καὶ* V. 23. *μόνης* vulg. *δειχθῇ τὸ*] *δειχθῆτο* vulg. fort. *δειχθείη τό.*

κης τὸ ὕστερον, ἐπὶ δὲ τῆς εἰς ἄπειρον γενέσεως οὐκ ἔστι τὸ ὕστερον ἐξ ἀνάγκης τῷ μηδὲ γίνεσθαι τὸ αὐτὸ, οὐδ' ἂν πρὸ τοῦ ἐσχάτου γινομένου ἁπλῶς ἄν τι ἐξ ἀνάγκης γίνοιτο τῷ μόνως τὰ μεταξὺ τοῦ τελευταίου τὸ ἀναγκαῖον ἁπλῶς ἔχειν παρὰ τοῦ τέλους, εἰ τοῦτο ἁπλῶς τὸ γινόμενον ἐξ ἀνάγκης. εἰ γὰρ ἐκεῖνο ἐξ ἀνάγκης ἁπλῶς, τότε καὶ τὰ πρὸ αὐτοῦ ἐξ ἀνάγκης ἔσται, τῶν μεταξὺ τοῦ τε ἐπ' ἄπειρον γινομένου ἕκαστον ἐξ ὑποθέσεως τὸ ἀναγκαῖον ἔχον. εἰ γὰρ τὸ μὲν ταὐτὸ ἔσται, δεῖ καὶ τοῦτο ὂν πρὸ αὐτοῦ, καὶ ὁμοίως πάλιν ἐκεῖνο τὸ ἀναγκαῖον ἕξει, καὶ γὰρ ἐκεῖνο ἔσται ἐξ ἀνάγκης, εἰ τὸ μετὰ τοῦτο, καὶ οὕτω προϊόντων, ἐπεὶ μηδὲν ἔσχατόν ἐστι τοῦ ἀπείρου ἐξ ἀνάγκης μέλλοντος γίνεσθαι, ἁπλῶς ἐξ ἀνάγκης ἐγίνετο καὶ τὰ πρὸ αὐτοῦ, οἷς πάλιν ἐξ ἀνάγκης γινομένοις εἵπετο καὶ τὸ τελευταῖον ἐξ ἀνάγκης γίνεσθαι, εἰ τὰ πρῶτα οὐκέτ' ἐπὶ τῶν οὕτω γινομένων ἔσται λαβεῖν τὴν τοιαύτην ἀκολουθίαν τὴν εἰ τὸ πρῶτον, ἐξ ἀνάγκης τὸ ὕστερον. τὸ δὲ ὥστε εἰ μή ἐστιν ἀρχὴ τοῦ ἀπείρου, οὐδὲ τὸ πρῶτον ἔσται, δι' ὃ ἀναγκαῖον ἔσται γενέσθαι, ἴσον ἐστὶ τῷ, ὥστε εἰ μή ἐστι τέλος τοῦ ἀπείρου· ἀρχὴν γὰρ νῦν τὸ τέλος εἶπεν, ἐπεὶ ἀπὸ τοιούτου ἀρχὴ, εἰ ἀναγκαίως γίνοιτο τὸ καὶ τὰ πρὸ αὐτοῦ πάντα ἐξ ἀνάγκης ὀφείλειν γίνεσθαι. εἰ δὲ

6. εἰ] εἴη vulg. 9. τε fort. del. 11. ταὐτὸ] τοιοῦτο Bagolinus. 12. ἐκεῖνο τὸ] ἔκειτο T. 13. καὶ] om. vulg. 20. εἰ] εἰς vulg. 22. τὸ πρῶτον ἔσται] πρῶτον ἔσται οὐδὲν Aristotelis libri. 26. εἰ] εἴη vulg. τὸ καὶ τὰ] τοῦ καὶ τὸ vulg.

μὴ ἔστι τοῦτο, οὐδὲ ἡ ἀκολουθία αὕτη ἐπ' αὐτοῦ ἀληθές ἐστιν ἡ λέγουσα, εἰ τὸ πρῶτον τὸ ὕστερον, τῷ τὴν τοιαύτην ἀκολουθίαν ἀληθῆ γίνεσθαι ἐν οἷς ἐστί τι ἔσχατον ἐξ ἀνάγκης γινόμενον τῷ ἕπεσθαι τοῦτο τῷ ἐξ ἀνάγκης γινομένῳ τὰ καὶ πρὸ αὐτοῦ ἐξ ἀνάγκης τε γίνεσθαι καὶ ἀληθὲς εἶναι ἐφ' ἑκάστου αὐτῶν τὸ εἰ το πρῶτον, καὶ τὸ ὕστερον. ἀνάγκη γὰρ εἰ μέλλοι ἡ τοιαύτη ἀκολουθία ἀληθὴς ἔσεσθαι, εἶναί τι πέρας ἐν τοῖς λαμβανομένοις. Ὅτι δ' ἀρχὴν καὶ τὸ πέρας λέγει, ἔδειξεν δι' ὧν μετ' ὀλίγον εἶπεν οὕτως, τούτων δ' εἴπερ ἔσται ἀΐδιος, οὐκ εἰς εὐθὺ οἷόν τε διὰ τὸ μηδαμῶς εἶναι ἀρχὴν μήτ' ἂν κάτω, ἐπὶ τῶν ἐσομένων λαμβανομένων, μήτ' ἂν ἄνω ἐπὶ τῶν γινομένων. τὸ γὰρ μήτ' ἂν κάτω ἐπὶ τῶν ἐσομένων τῆς ὡς πέρατος ἀρχῆς ἐστι δηλωτικόν. τὴν μὲν οὖν κάτω δεῖ εἶναι ἀρχὴν, εἰ μέλλοι τὸ ἁπλῶς ἀναγκαῖον ἕξειν τὰ γινόμενα, ὅτι τῷ τοῦτο ὑποκεῖσθαι ἁπλῶς ἀναγκαίως ἔσεσθαι τούτῳ ἀληθὲς ἐγίνετο, εἰ τὸ πρῶτον ἐξ ἀνάγκης, καὶ τὸ ὕστερον· τὴν δὲ ἄνω μὴ, ὅτι οὕτω δυνησόμεθα λαβεῖν τὸ εἰ τὸ πρῶτον τὸ ὕστερον.

5. τῷ ἐξ] τὸ ἐξ T. 12. τούτων] p. 338, b. ἔσται] ἔσεσθαι T. 14. κάτω] κάτω ὡς V(?) et Aristotelis libri praeter E. 15. λαμβανομένων] διαλαμβάνομεν V. (?) λαμβάνομεν Aristotelis libri plerique. 18. εἶναι] fort. μὴ εἶναι. 21. τούτῳ] fort. τοῦτο. 22. μὴ om. T.

Περὶ τῆς Ἡρακλείας λίθου, διὰ τί ἕλκει τὸν σίδηρον. κγ'.

Ἐμπεδοκλῆς μὲν ταῖς ἀποῤῥοίαις ταῖς ἀπ' ἀμφοτέρων καὶ τοῖς πόροις τοῖς λίθου συμμέτροις οὖσιν τοῖς ἀπὸ τοῦ σιδήρου τὸν σίδηρον φέρεσθαι λέγει πρὸς τὴν λίθον· αἱ μὲν γὰρ ταύτης ἀπόῤῥοιαι τὸν ἀέρα τὸν ἐπὶ τοῖς τοῦ σιδήρου πόροις ἀπωθοῦσί τε καὶ κινοῦσι τὸν ἐπιπωματίζοντα αὐτούς· τουτοῦ δὲ χωρισθέντος ἀθρόᾳ ἀποῤῥοίᾳ ῥεούσῃ τὸν σίδηρον ἕπεσθαι, φερομένων δὲ τῶν ἀπ' αὐτοῦ ἀποῤῥοιῶν ἐπὶ τοὺς τῆς λίθου πόρους διὰ τὸ συμμέτρους τε αὐτοῖς εἶναι καὶ ἐναρμόζειν καὶ τὸν σίδηρον σὺν ταῖς ἀποῤῥοίαις ἕπεσθαί τε καὶ φέρεσθαι. ἐπιζητήσαι δ' ἄν τις, εἰ καὶ συγχωρηθείη τὸ τῶν ἀποῤῥοιῶν, τί δήποτε ἡ λίθος οὐχ ἕπεται ταῖς ἰδίαις ἀποῤῥοίαις, κινεῖται δὲ πρὸς τὸν σίδηρον. οὐδὲν γὰρ μᾶλλον ἐκ τῶν εἰρημένων ἡ λίθος πρὸς τὸν σίδηρον ἢ ὁ σίδηρος κινηθήσεται πρὸς τὴν λίθον. ἔτι διὰ τί οὐ καὶ χωρὶς τῆς λίθου κινηθήσεταί ποτε σίδηρος ἐπ' ἄλλο τι τῶν ἀπ' αὐτοῦ ἀποῤῥοιῶν ἀθρόων φερομένων. διὰ τί γὰρ μόναι αἱ ἀπὸ τῆς λίθου ἀπόῤῥοιαι κινεῖν δύνανται τὸν ἐπιπωματίζοντα τοὺς τοῦ σιδήρου πόρους ἀέρα καὶ ἐπέχοντα τὰς ἀποῤῥοίας; ἔτι διὰ τί ἄλλο οὐδὲν πρὸς ἄλλο τι οὕτω φέρεται, καίτοι πολλὰ λέγεται ὑπ' αὐτοῦ συμμέτρους τοὺς πό-

ρους πρὸς ἀλλήλας ταῖς ἀποῤῥοίαις ἔχειν· λέγει γοῦν ὕδωρ οἴνῳ μᾶλλον ἐναρίθμιον, αὐτὰρ ἐλαίῳ οὐκ ἐθέλει. ἀλλ' οὐ φέρεται τούτων οὐδέτερον πρὸς ἕτερον.

Ὁ Δημόκριτος δὲ καὶ αὐτὸς ἀποῤῥοίας τε γίνεσθαι τίθεται καὶ τὰ ὅμοια φέρεσθαι πρὸς τὰ ὅμοια, ἀλλὰ καὶ εἰς τὸ κοινὸν πάντα φέρεσθαι. ταῦθ' ὑποθέμενος λαμβάνει τὸ τὴν λίθον καὶ τὸν σίδηρον ἐξ ὁμοίων ἀτόμων συγκεῖσθαι, λεπτοτέρων δὲ τὴν λίθον καὶ τὸ εἶναι ἀραιοτέραν τε καὶ πολυκενωτέραν αὐτὴν εἶναι, καὶ διὰ τοῦτ' εὐκινητοτέραν θᾶττον ἐπὶ τὸν σίδηρον φέρεσθαι· πρὸς γὰρ τὰ ὅμοια ἡ φορά, καὶ ἐνδυόμενα εἰς τοὺς πόρους τοῦ σιδήρου κινεῖν τὰ ἐν ἐκείνῳ σώματα διαδυόμενα δι' αὐτῶν διὰ λεπτότητα, τὰ δὲ κινηθέντα ἔξω τε φέρεσθαι ἀποῤῥέοντα καὶ πρὸς τὴν λίθον διά τε ὁμοιότητα καὶ διὰ τὸ κενὰ ἔχειν πλείω, οἷς ἑπόμενον τὸν σίδηρον διὰ τὴν ἀθρόαν ἔκκρισίν τε καὶ φορὰν φέρεσθαι καὶ αὐτὸν πρὸς τὴν λίθον, οὐκ ἔτι δὲ ἡ λίθος πρὸς τὸν σίδηρον φέρεται, ὅτι μὴ ἔχει τοσαῦτα ὁ σίδηρος κενὰ ὅσα ἡ λίθος. ἀλλὰ τὸ μὲν τὴν λίθον καὶ τὸν σίδηρον ἐξ ὁμοίων συγκεῖσθαι δέξαιτ' ἄν τις, πῶς δὲ εἰς τὸ ἤλεκτρον καὶ τὸ ἄχυρον, ὅτι καὶ ἐπ' ἐκείνων λέγει ταύτην τὴν αἰτίαν; ἔτι πολλὰ ἑλκόμενα ὑπὸ τοῦ

1. λέγει] λέγεις vulg. 2. ὕδωρ] v. 291 Sturz. 292 Karsten, neuter nostrum locum attendit. 5. δὲ] τε vulg. 8. λαμβάνειν vulg. 10. λεπτοτέρων] fort. λεπτοτέραν. καὶ τὸ εἶναι] fort. εἶναι καί. 14. κινεῖν] κινεῖ vulg.

ἠλέκτρου, οἷς εἰ πάντα ἐξ ὁμοίων σύγκειται, κἀκεῖνα ἐξ ὁμοίων ἀλλήλοις συγκείμενα ἕλκοι ἄλληλα.

Διογένης δὲ ὁ Ἀπολλωνιάτης πάντα τὰ ἐλατά φησιν καὶ ἀφιέναι τινὰ ἰκμάδα ἀφ' αὑτῶν πεφυκέναι καὶ ἕλκειν ἔξωθεν, τὰ μὲν πλείω τὰ δὲ ἐλάττω, πλείστην δὲ ἀφιέναι χαλκόν τε καὶ σίδηρον, οὗ σημεῖον τό τε ἀποκαίεσθαί τι καὶ ἀπαναλίσκεσθαι ἀπ' αὐτῶν ἐν τῷ πυρὶ, καὶ τὸ χριόμενα αὐτὰ ὄξει καὶ ἐλαίῳ ἰοῦσθαι· τοῦτο γὰρ πάσχειν διὰ τὸ ἕλκειν ἐξ αὐτῶν τὴν ἰκμάδα τὸ ὄξος. τὸ γὰρ τὸ πῦρ καίειν τὴν ἐν αὐτῷ ἰκμάδα ἂν καίειν αὐτῷ· τὸ δὲ εἰςδυόμενον εἰς ἕκαστον ἕλκειν τε καὶ ἀναλίσκειν τὸ ἐν αὐτῷ ὑγρόν. τοῦ σιδήρου ἕλκοντός τε καὶ πλεῖον ἀφιέντος ὑγρὸν τὴν λίθον οὖσαν ἀραιοτέραν τοῦ σιδήρου καὶ γεωδεστέραν πλεῖον ἕλκειν τὸ ὑγρὸν τὸ ἀπὸ τοῦ παρακειμένου ἀέρος ἢ ἀφιέναι. τὸ μὲν οὖν συγγενὲς ἕλκουσαν ἐν αὑτῇ δέχεσθαι, τὸ δὲ μὴ συγγενὲς ἀπωθεῖν. εἶναι δ' αὐτῇ συγγενῆ τὸν σίδηρον διὰ τὸ ἀπὸ τούτου ἕλκειν τε καὶ δέχεσθαι ἐν αὑτῇ, καὶ διὰ τῆς τούτου ἕλξεως καὶ τὸν σίδηρον ἐπισπᾶσθαι διὰ τὴν ἀθρόαν ἕλξιν τοῦ ἐν

1. *οἷς*] fort. *ὡς*. *πάντα*] fort. *πάντα ἅ*. 3. *Διογένης*] vid. Diogen. Apoll. pag. 98 Panzerb. *δὲ*] *τε* vulg. 11. *τὸ γὰρ τὸ*] alterum *τὸ* includit Panzerb. Fort. *τῷ γὰρ τὸ . . ἰκμάδα ἀποκαίειν*. Vir doctus in exemplo biblioth. Univers. Monac. *τῷ γὰρ τὸ . . αὐτοῖς ἰκμάδα ἀνακαίειν αὐτὰ, τὸ δὲ ὄξος εἰσδυόμενον*. 13. *τοῦ*] *καὶ* aut *ὥστε τοῦ* vir doctus ille. 18. *τὸ δὲ*] Panzerbieter, *τότε* vulg. 20. *διὰ τὸ ἀπὸ τούτου*] *διὰ τοῦτο*. vir doctus ille, Panzerbieter pag. 100. Fort. add. *τὸ ὑγρόν*.

αὐτῷ ὑγροῦ, μηκέτι δὲ τὸν σίδηρον ἕλκειν τὴν λίθον τῷ μήθ' οὕτως εἶναι τὸν σίδηρον ἀραιὸν, ὡς δέχεσθαι δύνασθαι ἀθρόαν τὴν ἀπ' αὐτῆς ὑγρότητα. ἀλλ' εἰ τοῦτο, διὰ τί μόνη ἡ λίθος ἕλκει τὸν σίδηρον, τῶν δ' ἄλλων οὐδὲν τὸ συγγενὲς, οἷον χαλκὸς καὶ μόλιβδος; ἀφίησι γὰρ καὶ ταῦτα ὑγρὸν καὶ ἕλκει, καὶ συγγενῆ τινα καὶ τούτοις ἐστὶν, ὥσπερ καὶ τοῦ σιδήρου ἡ λίθος. ἔτι διὰ τί οὐκ ἄλλα τινὰ ἡ λίθος ἕλκει τῶν στερεῶν, ἃ ἀφίησι πλείονα ἰκμάδα, ὧν καὶ ὁ χαλκός ἐστιν; οὐ γὰρ διότι ἐμμένει τὰ ἑλκόμενα διὰ τὴν συμμετρίαν ἕπεται τὸ ἀφ' οὗπερ ῥεῖ τὸ ἑλκόμενον, ἀλλὰ διότι ἕλκεται, καὶ εὐλογώτερόν γε, ὧν μηδὲ ἐμμένει ἐν τῷ ἕλκοντι ἡ ἰκμὰς ἀλλὰ παραπέμπεται, ταῦτα μᾶλλον κινεῖσθαι. καὶ γὰρ πλεῖον ἀπὸ τούτων εἰκὸς ἕλκεσθαι τῷ τὸ ἑλκόμενον ἐν ἑαυτῷ μηδὲ πληρούμενον ὑπ' αὐτοῦ, ἀλλ' ὅμοιον μένον ἕλκειν. ὁμοίως δὲ καθόλου ἀναγκαῖον τὸν περὶ τούτου λέγοντα πρῶτον ἐξητηκέναι, τίς ὁ τῆς ὁλκῆς τρόπος. ἕλκει γὰρ τὰ μὲν βίᾳ καὶ ἁφῇ ἃ καὶ αὐτὰ κινούμενα κινεῖ. οὐχ οὕτω δὲ ἡ λίθος· ἀκίνητος γὰρ, καὶ οὔτε τοῦ σιδήρου ἁπτομένη, οὔτε σπῶσα τὸν μεταξὺ ἀέρα ἢ τὸ ὕδωρ ἐπισπᾶται αὐτὸν δι' αὐτῶν. καὶ γὰρ ἂν τὰ ἐπιπολάζοντα ἐν αὐτῷ καὶ κουφότερα ἕλκοι

2. μήθ'] scrib. μή. 14. ἐμμένει] Panzerbieter, ἐμμένειν vulg. 16. ἀπὸ] scrib ὑπό. 17. ἑαυτῷ] ἑαυτῷ μένον vir doctus. 18. μένον] μένειν vulg. 21. ἃ καὶ αὐτὰ] ἃ καὶ τὰ V, ταῦτα τὰ T. καὶ ταῦτα Bagolinus. 24. ἢ] εἰς T. 25. ἕλκει T.

τῷ ἐπισπᾶσθαι τὸν μεταξὺ ἀέρα τῷ θερμῷ τῷ ἐν αὐτοῖς τὸ ἤλεκτρον καὶ ἡ σικύα. οὐδ' οὕτως ἐκείνη. ἐν ἐκείνοις γὰρ τὸ πῦρ κινούμενον καὶ ἐξιὸν σπᾷ τὸ παρακείμενον ὑγρὸν καὶ ἁπτόμενον ὡς σπώμενον τὸ συνεχὲς ἐφέλκεται, ἡ δὲ λίθος τὸν σίδηρον μόνον. εἰ γὰρ ἔσπα τὸν μεταξὺ ἀέρα, ἐφέρετ' ἂν πάντα τὰ ἐν τῷ ἀέρι κουφότερα τοῦ σιδήρου ἐπὶ τὴν λίθον πρῶτα τοῦ σιδήρου. ἕλκειν δοκεῖ καὶ ἡ ὑστέρα τὰ σπέρματα καὶ αἱ φλέβες καὶ τὰ μέλη τὴν τροφήν. οὐχ οὕτω δὲ ἡ λίθος ἕλκει τὸν σίδηρον. καὶ γὰρ τούτων ὅσα ἕλκει τῷ τὸν ἀέρα καὶ τὸ ὑγρὸν σπᾶν πρῶτον τὸ μεταξὺ, τοῦτο ποιεῖ κατὰ συμβεβηκός. ἕλκειν δοκεῖ καὶ ὁ ἥλιος τὸ ὕδωρ· μεταβάλλον γὰρ διὰ τὴν ἀπὸ τοῦ ἡλίου θερμότητα ἀναφέρεται εἰς τὸν κατὰ φύσιν αὐτοῦ τόπον, ὅς ἐστιν ἄνω ἔνθα καὶ ὁ ἥλιος. οὐχ οὕτως ἡ λίθος· οὐ γὰρ μεταβάλλει τὸν σίδηρον. ἕλκει καὶ τὴν τροφὴν τὸ ζῶον καὶ πᾶν τὸ ἐπιθυμητὸν καὶ ὀρεκτὸν οὐ τῷ ποιεῖν τὸ μεταξὺ αὐτοῦ καὶ ὀρεγομένου ὅμοιον ἑαυτῷ· οὐ γὰρ τροφὴ γίνεται τὸ μεταξὺ, οὐδ' ἕλκεται τοῦτο, ἀλλὰ κινηθὲν τὸ μεταξὺ ὑπὸ τοῦ ὀρεκτοῦ δίδωσι τὸ εἶδος ἐπὶ τὸ κινούμενον, ὡς ἐπὶ τοῦ ὁρᾶν γίνεται. οὕτω καὶ ὁ σίδηρος ἐπὶ τὴν λίθον φέρεται, οὐχ ἕλκουσαν αὐτὸν βίᾳ πρὸς ἑαυτὴν, ἀλλ' ἐφέσει τούτου οὗ ἐνδεὴς μέν ἐστιν αὐτὸς, ἔχει δ' αὐτὸ ἡ λίθος· δοκεῖ γὰρ καὶ ἡ λίθος σιδηρῖτις εἶναι,

2. οὐδ' οὕτως] Fort. οὐχ οὕτω δ' 3. ἐκείνη] ἐκεῖνος vulg. 17. οὕτως] ὡς vulg. 19. οὐ τῷ ποιεῖν] οὕτω ποιεῖ T.

ἐξ ἰκμασμένης μέντοι ἤδη ἤτοι ὑπὸ χρόνου ἢ ὑπό τινος ἄλλης αἰτίας. οὐ μόνον γὰρ τὰ αἴσθησιν ἔχοντα καὶ τὰ ἔμψυχα ἐφίεται τοῦ κατὰ φύσιν ἑαυτοῖς, ἀλλ' οὕτω πολλὰ καὶ τῶν ἀψύχων ἔχει.

Λέξεως ἐξήγησις ἐκ τοῦ δευτέρου περὶ ψυχῆς Ἀριστοτέλους μετ' ὀλίγον τῆς ἀρχῆς εἰρημένης. κδ'.

Λέγομεν δὴ γένος ἕν τι τῶν ὄντων τὴν οὐσίαν, ταύτης δὲ τὸ μὲν ὡς ὕλην, ὃ καθ' αὑτὸ μὲν οὐκ ἔστι τόδε τι, ἕτερον δὲ μορφὴν καὶ εἶδος, καθ' ἣν ἤδη λέγεται τόδε τι, καὶ τρίτον ἐκ τούτων.

Ἡ ὕλη καθ' αὑτὴν οὐκ οὖσα τόδε τι κατὰ τὴν μορφὴν καὶ τὸ εἶδος ἐὰν δέξηταί τε καὶ σχῇ ἤδη λέγεται τόδε τι, ἀπὸ τοῦδε τοῦ εἴδους ἑκάστῳ τῶν ἐνύλων τὸ εἶναι τούτῳ. ἐπὶ μὲν οὖν τῶν ἁπλῶν τε καὶ πρώτων σωμάτων οὐδ' ὅλως καθ' αὑτὴν ἡ ὕλη τόδε τι τῷ τὴν πρώτην καὶ κυρίως ὕλην τούτοις προσεχῶς ὑποκεῖσθαι, ἐπὶ δὲ τῶν συνθέτων σωμάτων, ἐπεὶ τούτοις μηκέτι προσεχῶς ὑποκείμενον ἡ πρώτη τε καὶ κυρίως

6. περὶ ψυχῆς] II, 1. pag. 412, 6. 9. τῶν] τῶν ἄλλων T. 11. μορφή.] vulg. 12. τι καὶ] om. T. 13. τρίτον] τρίτον τὸ Aristotelis libri. ἐκ τούτων. Ἡ ὕλη] ἤδη T. 14. οὐκ] Bagolinus, om. vulg. 14. κατὰ] καθ' ἃ T. 15. ἐὰν δέξηται] ἐνδείξηται vulg. 16. τι] om. vulg. τι· ἔστι γὰρ Bagolinus. 17. ἑκάστῳ] Bagolinus, ἑκάστου vulg. 21. ἐπεὶ] ἐπὶ T.

ὕλη, ἀλλ' ἔστιν ἡ ὕλη σώματα τούτοις ὑποκείμενα, εἴ γε τὰ καλούμενα στοιχεῖα ἡ τούτων ὕλη, ἔσται μὲν ἡ τούτων ὕλη τόδε τι, οὐ μὴν τὸ γενόμενον ἐξ αὐτῶν τὸ εἶναι τοῦτο ὃ γέγονεν ἀπὸ τῆς ὕλης ἔχει καὶ τοῦ ἐκείνης εἴδους, ἀλλ' ἀπὸ τοῦ εἴδους τοῦ γεγονότος ἐν τῇ ποιᾷ συνθέσει τε καὶ μίξει τῶν ὑποκειμένων αὐτῷ σωμάτων. οὐ γὰρ ἐπεὶ πῦρ καὶ ἀὴρ, ὕδωρ καὶ γῆ ὕλη σαρκὶ, ἡ σὰρξ ἀπὸ τούτων καλεῖταί τε καί ἐστιν, ἀλλ' ἀπὸ τοῦ γεγονότος ἐν αὐτοῖς εἴδους, καθὸ τὸ εἶναί ἐστι τῇ ἐξ αὐτῶν γεγονυίᾳ σαρκί· οὐδὲ γὰρ τὴν ἀρχὴν ἐκεῖνα ἐν τῇ σαρκὶ ἔτι σώζεται. ἀλλ' ὥσπερ ἐπὶ τῆς τῶν ἁπλῶν γενέσεως σωμάτων ἡ ὑποκειμένη ὕλη αὐτοῖς, αὕτη δ' ἦν ἡ πρώτη, οὐκ ἦν μὲν αὐτὴ καθ' αὑτὴν τόδε τι, ἦν μέντοι ἐν ὑποστάσει ἐπ' ἄλλου τινὸς εἴδους οὖσα, καὶ κατ' ἐκεῖνο τόδε τι οὖσα· τὸ γὰρ γινόμενον πῦρ κατὰ μεταβολὴν τῆς ὕλης γίνεται ἀποβαλλούσης μὲν τὸ προϋπάρχον εἶδος ἐν αὐτῇ, μεταβαλλούσης δὲ εἰς τὸ τοῦ πυρὸς, καὶ οὐχ ὅτι ἐξ ἀέρος, ἂν οὕτω τύχῃ, ἡ μεταβολὴ αὕτη, τὸ πῦρ κατὰ τὸν ἀέρα τὸ εἶναι ἔχει, ὥς γε οὐδ' ὕλης εἰς τὸ πῦρ μεταβολὴ, οὕτως οὐδὲ τὰ σύνθετα σώματα, οἷς ἤδη προσεχὴς ὕλη τόδε τί ἐστιν, τόδε τι εἶναι ἔχει ἀπὸ τοῦ τῶν ὑποκειμένων αὐτοῖς σωμάτων εἴδους, ἀλλ' ἀπὸ τοῦ ἐξ ἐκείνων τε καὶ ἀπ' ἐκείνων γενομένου. διὸ κατὰ παντὸς μὲν ἀληθὲς

5. εἴδους] τόδε T. 22. ὥς] ὃς T. 25. ὑποκειμένου vulg.

ἐστιν τὸ πᾶσαν συναμφότερον οὐσίαν ἀπὸ τοῦ εἴδους ἔχειν τὸ εἶναι τοῦτο ὅ ἐστι, τούτου δ' οὕτως ἔχοντος ἀληθὲς καὶ τὸ καθ' ἑκάστην τῶν συναμφοτέρων οὐσιῶν τό τε εἶναι καὶ τὸ λέγεσθαί ἐστι τοῦτ' αὐτῶν εἶδος εἶναι, ὥστ' ἐπεὶ καὶ τὸ ζῷον συναμφότερος οὐσία καὶ τῷ ζώῳ αὐτῷ εἶναί τε καὶ λέγεσθαι παρὰ τῆς ψυχῆς τε καὶ κατὰ τὴν ψυχήν ἐστιν, εἶδος ἂν εἴη ἡ ψυχὴ τῶν ζώων, οὕτω δὲ καὶ τῶν ἄλλων τῶν παρὰ τὰ ζῷα ἐμψύχων. ὅτι δὲ εἶδος ἡ ψυχή, ἔδειξεν ὁδῷ χρησάμενος τοιαύτῃ. ἐπεὶ τῆς οὐσίας ἡ μέν ἐστιν ὕλη, ἡ δὲ εἶδος, ἡ δὲ συναμφότερος, καί ἐστιν ἡ μὲν συναμφότερος ἐξ ὕλης τε καὶ εἴδους ἔχουσα τὸ τόδε τι οὐ παρὰ τῆς ὕλης, ἀλλὰ παρὰ τοῦ εἴδους τοῦ ἐν αὐτῇ, λαβὼν τὰ φυσικὰ σώματα οὐσίας εἶναι (ἐνεργεῖ γὰρ τὸ ἐναργὲς δὲ καὶ ὅτι σύνθετος οὐσία), διελὼν δὲ τὸ φυσικὸν σῶμα τῷ ζωὴν ἔχειν ἔλαβεν τὸ εἶναι τὸ φυσικὸν σῶμα τὸ ζωὴν ἔχον οὐσίαν σύνθετον, οὐχ ὅτι μὴ καὶ τὸ φυσικὸν σῶμα καθ' αὑτὸ οὐσία σύνθετός τε καὶ συναμφότερος, ἀλλ' ὅτι αὐτὴ ἤδη καὶ ἐκ τίνων σύγκειται φανερά· ἐκ γὰρ σώματος φυσικοῦ καὶ ζωῆς ἥτις ἐστὶν ἡ ψυχή, λαβὼν δὲ τὸ ζωὴν ἔχον σῶμα συναμφότερον οὐσίαν εἶναι ἐξ ὕλης τε καὶ εἴδους, καὶ δείξας ὅτι ἡ ψυχὴ οὔτε σῶμα οὔθ' ὑποκείμενον ἐν τῷ ζώῳ, ἔδειξεν ὅτι ἡ κατὰ τὸ εἶδος οὐσία ἐστὶ ψυχή. δεῖ γὰρ αὐτὴν ἢ ὡς εἶδος ἢ ὡς ὕλην εἶναι ἐν αὐτῷ.

11. ἐπεὶ] ἐπὶ T. 17. δὲ post διελὼν om. T.

Ἄλλης λέξεως ἐκ τοῦ δευτέρου τῶν περὶ ψυχῆς Ἀριστοτέλους ἐξήγησις. κέ.

Οὐ γὰρ τοιούτου σώματος τὸ τί ἦν εἶναι καὶ ὁ λόγος ἡ ψυχή, ἀλλὰ φυσικοῦ τοῦ ἔχοντος ἀρχὴν κινήσεως καὶ στάσεως ἐν αὑτῷ.

Πρὸς τί τοῦ ἔχοντος ἀρχὴν κινήσεως καὶ στάσεως ἐν αὑτῷ; ἀλλ' εἰ τοιοῦτο τὸ φυσικόν, πῶς ἔτι φυσικὸν τὸ θεῖον οὐκ ἔχον στάσεως ἀρχὴν ἐν αὑτῷ; ἢ ἔχει πως στάσεως ἀρχήν, εἴ γε κατὰ μὲν τὰ μέρη κινεῖται, τὸ δ' ὅλον ὡς ὅλον ἕστηκεν; ἐν τῷ αὐτῷ γάρ ἐστιν ἀεί. ἢ οὐ περὶ παντὸς εἶπεν τοῦ φυσικοῦ σώματος, ἀλλὰ τοῦ ἐν ᾧ ἡ ψυχὴ γίνεται; ἢ τοῦ ἔχοντος ἀρχὴν κινήσεως καὶ στάσεως ἐν αὑτῷ οὐ περὶ φυσικοῦ σώματος λέγει, ἀλλὰ περὶ ψυχὴν ἔχοντος; ἡ γὰρ ψυχὴ ἐν τούτοις ἀρχὴ κινήσεώς τε καὶ στάσεως.

Ἄλλη ἐκ τοῦ αὐτοῦ λέξις. κϛ'.

Τὸ δὲ σπέρμα καὶ ὁ καρπὸς τὸ δυνάμει τοιόνδε σῶμα.

Μάλιστ' ἂν δεικνύοιτο ἡ ψυχὴ μὴ οὖσα ἐν ὑποκειμένῳ διὰ ταύτης τῆς λέξεως. εἰ γὰρ τὸ ὀργανικὸν σῶμα ἐν ᾧ ἐστιν ἡ ψυχή, παρὰ τῆς

3. οὐ γὰρ] II, 1. pag. 412, b. 15. τοιούτου] τοιουδὶ V. 5. τοῦ] τοιουδὶ Aristotelis libri. 20. τὸ δὲ] ibidem pag. 412, b. 26. 21. τοιονδὶ Aristotelis libri.

ψυχῆς ἔχει τὸ ὀργανικὸν εἶναι καὶ οὔτε πρὸ τοῦ ἔχειν τὴν ψυχὴν ὀργανικὸν ἦν, οὔτε ἀπελθούσης τῆς ψυχῆς ἐστιν ὀργανικὸν, οὐκ ἂν εἴη ἐν αὐτῷ ὡς ἐν ὑποκειμένῳ. ἀλλὰ μὴν οὐκ ἐν ἄλλῳ τινί ἐστι σώματι ἢ ἐν τούτῳ· τὸ γὰρ σπέρμα δυνάμει ἔμψυχον τῷ δύνασθαι γενέσθαι τοιοῦτο σῶμα, οὗ ἡ ψυχὴ τελειότης ἐστὶ, καὶ ᾧ τὸ εἶναι τούτῳ ὅ ἐστι παρὰ τῆς ψυχῆς ἐστιν.

Ἄλλη ἐκ τοῦ αὐτοῦ λέξις. κζ'.

Λέγωμεν οὖν τὴν ἀρχὴν τῆς σκέψεως τοῦ πράγματος λαβόντες διωρίσθαι τὸ ἔμψυχον τοῦ ἀψύχου τῷ ζωὴν ἔχοντι σώματι.

Διὰ τοῦ λαβεῖν μὲν τὸ ψυχὴν ἔχον σῶμα συναμφότερον οὐσίαν, πᾶσαν δὲ συναμφότερον οὐσίαν ἐξ ὕλης τε καὶ εἴδους εἶναι, μὴ εἶναι τὸ σῶμα ἐν ὑποκειμένῳ τινὶ, ἀλλ' αὐτὸ εἶναι τὸ ὑποκείμενον, καὶ ἀποδοὺς λόγον τῆς ψυχῆς ἐντελέχειαν τὴν πρώτην σώματος φυσικοῦ ὀργανικοῦ, ὡς οὐδέπω ἱκανῶς δεδειγμένου τοῦ τὴν ψυχὴν εἶδος εἶναι διὰ τὸ μηδὲ τὴν αἰτίαν ἐν τῷ ἀποδεδομένῳ λόγῳ ἐμφαίνεσθαι, δι' ἣν εἶδός ἐστι καὶ ἐντελέχεια ἡ ψυχὴ τοῦ τοιούτου σώματος,

7. τελειότητος T. 10. λέγωμεν] II, 2. p. 413, b 2. — τὴν ἀρχὴν τῆς] ἀρχὴν λαβόντες τῆς Aristotelis libri. 12. ζωὴν ἔχοντι σώματι] ζῆν V. (?) ex Aristotele. 16. μὴ] fort. δείξας μή.

πάλιν ἀναλαβὼν ἄνωθεν αὐτὸ τοῦτο πειρᾶται δεικνύναι, καὶ πρῶτον μὲν ἐκτίθεται τὰς δυνάμεις τῆς ψυχῆς, καὶ δείξας τὰς μέν τινας αὐτῶν οὔσας πρώτας καὶ χωριστὰς τῶν ἄλλων, τὰς δὲ δευτέρας, καὶ τάξιν τινὰ οὖσαν ἐν αὐταῖς δείξας, καὶ ὅτι τὸ μὲν ζῆν τοῖς ἐμψύχοις παρὰ τῆς θρεπτικῆς ἐστι ψυχῆς, τὸ δὲ ζώῳ εἶναι παρὰ τῆς αἰσθητικῆς, δείξας δὲ καὶ ἐπὶ τῶν αἰσθητικῶν τάξιν τινὰ οὖσαν, καὶ τὰς μὲν πρώτας τε καὶ χωριζομένας τῶν ἄλλων, τὰς δὲ δευτέρας τε καὶ τῶν πρὸ αὐτοῦ ἀχωρίστους, ζητήσας δὲ καὶ πότερον χρὴ ἑκάστης δυνάμεως ψυχῆς ψυχὴν λέγειν ἢ μόριον ψυχῆς, καὶ εἰ μόριον, πότερον τῷ λόγῳ μόνον χωριστὸν ἢ καὶ τόπῳ, καὶ δείξας τὰς πλείστας δυνάμεις αὐτῆς χωριζομένας λόγῳ μόνον, περὶ δὲ τοῦ νοῦ εἰπὼν εἶναί τινα ἀμφισβήτησιν, εἰπὼν δὲ καὶ κατ' εἶδος γίνεσθαι διαφορὰς τῶν ἐμψύχων, καὶ τὰ μὲν πάσας ἔχειν τὰς δυνάμεις, τὰ δέ τινας, τὰ δὲ μίαν μόνην, ἐπὶ τούτοις ἔδειξε, πῶς εἶδος ἡ ψυχὴ καὶ ἐντελέχεια, ὅτι γὰρ τῷ τοῦ σώματός τι εἶναι τοῦ ὑποκειμένου ὁμοία οὖσα καὶ χωριστή ἐστιν αὐτοῦ. ἡ δὲ δεῖξις τοιαύτη· ἔλαβεν τὸ ἐπὶ πάντων τῶν λεγομένων εἶναι τοιούτων, ὁποία ἐστὶ πρώτως τε καὶ

8. αἰσθητικῶν] αἰσθητῶν vulg. 11. αὐτοῦ] scrib. αὐτῶν 18. καὶ om. T. πάσας ἔχειν] πάσχειν T. 19. δυνάμεις τὰ] δυνάμεις τὰς vulg. 22. ὁμοία] nam quia corporis subiecti aliquid est, qualiscunque existens et inseparabilis est ab eo, Bagolinus, legit ergo ὁποία, sed certo scribendum ἀχώριστος.

δευτέρως, καὶ καθὸ μὲν πρώτως λέγονται, τοῦτο εἶναι εἶδος αὐτῶν, καθὸ δὲ δευτέρως, τὸ ὑποκείμενόν τε καὶ ὕλην τὴν ἐκεῖνο τὸ εἶδος συνέχουσαν· καὶ τοῦτο διὰ τῆς ἐπαγωγῆς πιστωσάμενος ἔλαβεν τὸ καὶ ζῆν τὰ ἔμψυχα λέγεσθαι κατὰ πρώτην μὲν τὴν ψυχὴν ἔχον, οὗ οὕτως ἔχοντος ἡ μὲν ψυχὴ ἐδείχθη εἶδος οὖσα τοῦ σώματος τοῦ ἔχοντος αὐτὴν, ὕλη δὲ τὸ σῶμα.

Ὅτι μὴ ἡ ὕλη γένος. κη'.

Κοινὰ τῷ γένει καὶ τῇ ὕλῃ τὸ κοινὰ εἶναι πλειόνων, καὶ τὸ πρῶτα τῇ φύσει τῶν ὑπ' αὐτά τε καὶ δι' ὧν ἐστι κοινὰ, καὶ τὸ τῇ εἴδους τινὸς συνθέσει πρὸς αὐτὰ τὰς διαφορὰς λαμβάνειν. ὡς γὰρ κοινῆς οὔσης τῆς ὕλης τὰ εἴδη ἐν αὐτῇ γινόμενα κατὰ τὴν πρὸς ἄλληλα διαφορὰν ποιεῖ καὶ τὸ συναμφότερον, οὕτω καὶ τοῦ γένους ὄντος κοινοῦ τὰ εἴδη καὶ αἱ διαφοραὶ συντιθέμεναι αὐτῷ κατὰ τὴν ἐν αὐτοῖς διαφορὰν ποιοῦσι τὴν ἐν τοῖς γένεσι διαφοράν· τὰ γὰρ αὐτὰ ἕτερα γίνεται τῇ τῶν διαφερόντων συνθέσει. ἢ εἴη ἂν αὐτῶν ἡ πρὸς ἄλληλα διαφορὰ κατὰ τὸ μὴ ὁμοίως ἔχειν τὸ κοινὸν πρὸς τὰ εἴδη ὧν ἐστι κοινόν; ἡ μὲν γὰρ ὕλη κοινὴ ὡς ὑποκείμενον τούτοις ὧν ἐστι κοινόν· ὑπόκειται γὰρ τοῖς εἴδεσιν, τὸ δὲ

2. δευτέρως] δευτέρως, τοῦτο εἶναι Bagolinus. 5. κατὰ . . ἔχον] fort. τῷ καὶ . . ἔχειν. 6. οὗ om. T. 15. διαφορὰν ποιεῖ] fort. διάφορον ποιεῖ.

γένος κοινὸν ὡς κατηγορούμενον τῶν ὧν κοινόν ἐστιν· ἐν γὰρ τῇ ὕλῃ ὑποκειμένῃ τὰ εἴδη γίνεται ὡς ἐν τῷ χαλκῷ τὰ σχήματα, οὐχ οὕτω δ' ἐν τῷ γένει τὰ εἴδη· τὰ γὰρ γένη ὧν ἐστι γένη τούτων κατηγορεῖται. καὶ ἡ μὲν ὕλη ἅμα τε πᾶσα λαμβανομένη κοινὴ τῷ πάντ' ἔχειν ἐν ἑαυτῇ τὰ ἔνυλα εἴδη, ἀλλ' ἕκαστον αὐτῆς μόριον καθ' αὑτὸ κοινὸν καὶ αὐτὸ τῷ πάντων εἶναι παρὰ μέρος τῶν ἐναντίων δεκτικόν· τὸ δὲ γένος αὐτὸ μὲν κοινὸν τῶν οἰκείων εἰδῶν, τὸ δὲ καθ' ἕκαστα αὐτοῦ οὐ κοινόν· οὐ γὰρ οἷόν τε τὸ ἐν Σωκράτει ζῷον ἐν ἄλλῳ γενέσθαι τινί. καὶ ἡ μὲν ὕλη πρᾶγμά ἐστι καὶ ὑπόκειται συντελοῦν εἰς τὸ εἶναι αὐτῶν ἑκάστῳ τῷδέ τινι, τὸ δὲ γένος ὡς γένος λαμβανόμενον οὐ πρᾶγμά τί ἐστιν ὑποκείμενον, ἀλλὰ μόνον ὄνομα, καὶ ἐν τῷ νοεῖσθαι τὸ κοινὸν εἶναι ἔχον οὐκ ἐν ὑποστάσει τινί. καὶ ἡ μὲν ὕλη καὶ κατ' ἀριθμὸν ἄφθαρτος, τὸ δὲ γένος τῷ εἴδει ἄφθαρτον ἔχει καὶ τῇ τῶν γινομένων ἀνεπιλείπτῳ διαδοχῇ, τὸ δὲ καθέκαστα φθαρτὸν αὐτοῦ. καὶ ἡ μὲν ὕλη τῆς συναμφοτέρου οὐσίας τὸ ἕτερον μόριον ἐν τῇ τοῦ συναμφοτέρου φθορᾷ χωρίζεταί τε καὶ σώζεται, τὸ δὲ γένος ἔστι μὲν καὶ ἐν ἁπλοῖς· τοιαῦτα γὰρ τὰ τῶν εἰδῶν καὶ τῶν συμβεβηκότων γένη. οὐ γὰρ σύνθετον οὐδὲ συναμφότερον ὡς ἐξ εἴδους καὶ ὑποκειμένου οὔτε ποιότητος οὔτε ποσότητος οὔτε τινὸς τῶν παρὰ τὴν οὐσίαν γενῶν, ἐν δὲ τῇ συ-

8. τῷ] τὸ T. 10. scrib. καθ' ἕκαστον. et ita v. 20.

ναμφοτέρῳ τε καὶ ἐνύλῳ οὐσίᾳ σύνθετον μὲν τὸ γένος καὶ τὸ κοινὸν ὡς σύνθετον ἐν αὐτῇ. ὡς γὰρ τὰ καθέκαστα ἐν τῷ ζώῳ σύνθετα, οὕτω δὴ καὶ τὰ εἴδη αὐτῶν καὶ τὰ γένη· τὸ γὰρ ζῶον εἶδός τι σημαίνει σὺν ὕλῃ, οὐ μὴν τὸ ἕτερον μέρος ἐστὶ τοῦ συναμφοτέρου ὡς ὕλη. ἀλλ' αὐτὸ τῷ ζώῳ εἶναί ἐστι τὸ εἶναι ἐξ ἀμφοῖν. διὸ οὐδ' ἐχωρίζετο τῆς ὕλης παραπλησίως· ἔχον γάρ τι τοῦ εἴδους ἐν τῷ τοῦ οἰκείου λόγῳ ἐν τῇ φθορᾷ τοῦ ὅλου, ἥτις γίνεται κατὰ τὴν τοῦ εἴδους φθορὰν, καὶ αὐτὸ κατὰ τὴν τοῦ φθαρτοῦ κοινωνίαν φθείρεται. διὸ τὸ ἐν Σωκράτει ζῶον μόριόν πως ὂν τοῦ γένους οὐχ ὑπομένει φθειρομένου Σωκράτους· τοῦτό τοι κἂν πάντα τὰ καθέκαστα ζῶα φθαρῇ ἀναιρεῖται καὶ τὸ ὡς γένος ζῶον ὂν τῆς ὕλης μηδὲν τοιοῦτο πασχούσης. οὐδὲ τὰ εἴδη ὁμοίως ἔν τε τῇ ὕλῃ ἔν τε τῷ γένει· ἐν μὲν γὰρ τῇ ὕλῃ πᾶν τὸ εἶδος γίνεται οὔσῃ χωρὶς εἴδους κατὰ τὸν ἑαυτῆς λόγον, ἐν δὲ τῷ γένει φθάσαν ἤδη τὸ εἶδος τὸ κοινότερόν τε καὶ ἐν πᾶσιν τοῖς ὑπὸ τὸ γένος εἴδεσιν συνείληπται. διὸ οὐδὲ τὸ εἶδος πᾶν ἔτι ἐν τῷ γένει γίνεται τῷ μέρος αὐτοῦ φθάσαν τὴν τοῦ γένους συμπληροῦν φύσιν, αἱ δὲ διαφοραὶ αἱ τὸ κοινὸν τοῦ εἴδους διαιροῦσαί εἰσιν αἱ τῷ γένει συντιθέμεναι. διὸ τὸ μὲν γένος ἀχώριστον τούτων ὧν ἐστι γένος καὶ συμφθειρόμενον αὐτοῖς, καὶ οὐκ

7. αὐτὸ τῷ] fort. αὐτῷ τό. 8. fort. οὐδὲ χωρίζεται τῇ ὕλῃ. 9. τοῦ οἰκείου] fort. οἰκείῳ. 14. τοῦτό τοι] abundant.

εἰδῶν ἀλλὰ μέρους εἰδῶν δεκτικὸν, καὶ οὐδὲ τούτων ὡς ὑποκείμενον δεκτικὸν, ἀλλὰ τῇ νοήσει λαμβανόμενόν τε καὶ χωριζόμενον τῶν σὺν οἷς ἐστιν αὐτῷ τὸ εἶναι, τῆς ὕλης πρώτης οὔσης παντὸς τοῦ ἐνύλου σώματος. ἡ μὲν γὰρ οὐκ οὖσά πως κατὰ τὸν οἰκεῖον λόγον ἐνεργείᾳ δεξαμένη τὸ εἶδος τόδε τι γίνεται ἡ πρώτη οὖσα ἀρχὴ τοῦ τόδε τι καὶ συναμφοτέρου, τὸ δὲ γένος ἀπὸ τούτων ἐνύλων τε καὶ καθέκαστον τοῦ εἶναι λαμβανομένου διὰ τὸν χωρισμὸν τῶν τὴν διαφορὰν αὐτοῦ δεικνύντων τε καὶ ποιούντων. καὶ ἡ μὲν ὕλη πᾶσι τοῖς ἐν γενέσει τε καὶ φθορᾷ αἰτία τοῦ εἶναί τε καὶ ὑφεστάναι, τὰ δὲ γένη ἐν τοῖς διὰ τὴν ὕλην τὸ εἶναί τε καὶ τὴν ὑπόστασιν ἔχουσιν ἐπιγίνεται ἔργον τοῦ συντιθέντος αὐτὰ διὰ τοῦ τῶν ἄλλων τῶν συνυπαρχόντων αὐτῷ τῇ ἐπινοίᾳ χωρισμοῦ.

7. τοῦ τόδε] τοῦτο δέ vulg. 8. τούτων] fort. τούτων τῶν. scrib. καθέκαστα. 9. τοῦ] τὸ vulg. quod si verum est, λαμβάνον scribendum. 15. τοῦ] τὰ τοῦ vulg.

ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ

ΦΥΣΙΚΩΝ ΣΧΟΛΙΩΝ

ΑΠΟΡΙΩΝ ΚΑΙ ΛΥΣΕΩΝ

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

Τί ἐστιν ἀνάμνησις. α΄.

Ἀνάμνησίς ἐστιν εὕρεσις διὰ ζητήσεως φαντάσματος ὃ ἐγένετό ποτε ἐν τῷ σώματι ἐν ᾧ ἡ αἰσθητικὴ ψυχή.

Λέξεως ἐξήγησις ἐκ τοῦ δευτέρου περὶ ψυχῆς λόγου Ἀριστοτέλους, δι' ἧς λέγει θεωροῦν γὰρ γίνεται τὸ ἔχον τὴν ἐπιστήμην, ὅπερ οὐκ ἔστιν ἀλλοιοῦσθαι εἰς αὐτὸ γὰρ ἡ ἐπίδοσις καὶ εἰς ἐντελέχειαν. β΄.

Εἰπόντος Ἀριστοτέλους ἐν τῷ δευτέρῳ περὶ ψυχῆς ἐπὶ τῆς ἀπὸ τῆς ἕξεως, ἣν εἶπεν

6. ἀνάμνησις] vid. Arist. de memoria cap. 2. pag. 451. b, 2. 9. περὶ ψυχῆς] II. 5. pag. 417, b. 5. 15. ἐπὶ] fort. περί. ἕξεως] λέξεως T.

δευτέραν δύναμιν· πρώτη γὰρ ἦν δύναμις πρὸς τὴν ἀνάληψιν τῆς ἕξεως ἐπιτηδειότης· εἰπόντος οὖν αὐτοῦ περὶ αὐτῆς οὕτως· θεωροῦν γὰρ γίνεται τὸ ἔχον τὴν ἐπιστήμην, ὅπερ οὐκ ἔστιν ἀλλοιοῦσθαι· εἰς αὐτὸ γὰρ ἡ ἐπίδοσις καὶ εἰς ἐντελέχειαν, ἢ ἕτερον γένος ἀλλοιώσεως· διὸ οὐ καλῶς ἔχει λέγειν τὸ φρονοῦν ὅταν φρονῇ ἀλλοιοῦσθαι, ὥσπερ οὐδὲ τὸν οἰκοδόμον ὅταν οἰκοδομῇ. τὸ μὲν οὖν εἰς ἐντελέχειαν ἄγον ἐκ δυνάμει ὄντος κατὰ τὸ νοεῖν καὶ φρονεῖν οὐ διδασκαλίαν ἀλλ' ἑτέραν ἐπωνυμίαν ἔχειν δίκαιον· ταῦτ' εἰπόντος αὐτοῦ ἐζητήθη καθόλου ἀπὸ τῆς ἐξηγήσεως, εἰ εἰς τὴν ἐνέργειαν μεταβολὴ κίνησίς ἐστιν. εἰ γὰρ μὴ ἀλλοίωσις, πολὺ μᾶλλον ἂν οὐκ εἴη τις τῶν ἄλλων κινήσεων. τὸ γὰρ ἀπὸ τῆς νοητικῆς ἕξεως μεταβάλλον εἰς τὸ νοεῖν τε καὶ ἐνεργεῖν ἀλλοίωσις μὲν οὐκ ἂν εἴη τις, εἰ ἡ μὲν ἀλλοίωσις κατὰ πάθος μεταβολὴ, ἡ δὲ οὐκ ἔστιν μεταβολὴ κατὰ πάθος εἴ γ' ἔστιν εἰς ταὐτὸν ἐπίδοσις. καί ἐστιν ἡ ἀπὸ τῆς ἕξεως ἐνέργεια σωστικὴ τῆς ἕξεως καὶ τελειότης αὐτῆς, εἴ γε τέλος ἑκάστῳ τὸ οὗ χάριν ἐστὶ, πᾶσα δὲ ἕξις ἕνεκα τῆς ἐνεργείας γίνεται τῆς κατ' αὐτήν. εἰ δὲ μὴ κατ' ἀλλοίωσιν ὁ οὕτως ἐνεργῶν κινεῖται, πολὺ

4. οὐκ] ἢ οὐκ Aristotelis libri. 7. οὐ καλῶς ἔχει] οὐκ ἄλλως ἐκεῖ T. λέγειν] λέγει vulg. 11. νοοῦν καὶ φρονοῦν Aristotelis libri. 14. εἰ] fort. εἰ ἡ. 19. εἰ om. T.

μᾶλλον οὐδ' ἂν κατὰ τόπον ἢ κατ' αὔξησιν κινοῖτο· σωμάτων γὰρ αἱ κινήσεις τοιαίδε. καὶ γὰρ ἀπὸ τῶν κατὰ τὰς τέχνας ἕξεων ἐνέργειαι γίνοιντο μὲν διὰ κινήσεως, ἐπεὶ σωματικῆς ὑπηρεσίας δέονται, αὗται δὲ καθὸ τελειότητές εἰσι τῶν ἕξεων, οὐκ ἂν κινήσεις εἶεν. μήποτ' οὖν ἄμεινον γενέσεις αὐτὰς λέγειν τινὰς, εἴ γε πρὸς τὴν τελειότητα τῶν οὐσιῶν ὧν εἰσι συντελοῦσιν. οὐ γὰρ ἑκάστῳ τῶν διὰ γενέσεως τὸ εἶναι ἐχόντων ἐπὶ τὴν τελειότητα πρόσοδος τῆς γενέσεως αὐτοῦ μέρος. τρόπον οὖν τινα μέρος τῆς γενέσεως τῆς τέχνης καὶ ἡ ἀπὸ τῆς ἕξεως εἰς τὴν ἐνέργειαν μεταβολὴ γινομένη διὰ κινήσεως τινῶν, ἐπεὶ καὶ πᾶσα γένεσις δοκεῖ γίνεσθαι διὰ κινήσεων. ἀλλ' εἰ τοῦτο ἐπὶ τῶν τεχνῶν χρὴ λέγειν, ἆρά γε δεῖ τὸ αὐτὸ τοῦτο λέγειν καὶ ἐπὶ τῶν κατὰ τὰς θεωρητικὰς ἐπιστήμας, ἐνεργειῶν τινων οὐσῶν καὶ αὐτῶν; πολὺ γὰρ ἐπὶ τούτων εὐλογώτερον τὸ μὴ εἶναι κίνησίν τινα. ἀλλ' εἰ χρὴ καὶ ταῦτα γενέσεις λέγειν, πᾶσα δὲ γένεσις διὰ κινήσεως, διά τινων κινουμένων εἴη ἂν γινομένη τοιάδε γένεσις. ἢ δεῖ πρῶτον γενέσθαι γνώριμον εἰς τίνος τελειότητα ἡ τοιάδε ἐνέργεια συντελεῖ; ἢ αἱ μὲν κατὰ τὰς τέχνας τῶν τεχνῶν καὶ τῶν τὰς τέχνας ἐχόντων,

1. κινοῖτο] κινεῖ T. 2. σωμάτων] τὸ σῶμα τῶν vulg. κινοῖ τὸ σῶμα, σωμάτων Bagolinus. 3. ἀπὸ] fort. αἱ ἀπό. γίνοιντο] fort. γίνονται 4. μὲν] μὲν ἢ T. ἐπεὶ] ἐπὶ T. 8 οὐ γὰρ] num ἐν γάρ? 10. ἐπὶ] fort. ἡ ἐπί. 13. κινήσεως] fort. κινήσεων. 21. κινουμένων] κινήσεων V, fort. διὰ τίνων κινήσεων. ἢ] εἰ T.

καθό εἰσι τεχνῖται, ἐπὶ δὲ τοῦ νοῦ καὶ τῶν ἀρετῶν καὶ τῶν θεωρητικῶν ἕξεων εἰς τὴν τοῦ ἀνθρώπου τελειότητα συντελοῖ ἂν ἡ ἀπὸ τῶν ἕξεων τούτων ἐνέργεια, εἴ γε καὶ αἱ ἕξεις αὗται τελειότητές εἰσι τῆς τοῦ ἀνθρώπου φύσεως, καθὸ ἄνθρωπός ἐστι; κυρίως γὰρ ἄνθρωπος ὁ τὰς ἕξεις ἔχων τε καὶ ἐνεργῶν κατὰ ταύτας, καθ' ἃς τῷ ἀνθρώπῳ τὸ μάλιστα καὶ κυρίως εἶναι ἀνθρώπῳ. αἱ δὴ διδασκαλίαι κινήσεις τε καὶ ἀλλοιώσεις εἰσὶ τῶν ἕξεων, τούτων ποιητικαὶ δι' ὧν ἡ τοῦ ἀνθρώπου τελειότης γίνεται, εἶεν ἂν καὶ τῶν ἀπ' αὐτῶν ἐνεργειῶν αἴτιαι, εἴ γε πᾶν τὸ τὴν ἕξιν ἔχον εὐθὺς ἐνεργεῖ κατ' αὐτὴν, εἰ μήτις ἐμποδίζοι τῶν ἐμποδιζόντων ταῖς ἐνεργείαις ἀναίρεσις καὶ αὐτὴ γινομένη μετά τινος κινήσεως.

Λέξεως ἐξήγησις ἐκ τοῦ δευτέρου ὁμοίως περὶ ψυχῆς, δι' ἧς περὶ αἰσθήσεως λέγει, ἔστι δὲ ἥδε· διωρισμένων δὲ τούτων λέγωμεν κοινῇ περὶ πάσης αἰσθήσεως. γ'.

Εἰπὼν περὶ τῆς θρεπτικῆς δυνάμεως τῆς ψυχῆς ἐπὶ τὸν περὶ αἰσθήσεως μέτεισι λόγον, καὶ πρῶτον μὲν καθόλου καὶ κοινῶς περὶ αἰσθήσεως λέγει, ἔπειτα ἐρεῖ προελθὼν περὶ ἑκάστης ἰδίᾳ. πρῶτον μὲν οὖν λαμβάνει, ὅτι ἡ αἴσθησις γίνε-

3. συντελοῖ ἂν ἡ] συντελοίη et ἂν post ἀνθρώπου T. 9. αἱ δὴ] fort εἰ δή. 18. περὶ ψυχῆς] II, 5.

ται ἐν τῷ κινεῖσθαί τι καὶ πάσχειν· διὰ γὰρ κινήσεώς τινος καὶ πάθους γίνεσθαι δοκεῖ· λαβὼν δὲ τὸ τὴν αἴσθησιν δι' ἀλλοιώσεως καὶ πάθους γίνεσθαι ἐμνημόνευσε τοῦ πάθους καὶ τοῦ πάσχειν, ὅπως γίνεται, ὅτι γὰρ τοῖς μὲν δοκεῖ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχειν, τοῖς δὲ τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου. τούτου δ' ἐμνημόνευσεν, ἐπεὶ πρὸς τὸ ἀποδοῦναι τί ποτ' ἔστιν αἴσθησις χρήσιμον αὐτῷ τὸ κεῖσθαι ὑπὸ τίνος πάσχει τὰ πάσχοντα, ἐπεὶ καὶ ἡ αἴσθησις κεῖται πάθος τι εἶναι καὶ διὰ πάθους· πρὸ δὲ τοῦ περὶ τούτου διαρθρῶσαι πρῶτον ἀπορήσας περὶ τῆς αἰσθήσεως, διὰ τί ὄντων ἐν τοῖς αἰσθητηρίοις τῶν αἰσθητῶν οὐκ αἰσθάνεται ἡ αἴσθησις τούτων, ἀλλὰ τῶν ἐκτὸς μόνων, καὶ λύσας τὴν ἀπορίαν τῷ τόγε δυνάμει τὴν αἴσθησιν εἶναι· ἡ γὰρ αἴσθησις πρὸς τὸ αἰσθητὸν, αἰσθητὸν δ' αὐτῇ τὸ κεχωρισμένον· οὐδὲν γὰρ ὑφ' ἑαυτοῦ πάσχει, ἡ δὲ αἴσθησις διὰ πάθους· ἔστ' ἂν οὖν μὴ παρῇ τὸ αἰσθητὸν, δυνάμει ἡ αἴσθησίς ἐστι· λαβὼν δὲ τὸ διχῶς λέγεσθαι τὸ αἰσθάνεσθαι (καὶ γὰρ δυνάμει καὶ ἐνεργείᾳ), ἔλαβεν τὸ τῆς αἰσθήσεως, τὴν μὲν εἶναι δυνάμει, τὴν δὲ ἐνεργείᾳ, ὁμοίως δὲ καὶ τὸ αἰσθητόν. λαβὼν δὲ τὸ τὴν αἴσθησιν διὰ πάθους γίνεσθαι καὶ τὴν μὲν δυνάμει, τὴν δὲ ἐνεργείᾳ, ἐφεξῆς λέγει περὶ τοῦ πάσχοντος ὑπὸ τίνος πάσχει, ὃ πρὸ ὀλίγου ἐκίνησε. καὶ λαβὼν ὅτι πᾶν τὸ πάσχον πάσχει ὑπὸ τοῦ κινητικοῦ καὶ ἐνεργείᾳ ὄντος τούτου, ὃ τὸ πάσχον ὑπ' αὐτοῦ

1. πάσχει vulg. 16. τόγε] infra τὸ δέ, fort. τότε 17. αὔτη vulg. 21. λέγεται T. 25. καί] τὴν αἴσθησιν T.

δύναται γενέσθαι, ἔδειξεν ἐκ τούτου, ὅτι τὸ πάσχον ἐστὶ μὲν ὡς ὑπὸ ὁμοίου πάσχει, ἔστι δὲ ὡς ὑπὸ ἀνομοίου πάσχει· πάσχει μὲν γὰρ ἀνόμοιον, πεπονθὸς δὲ ὅμοιόν ἐστιν. χρήσιμον δ' αὐτῷ τοῦτο πάλιν πρὸς τὸ καὶ [τὸ] τὴν αἴσθησιν τὴν δυνάμει, εἰ διὰ πάθους γίνεται, πάσχουσαν μὲν ἀνομοίαν εἶναι τῷ ποιοῦντι ὅ ἐστι τὸ αἰσθητὸν, παθοῦσαν δὲ καὶ γενομένην ὁμοίαν αὐτῷ εἶναι. οἷς ἐφεξῆς ἐπέλαβεν τὴν αἴσθησιν τὴν μὲν δυνάμει εἶναι, τὴν δὲ ἐντελεχείᾳ, καὶ διαίρεσιν ποιεῖται τοῦ δυνάμει καὶ τοῦ ἐντελεχείᾳ, βουλόμενος δι' αὐτοῦ δεῖξαι, ὅτι μὴ κυρίως πάσχειν λέγεται ἡ αἴσθησις καὶ κινεῖσθαι. οὐ γὰρ πάσης δυνάμεως ἡ εἰς ἐνέργειαν πρόοδος διὰ πάθους καὶ κινήσεως· διχῶς γὰρ τὸ δυνάμει ἐπιστῆμον, ὁμοίως δὲ καὶ πᾶν ἄλλο λέγεται. τό τε γὰρ φύσιν ἔχον δέξασθαι ἐπιστήμην δυνάμει ἐπιστῆμον, ἀλλὰ καὶ τὸ ἔχον ἤδη καὶ δεδεγμένον τὴν ἐπιστήμην, μὴ ἐνεργοῦν δὲ κατ' αὐτὴν δυνάμει λέγεται ἐπιστῆμον, ὅτι μὴ ὁμοίως λέγεται, ἔδειξεν. εἰπὼν δὲ καὶ τὸν ἔχοντα μὲν ἤδη τὴν ἐπιστήμην μὴ ἐνεργοῦντα δὲ δυνάμει ἔτι καὶ αὐτὸν ἐπιστήμονα λέγεσθαι, προσέθηκεν ὁ ἤδη θεωρῶν τε καὶ ἐνεργῶν οὗτός ἐστιν ὁ κυρίως λεγόμενος ἐπιστήμων, οὐκ ἔτι ὢν δυνάμει. ἐφ' οἷς τὴν διαφορὰν λέγων τῶν δυνάμει λεγομένων ἐπίστασθαι ἔδειξεν, ὅτι

2. πάσχειν vulg. post ὁμοίου et ἀνομοίου. 3. ἀνόμοιον] fort. ὂν add. — τὸ ἀνόμοιον Aristot. libri plerique. 5. τὸ del. 6. δυνάμει] δύναμιν vulg. 8. ὁμοίαν] ὅμοιον V. ὁμοίως T. 19. αὐτὴν] αὐτὸ vulg. ἐπιστῆμον] ἐπιστήμων V. ἐπιστήμην T. 20. ὅτι] fort. ὅτι δὲ, vid. Arist. p. 417, 26. 23. ἤ ὁδη] ὅτι μηδὲ T. 24. οὐκ ἔτι ὢν] οὐ καὶ τῶν T.

ὁ μὲν πρῶτος λεγόμενος δυνάμει ὁ κατὰ τὸ πεφυκέναι οὐκ ἄλλως εἰς τὸ ἐνεργείᾳ γενέσθαι μεταβάλλει, εἰ μὴ διὰ τοῦ παθεῖν τε καὶ ἀλλοιωθῆναι, διὰ μαθήσεως δὲ ἤδη ἔχων εἰς τὸ ἐνεργεῖν οὐ διὰ πάθους ἔτι καὶ ἀλλοιώσεως μεταβάλλει. δείξας δ' ὅτι μὴ παντὸς τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ μεταβολὴ διὰ πάθους τε καὶ ἀλλοιώσεως, ἐφεξῆς καὶ τοῦ ἀλλοιοῦσθαί τε καὶ πάσχειν διαίρεσιν ἐποιήσατο, καὶ ἔλαβεν τὸ μέν τι φθορὰν εἶναι ὑπὸ τοῦ ἐναντίου καὶ ἔκστασιν τοῦ ἐν ᾧ ἦν, ὡς πάσχει πάντα τὰ εἰς τὰ ἐναντία μεταβάλλοντα, τὸ δέ τι πάσχειν εἶπεν εἶναι οὐ τῷ φθείρεσθαι, ἀλλὰ τῷ σώζεσθαι καὶ ἐν ἐπιδόσει γενέσθαι τῇ καθὸ ἔχει ὑπὸ τοῦ ἐνεργείᾳ ὄντος καὶ ὁμοίου. ἡ γὰρ κατὰ τὴν ἕξιν καὶ τοιαύτην δύναμιν ἐνέργεια τελειότης οὖσα τῆς ἕξεως οὐ κατὰ τὴν εἰς τοὐναντίον μεταβολὴν γίνεται, ἀλλὰ κατὰ τὴν τοῦ αὐτοῦ ἐξ ἀργίας εἰς ἐνέργειαν· τὸ γὰρ ἔχον τὴν ἐπιστήμην ἐνεργοῦν γίνεται κατ' αὐτὴν, ὃ εἰς τὸ αὐτὸ καὶ ὅμοιον ἐπίδοσίς ἐστιν. ὁμοίως δὲ εἰπὼν, ὡς δύναμις ἔχει πρὸς ἐντελέχειαν, πῶς καὶ ποία δύναμις καὶ πρὸς ποίαν ἐντελέχειαν ἔδειξεν προσθεὶς, θεωροῦν γὰρ γίνεται τὸ ἔχον τὴν ἐπιστήμην, ἥτις μεταβολὴ οὐκ ἔστιν ἀλλοίωσις, εἴ γε ἡ μὲν ἀλλοίωσις ἐξ ἄλλου εἰς ἄλλο καὶ ἐξ ἐναντίου ἐστὶ μεταβολὴ, ἡ δ' ἐκ τοῦ οὕτω δυνάμει εἰς τὴν ἐνέργειαν· εἰς αὐτὸ γὰρ, τουτέστιν ὃ ἔχει καὶ καθὸ

3. malim ἀλλοιωθῆναι διὰ μαθήσεως, ὁ δὲ 12. πάσχειν] πάσχον T. 23. θεωροῦν] II. 5. p. 417, b. 5.

ἔχει, ἐπίδοσίς ἐστιν· ἤ, εἰ δεῖ καὶ τοῦτο ἀλλοίωσις λέγειν, ἕτερον ἄν τι εἴη γένος καὶ ἄλλη τις φύσις ἀλλοιώσεως. ὅτι δὲ τὸ πάσχειν ὡς ἴσον ἔλαβεν τῷ ἀλλοιοῦσθαι ἔδειξεν εἰπών, ὅπερ οὐκ ἔστιν ἀλλοιοῦσθαι· ὡς γὰρ ἴσον εἴη ἂν αὐτῷ, ὅπερ οὐκ ἔστι πάσχειν· ὃ δείξας προσέθηκεν, ὅτι μὴ χρὴ λέγειν τὸν φρονοῦντά τι καὶ νοοῦντα ἀλλοιοῦσθαι, εἰ δὲ μὴ ἀλλοιοῦσθαι, οὐδὲ κινεῖσθαι· εἰ γὰρ μὴ ἀλλοίωσις, δῆλον ὡς οὐδὲ κατὰ τόπον οὐδὲ ποιὸν μεταβολή· τοιαύτη δὲ καὶ ἡ τοῦ δυνάμει αἰσθανομένου εἰς τὸ ἐνεργείᾳ αἰσθάνεσθαι ἐπίδοσίς τε καὶ μεταβολή· διὸ κοινότερον ἡ αἴσθησις ἀλλοίωσις· εἰπὼν δὲ ταῦτα διέξεισιν ἐπ' αὐτοῖς ὁποία μὲν μεταβολὴ ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ ἀλλοίωσίς ἐστι, ποία δὲ οὔ. ἡ μὲν γὰρ ἐκ τῆς ἕξεως εἰς τὴν ἐνέργειαν τὴν διὰ ταύτην, ὡς τὸ νοεῖν ἔχειν καὶ τὸ φρονεῖν, ἐπεὶ μὴ διὰ διδασκαλίας γίνεται, οὐκ ἀλλοίωσις οὐδὲ κίνησις, ἀλλ' ἕτερόν τι γένος μεταβολῆς· ὑπὸ γὰρ τὴν γένεσιν εἴη ἂν τοιαύτη μεταβολή, εἴ γε τὸ τελειοῦσθαι καὶ ἡ εἰς τοῦτο ἐπίδοσις γινομένου πώς ἐστι, τὴν δὲ ἐκ τῆς ὑλικῆς δυναμέως εἰς τὴν ἕξιν μεταβολήν, ἥτις γίνεται κατὰ διδασκαλίαν τινὰ καὶ μάθησιν, ἤτοι οὐδ' αὐτὴν διὰ πάθους γίνεσθαι ῥητέον, εἴ γε γίνεται καὶ αὐτὴ εἰς τὸ ἐνεργείᾳ τὴν ἕξιν ἔχειν καὶ τελειότητα ἐκ τῆς ὑλικῆς δυνάμεως·

3. ὅτι] ἔτι T. 5. ἂν] ἐν T. 13. ἀλλοίωσις] fort. ἀλλοιώσεως. 22. ἐστι τὴν δὲ] ἐπὶ τὴν vulg. 23. μεταβολὴ vulg. 25. αὐτὴν] ἂν τὴν T. εἴτε T. 26. αὐτὴν T.

γένεσις γάρ πως καὶ ἡ τοιαύτη μεταβολή· ἢ εἰ καὶ τὴν τοιαύτην μεταβολὴν λέγοι τις ἀλλοίωσιν τῷ μὴ φυσικοῦ τινος εἴδους ἀνάληψιν εἶναι, δύο χρὴ τρόπους ἀλλοιώσεως εἶναι λέγειν, τήν τε ἐπὶ τὰς ἕξεις γινομένην καὶ τὴν φύσιν τε καὶ τὸ κατὰ φύσιν (τὸ γοῦν βέλτιον μέρος ὢν δύναται τὸ δυνάμενον κατὰ φύσιν αὐτῶν), τὴν δέ τινα ἀπ' αὐτῶν βελτιόνων ἕξεων εἰς τὰς στερητικὰς διαθέσεις. εἰπὼν δὲ ταῦτα καὶ διορίσας μετῆλθεν ἐπὶ τὴν αἴσθησιν, καὶ ἔδειξεν τίς μὲν ἡ πρώτη δύναμίς ἐστι, καὶ πῶς καὶ ὑπὸ τίνος εἰς τὴν ἕξιν μεταβάλλει ἡ τοιαύτη δύναμις, πῶς δὲ καὶ ὑπὸ τίνος ἡ δευτέρα εἰς τὴν ἐνέργειαν, καὶ λέγει τὴν μὲν ἐκ τῆς ὑλικῆς δυνάμεως μεταβολὴν εἰς τὴν κατὰ τὴν ἕξιν γενέσθαι ὑπὸ τοῦ γεννῶντος, δῆλον ὅτι τὸ ζῶον· τὸ γὰρ γεννώμενον οὐδέπω τὴν ἕξιν ἔχει τὴν αἰσθητικὴν, ἀλλ' ἔτι ἐστὶ δυναμένης ἕξεως δεκτικόν· γεννηθὲν δὲ ἔχει τὴν αἰσθητικὴν ἕξιν εὐθὺς, ὥσπερ τὸ ἀναλαβὸν τὴν ἐπιστήμην. δείξας δὲ πῶς ἑκάτερον τῶν δυνάμει ἐπὶ τῆς αἰσθήσεώς ἐστιν, προσέθηκεν, ὅτι καὶ τὸ κατ' ἐνέργειαν δὲ αἰσθάνεσθαι ὁμοίως λέγεται τῷ θεωρεῖν τε καὶ νοεῖν· μόνον γὰρ ταύτῃ διαφέρουσιν ἥ τε αἰσθητικὴ καὶ νοητικὴ ἐνέργεια· ἔξωθεν γὰρ καὶ οὐκ ἐν τῷ αἰσθανομένῳ καὶ τὸ ἀκουόμενον ὑπ' αὐτοῦ καὶ τὸ ὁρώμενον, ὁμοίως δὲ καὶ τῶν ἄλλων. ἑκάστου οὖν αἰτίαν ἀπέδωκεν, ὅτι ἡ μὲν αἴσθησις ἀντιληπτική ἐστι τῶν

1. ἢ εἰ] εἰ vulg. 3. τῷ] τὸ T. 7. ἀπ' αὐτῶν] fort. ἀπὸ τῶν. 18. ἔχει] ἔτι T.

καθέκαστα, οὐχ οἷόν τε δὲ εἶναι ἐν τῷ αἰσθανομένῳ, ἀλλ' οἰκείαν ὑπόστασιν ἔχει· ἡ δ' ἐπιστήμη καὶ ὁ νοῦς τῶν καθόλου θεωρητικά, ἃ καθόλου οὐκ ἔχει ἰδίαν ὑπόστασιν, ἀλλ' ἐν αὐτῇ πώς ἐστι διανοίᾳ, τὸ πὼς προσθείς, ὅτι ἡ μὲν ὑπόστασις καὶ τούτοις καὶ τοῦ εἶναι ἡ αἰτία ἐν τοῖς καθέκαστα, ὡς δὲ κοινὰ ἐν τῷ νοεῖσθαι τὸ εἶναι ἔχει, καί ἐστιν ὡς κοινῶν ὄντων τὸ εἶναι ἐν τῷ νοοῦντι αὐτῷ νῷ. διὸ καὶ νοεῖν μὲν ἐφ' ἡμῖν, αἰσθάνεσθαι δὲ οὐκ ἐφ' ἡμῖν, ἐπεὶ πρὸς παρὸν μὲν καὶ παρόντος ἡ αἴσθησις, οὐκ ἐφ' ἡμῖν δὲ ἡ τῶν αἰσθητῶν παρουσία, ὡς ὅτε βουλόμεθα ἔχειν αὐτά. ὡς δὲ αἱ αἰσθήσεις ἔχουσιν, οὕτω καὶ αἱ τέχναι, ὅσαι περὶ αἰσθητά· οὐ γὰρ ἐπὶ τοῖς ταῦτα ἔχουσι τὸ ἐνεργεῖν ὅτε βούλονται τοῦ δεῖν αὐτοῖς παρεῖναι τὰ περὶ ἃ ἐνεργοῦσιν. ὑπερθέμενος δὲ τὸ περὶ τῆς τῶν αἰσθητῶν τε καὶ νοητῶν διαφορᾶς ἐπὶ πλέον νῦν λέγει τὸ μὲν νοεῖν ἐφ' ἡμῖν, τὸ δὲ αἰσθάνεσθαι οὐκ ἐφ' ἡμῖν, τὰ εἰρημένα τε καὶ δεδειγμένα τῇ αἰσθήσει ἐφαρμόσας ἀπέδωκεν τὸν κοινὸν λόγον τῆς αἰσθήσεως. ἔδειξεν γὰρ πρῶτον, ἐπεὶ διχῶς λέγεται τὸ δυνάμει· (ἄλλως γὰρ λέγεται ὁ παῖς δύνασθαι στρατηγεῖν καὶ ὁ τέλειος ἄλλως· οὗτος γὰρ οὐχ ὁμοίως τῷ τὴν μὲν ἕξιν ἔχοντι μηδέπω δὲ ἐνεργοῦντι), κατὰ τὸ δεύτερον σημαινόμενον τοῦ δυνάμει τὸ δυνάμει αἰσθάνεσθαι καὶ

16. τοῦ] fort. τῷ. 20. τε] fort. δέ.

τὴν δυνάμει αἴσθησιν λέγεσθαι. ὧν δυνάμεων εἰπὼν ἐπεὶ οὐκ ὠνόμασται ἡ διαφορά, φανερὰ δὲ γέγονεν διὰ τοῦ λόγου, χρῆσθαι δὲ ἀναγκαῖον καὶ τῷ πάσχειν καὶ τῷ ἀλλοιοῦσθαι ὡς κυρίοις ὀνόμασιν τῆς μεταβολῆς τῆς ἐκ τῆς κατὰ δύναμιν αἰσθήσεως εἰς τὴν ἐνέργειαν, ὅτι μὴ ἔχομεν ἄλλα τινὰ ὀνόματα κύρια αὐτῶν, ἦλθεν ἐπὶ τὸ λόγον ἀποδοῦναι τῆς αἰσθήσεως, καὶ εἶπεν τὸ αἰσθητικὸν δυνάμει εἶναι οἷον τὸ αἰσθητὸν ἤδη ἐντελεχείᾳ ἐστὶν, ὃ πάσχει μὲν ὑπὸ τοῦ αἰσθητοῦ οὐδέπω ὅμοιον ὂν αὐτοῦ, παθὸν δὲ ὡμοίωται καί ἐστιν οἷον ἐκεῖνο, τὸ δὲ παθὸν ὡς ἴσον πᾶν ἢ τῷ ἀλλοιωθὲν εἶπεν. ἀποδοὺς δὲ τοῦτον τὸν λόγον οὐχ ὡς κυρίως ὄντος τοῦ αἰσθάνεσθαι, ἀλλὰ διὰ τὴν τῶν κυρίων ὀνομάτων ἀπορίαν (ἐδείχθη γάρ, ὅτι οὐκ ἔστιν ἡ τοῦ οὕτω δυνάμει εἰς τὸ ἐνεργείᾳ μεταβολὴ οὔτε πάθος οὔτε ἀλλοίωσις οὔτε κίνησις), ἐπὶ τὰ περὶ ἑκάστης αἰσθήσεως κατ' ἰδίαν λέγειν μετῆλθεν.

Τὰ δὲ κεφάλαια τῶν εἰρημένων. πρῶτον ἔλαβεν, ὅτι ἡ αἴσθησις ἐν τῷ κινεῖσθαί τε καὶ πάσχειν, μεθ' ὃ ἐζήτησεν, πῶς τὸ πάσχειν τὸ εἰ δύναταί τι καὶ ὑπὸ τοῦ ὁμοίου πάσχειν, ἐφ'

1. δυνάμει αἴσθησιν] δύναμιν αἰσθήσει T. 6. οτι] ὅτι εἰ V, ἔτι εἰ T, num ἐπεὶ latet? 10. ἤδη] ἡ δὲ T. πάσχει] πᾶς ἔχει T. 13. ἢ] fort. ἦν. 22. τε] supra erat τί, eadem varietas in Aristot. libris. 23 τὸ εἰ] fort. καὶ εἰ.

οἷς ἀπορήσας, διὰ τί οὐχὶ καὶ τῶν αἰσθητηρίων αὐτῶν αἴσθησις γίνεται ὄντων αἰσθητῶν, εἰς τὴν λύσιν τῆς ἀπορίας ἔλαβεν τὸ εἶναι τὸ δὲ δυνάμει τὴν αἴσθησιν, καὶ διὰ τοῦτο δεῖν αὐτὴν πρὸς τὴν ἐνέργειαν παρόντων τῶν αἰσθητῶν ποιεῖν δυναμένων. ἐφ' οἷς ἔλαβεν, διχῶς ἡ αἴσθησις, ἡ μὲν δυνάμει ἡ δὲ ἐνεργείᾳ, μεθ' ἃ εἶπεν δεῖν λέγειν ἔτι, εἰ μηδέπω διώρισται, τίνι διαφέρει τὸ κινεῖσθαί τε καὶ πάσχειν τοῦ ἐνεργεῖν ἐν τῷ πάσχειν τε καὶ κινεῖσθαι κινουμένου, ἐπεὶ καὶ λέγεται ἡ κίνησις ἐνέργειά τις εἶναι. ἐφ' οἷς ἔλαβεν, ὅτι πάντα πάσχει, καὶ κινεῖται [τε] ὑπὸ τοῦ ποιητικοῦ ἐνεργείᾳ ὄντος τούτου ὃ δύναται τὸ πάσχον γενέσθαι· διὸ πάσχον μὲν ὅτι ἀνόμοιον, ἐπεὶ πᾶν τὸ πάσχον ἀνόμοιον, πεπονθὸς δὲ ὅμοιον. ἐπεὶ τῇ αἰσθήσει ἦν καὶ δύναμις καὶ ἐνέργεια, καὶ ἔδειξεν διττὸν τὸ δυνάμει, καὶ ὅτι μὴ πάντως τῷ δυνάμει ἡ εἰς τὴν ἐνέργειαν μεταβολὴ δι' ἀλλοιώσεως, ἐφ' οἷς διαίρεσιν ἐποιήσατο τοῦ ἀλλοιοῦσθαι· τούτου γὰρ δηλωτικὸν τὸ πάσχειν· τὸ μὲν γάρ τι πάσχειν κατὰ φθορὰν γίνεται ἥτις ὑπὸ ἐναντίου γίνεται, τὸ δέ τι πάσχειν λέγεται σωζόμενον καὶ ἐπιδιδὸν εἰς τὴν αὐτοῦ τελειότητα ὑπὸ τοῦ ὁμοίου αὐτοῦ· ὁμοία γάρ πως ἡ ἀπὸ τῆς ἕξεως ἐνέργεια τῇ ἕξει, ἀφ' ἧς γίνεται, ὃ

3. τό δὲ] supra τόγε fort. τότε. 4. δεῖν] fort δεῖσθαι. 12. πάσχει] τῷ πάσχειν vulg. 13. τε del. ἐνεργείᾳ] scrib. καὶ ἐνεργείᾳ. 15. ὅτι] fort. τι. 17. καὶ ante ἔδειξεν fort. 25. αὐτοῦ] scrib αὐτῷ.

πάσχειν οὐκ ἀλλοίωσις ἂν εἴη. ἐφ' οἷς ἔδειξεν, ὅτι ἡ κατὰ τὴν δύναμιν αἰσθήσεως εἰς τὴν κατ' ἐνέργειαν μεταβολὴ οὐκ ἔστιν ἡ αὐτὴ τῇ κατ' ἀλλοίωσιν γινομένῃ. ἀλλ' οὐδ' οὕτω πάσχει τὸ αἰσθανόμενον, ὡς ἔπασχε τὰ φθειρόμενα, ἀλλ' ὡς τὸ εἰς ἑαυτὸ ἀποδεῖ. καὶ τὴν τελειότητα διορίσας εἰπὼν δεῖν τοῖς κοινοῖς ὀνόμασι χρῆσθαι ἐν τῷ λόγῳ τῷ τῆς αἰσθήσεως, ἐπεὶ μὴ ἔχομεν τὰ κύρια τῶν σημαινομένων, ἀπέδωκεν λόγον αὐτῆς καὶ εἶπεν τὴν αἴσθησιν δυνάμει τὸ αἰσθητικὸν εἶναι, ὁποῖόν ἐστι τὸ αἰσθητὸν ἐντελεχείᾳ, πάσχον δὲ ὑφ' ἑαυτοῦ καὶ δι' ἄλλου, οὐ μὴν ὡς εἶπεν πρότερον γίνεσθαι τὴν κατ' ἐνέργειαν αἴσθησιν, πῶς δεῖ τοῦ πάσχειν καὶ ἀλλοιοῦσθαι ἀκούειν ἐπὶ τῆς μεταβολῆς τῆς κατὰ τὴν δύναμιν αἰσθήσεως εἰς τὴν ἐνέργειαν προειρηκώς. ὁ δ' ἀποδοθεὶς λόγος τῆς αἰσθήσεώς ἐστι τὸ αἰσθητικὸν δυνάμει ὂν οἷον τὸ αἰσθητὸν ἤδη ἐστὶν ἐντελεχείᾳ, ὃ πάσχον μὲν ὑπ' αὐτοῦ οὐδέπω ὅμοιόν ἐστι, πεπονθὸς δὲ ὅμοιον.

2. ἢ] εἰ T. αἰσθήσεως] αἰσθησείη T. 6. ἀποδεῖ] sed ut id quod in se ipsum convertitur. Bagolinus. 9. σημαινομένων post hoc verba quae infra leguntur πῶς δεῖ τοῦ . . . προειρηκὼς inserit Bagolinus. 13. μὴν] μὲν T. πρότερον] πρότερον τοῦ vel ἢ Bagolinus vertit. 16. αἴσθησιν T.

Πῶς οὐχὶ καὶ ἡ πρόσοδος τοῦ ἡλίου καὶ ἡ ἄφοδος ὁμοίως αἰτία γενέσεως καὶ φθορᾶς. ἡ γὰρ ἄλλου γένεσις ἄλλου φθορά. δ'.

Εἰ προσιόντος μὲν ἐγγυτέρω τοῦ ἡλίου γένεσίς ἐστιν, ἀπιόντος δὲ πόῤῥω φθορὰ, ἔστιν δ' ἡ ἄλλου γένεσις ἄλλου φθορὰ, καὶ ἡ ἄλλου φθορὰ γένεσις ἄλλου, πῶς οὐχ ἅμα καὶ φθορᾶς καὶ γενέσεως αἴτιός ἐστι καὶ προσιὼν καὶ ἀπιὼν, εἴ γε δεῖ καὶ τὰ γινόμενα ἐξ ἄλλων τινῶν γίνεσθαι φθορᾶς, καὶ τὰ φθειρόμενα εἰς ἄλλων γένεσιν μεταβάλλειν; οὕτω δ' οὐδὲν ἂν ἔτι διαφέροι ἡ πρόσοδος αὐτῷ τῆς ἀφόδου. ἢ εἰ τῶν γινομένων τὰ μέν ἐστι προηγούμενα, τὰ δὲ δεύτερα καὶ τοῖς προηγουμένως γινομένοις ὑπεναντία, εἴη ἂν ἡ μὲν τῶν προηγουμένων γένεσις κυρίως, ἣ γίνεται προσιόντος ἑκάστοις τοῦ ἡλίου, καὶ ἐπεὶ ἡ τινῶν γένεσις ἄλλων ἐστὶ φθορὰ, εἴη ἂν φθειρόμενα τὰ τοῖς προηγουμένως γινομένοις ἐναντία; ἡ δὲ φθορὰ τῶν προηγουμένων, ἥτις καὶ κυρίως φθορὰ, γένεσις δὲ τῶν τούτοις ἀντικειμένων, οὐκ οὖσα κυρίως γένεσις ἀποχωροῦντος ποῤῥωτέρω, εἰ κατὰ φύσιν αἱ γενέσεις γίνοιντο καὶ φθοραὶ, μηδενὸς ἀντιβαίνοντός τε καὶ ἀντικόπτοντος τῶν

4. προσιόντος] vid. Arist. περὶ γενέσεως καὶ φθορᾶς II, 10. pag. 336, b, 17. 13. αὐτῷ] fort. αὐτοῦ. ἡ om. T. 16. ἣ] ἡ T. ἡ V. 19. τὰ] τὰ φθορὰ T.

αἰτίων. ἐν δὲ ταῖς ἀνωμαλίαις ταῖς τοιαύταις γίνοιντο ἄν ποτε καὶ ἔμπαλιν· λέγεται γὰρ γένεσις καὶ φθορὰ κυρίως ἐπὶ τῶν προηγουμένως γινομένων, ταῦτα δ' ἔστι τὰ βελτίω τῶν κατ' ἀντίθεσιν γινομένων ἐξ ἀλλήλων. καὶ γὰρ γενέσεις αἱ τούτων γενέσεις, καὶ φθοραὶ αἱ γινόμεναι κατὰ τὴν ἐνιαύσιον τοῦ ἡλίου περίοδον, προσιόντος μὲν οἷς πρόσεισιν προδήλως γίνονται, ἀπιόντος δὲ φθείρονται καὶ θνήσκουσιν.

Ὅτι τὸ ἁπλῶς ἐξ ἀνάγκης γίνεσθαι καὶ μὴ ἐξ ὑποθέσεως ἐν τοῖς ἀεὶ κύκλῳ γινομένοις ἐστίν. ε.

Τὸ ἁπλῶς ἐξ ἀνάγκης γίνεσθαί τινα Ἀριστοτέλης ἐδίδαξεν ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς β̄ ἐπὶ μόνων ἀληθὲς ὂν τῶν κύκλῳ γινομένων καὶ ἀκολουθούντων τῇ τῶν θείων σωμάτων περιφορᾷ. ἐπεὶ γὰρ τὸ ἐξ ἀνάγκης ἀεί ἐστι, τὸ γὰρ ἐξ ἀνάγκης τοῦ ἀϊδίου δηλωτικόν ἐστι, καὶ ἐξ ἀνάγκης ἂν εἴη ταῦθ' ἃ γινόμενα ἀναγκαίως τε καὶ ἀεὶ γίνεται. εἰ δὲ γίνεται τὰ γινόμενα πάλιν καὶ πάλιν, ταῦτα δέ ἐστι τὰ ἀνακυκλούμενα, ταῦτ' οὖν ἐστι καὶ γινόμενα ἐξ ἀνάγκης. ὅτι γὰρ μηδὲν τῶν ἐπ' εὐθείας γινομένων, ταῦτα δ' ἐστὶ τὰ μὴ πάλιν γινόμενα, ὅτι δὴ μηδὲν τῶν

2. γίνοιντο fort. γίνοιτο. 14. περὶ γενέσεως καὶ φθορᾶς] II, 9 seqq. conf. supra II, 22.

οὕτω γινομένων ἐξ ἀνάγκης γίνεται οὕτως ἔδειξεν. τῶν ἐπ' εὐθείας γινομένων ἤτοι ἐπ' ἄπειρον ἔτι γίνεται, ὥς ἀεὶ μέν τινα αὐτῷ προσθήκην γίνεσθαι, μηδέποτε δ' αὐτὸ παύεσθαι τοῦ γίνεσθαι τελειωθὲν, ἢ οὕτως ἐπ' ἄπειρον γίνεται, ὡς ἄλλο ἐξ ἄλλου γίνεσθαι καὶ μηδέποτε ἵστασθαι, ἢ πέρας τε λαμβάνει καὶ παύεταί ποτε γινόμενον. οὔτε δὲ ἐν τοῖς ἐπ' ἄπειρον γινομένοις τῶν ἐπ' εὐθείας οἷόν τε γίνεσθαι ἐξ ἀνάγκης ἁπλῶς, οὔτε ἐν τοῖς πέρας ἔχουσιν, διὸ τὸ ἐξ ἀνάγκης γινόμενον οὕτω γίνεται, ἢ διὰ τὸ γινόμενον λοιπὸν ἀΐδιον μένειν, ἢ διὰ τὸ ἀεὶ γίνεσθαι. οὐδὲν δὲ τῶν γινομένων οὔτε γενομένων ἀΐδιον μένειν οἷόν τε, οὔτ' ἐπ' ἄπειρον γίνεται· πᾶσά τε γὰρ γένεσις πεπερασμένη, καὶ μετὰ τὸ γενόμενον φθαρῆναι οὐκ ἔτ' ἀνακάμπτει οὐδὲ γίνεται πάλιν· τοιοῦτο γὰρ ἦν τὸ ἐπ' εὐθείας, ὥστε οὐδὲν τῶν ἐπ' εὐθείας γινομένων πεπερασμένως ἐξ ἀνάγκης οἷόν τε λέγειν γίνεσθαι. τὰ μὲν γὰρ γινόμενά ἐστι τὰ καθέκαστα, ὁ Σωκράτης, ὁ Πλάτων, ὅδε ἵππος, τούτων οὐχ οἷόν τε πάλιν ἀνακάμπτειν καὶ γίνεσθαι πάλιν. εἰ γὰρ ἦν τι τούτων ἐξ ἀνάγκης, τὸ γινόμενον, ἀληθὲς ἐπ' αὐτῶν καὶ τὸ εἰ τὸ πρῶτον τὸ ὕστερον· νῦν δ' οὐχ οὕτως ἔχει. κατὰ γὰρ τὸ εἶδος τὰ τοιαῦτα διαμένει ἀΐ-

1. ἔδειξεν] ibidem II, 11 pag. 337, b, 25 seqq. 3. ἔτι] fort. τι. 21. ὅδε] ὁ δὲ vulg. 23. τὸ γινόμενον ἀληθὲς] fort. ἀληθὲς ἂν ἦν.

δια, ὃ οὐκ ἔστι γενόμενον, ἦν δὲ τὸ ζητούμενον περὶ τῶν γινομένων. εἰ δὲ καὶ οἱ ἄνθρωποι ἀεὶ γίνονται καὶ οὐ διαλείπουσιν, ἀλλὰ κύκλῳ καὶ ἡ τούτων γένεσις, καθὸ ἄνθρωποι ἂν εἶεν ἐξ ἀνάγκης γινόμενοι, καθὸ ὁ μὲν Πλάτων, ὁ δὲ Σωκράτης. ἢ ἡ τούτων γένεσις ἐπ' ἄπειρον ἐπ' εὐθείας ἐστὶν ἄλλοτε ἄλλου γινομένου καὶ μηδέποτε ἐπὶ τοῦ αὐτοῦ; διὸ ἐπὶ τούτου μὲν ἡ ἀκολουθία ὑγιὴς ἡ εἰ τὸ ὕστερον, ἐξ ἀνάγκης καὶ τὸ πρῶτον. ὅτι δὲ μηδ' ἐπ' ἄπειρον οὔσης τῆς ἐπ' εὐθείας γενέσεως [εἰ] οἷόν τέ τι ἐξ ἀνάγκης γίνεσθαι, ἔδειξεν διὰ τοῦ ἐπὶ τῶν ἐξ ἀνάγκης γενομένων ἀληθῆ ἀκολουθίαν εἶναι, οὐ μόνον τὴν εἰ τὸ ὕστερον καὶ τὸ πρῶτον· αὕτη μὲν γὰρ καὶ ἐπὶ τῶν ἐνδεχομένως γινομένων ἀληθής· ἐφ' ὧν δ' ἐξ ἀνάγκης τι τῶν ὑστέρων ἁπλῶς γίνεται, ἐπὶ τούτων ἀληθὲς καὶ τὸ εἰ τὸ πρῶτον τὸ ὕστερον. τῷ μὲν γὰρ ἐξ ἀνάγκης τὸ ὕστερον γενέσθαι, εἶναι δ' ἀληθὲς ἐπὶ πάντων τῶν γινομένων, εἰ τὸ ὕστερον, καὶ τὸ πρῶτον ἀνάγκη γενέσθαι, ἀναγκαῖον, ἐφ' ὧν τὸ ὕστερον ἐξ ἀνάγκης γίνεται, ἐπὶ τούτων καὶ τὸ πρῶτον ἐξ ἀνάγκης γενέσθαι. ἐπὶ δὲ τοῦ ἐπ' ἄπειρον γινομένου οὐδέν ἐστιν ὕστερον, ἐφ' οὗ ἔσται ἀληθὲς τὸ ἐξ ἀνάγκης αὐτὸ ἁπλῶς ἐσόμενον· οἷς δὲ τὸ ὕστερον μὴ ἐξ ἀνάγκης ἁπλῶς, ἐπὶ τούτων οὐδὲ τὸ πρὸ τοῦ ὑστέρου

4. καθὸ] fort. οὐ καθό. 7 ἐπὶ τοῦ] fort. ἔτι τοῦ. 8. ἡ] ἢ T. 9. δὲ om. T. 10. εἰ] del. 14. ἐνδεχομένως] ἐνδεχομένων vulg. 17. τῷ] τῶν vulg. 25. τὸ] τὸν vulg.

οἷόν τε λέγειν ἐξ ἀνάγκης ἔσεσθαι ἁπλῶς. τὸ γὰρ ἀναγκαῖον τοῖς πρὸ τοῦ ὑστέρου παρὰ τοῦ ὑστέρου, ὅταν ἐξ ἀνάγκης ἐκεῖνο γίνοιτο, μηδενὸς δὲ ὄντος ὑστέρου ἐπὶ τῶν οὕτω γινομένων οὐδ' ἂν τῶν πρώτων τι γινομένων ἐν αὐτοῖς γίνοιτο ἐξ ἀνάγκης, ἀλλ' ἔσται ἐπ' αὐτῶν ἀληθὲς τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον, τὸ εἰ τὸ ὕστερον, ἔσται ἐξ ἀνάγκης καὶ τὸ πρῶτον αὐτοῦ. ἀπορήσειε δ' ἄν τις, εἰ ἐπὶ τῶν κύκλῳ γινομένων καὶ ἀνακαμπτόντων πάλιν ἀληθὴς ἀκολουθία ἡ εἰ πρῶτον καὶ τὸ ὕστερον. ἢ ἐπὶ τῶν ὡρισμένως γινομένων ὑπὸ τῶν κύκλῳ κινουμένων ἀληθὴς ἡ τοιαύτη ἀκολουθία; εἰ γὰρ τροπαὶ χειμεριναὶ καὶ ἰσημερία, καὶ εἰ ἰσημερία καὶ τροπαὶ θεριναί, καὶ εἰ τροπαὶ θεριναὶ ἰσημερία, καὶ εἰ αὕτη τροπαὶ χειμεριναί, ἀλλὰ καὶ εἰ χειμὼν καὶ ἔαρ, καὶ εἰ ἔαρ θέρος, καὶ εἰ θέρος μετόπωρον, καὶ εἰ μετόπωρον χειμών, πάλιν καὶ εἰ ἐπὶ τῶν πρώτων ῥηθέντων ἡ τάξις ὡρισμένη καὶ ἑστῶσα καὶ οὔτε ὑπολείπουσά ποτε οὔτε προλαμβάνουσα, ὅτι τῆς τούτων οὐσίας τε καὶ τάξεως αἰτία μόνη ἡ τῶν πρώτων κίνησις σωμάτων, οὐδενὸς εἰς αὐτὴν ἄλλου συντελοῦντος. διὸ καὶ τὸν χρόνον ἐστὶν ἐπὶ τούτων ὁρίζοντας λέγειν, πότε ἐξ ἀνάγκης ἔσται, θέρη δὲ καὶ μετόπωρα καὶ χειμῶνες οὐκέθ' ὁμοίως ἔχουσι τὸ ὡρισμένον, καίτοι γινόμενα κύκλῳ καὶ ἑπόμενα τῇ κινήσει καὶ αὐτὰ τῶν ἀϊδίων, ὅτι ταῦτα καὶ ὑπὸ τῆς

3. γίνοιτο scrib. γίνηται. 25. δὲ] τε T.

ὕλης πρὸς τὸ γίνεσθαι συνεργεῖται πασχούσης ὑπὸ τῆς ἐκείνων κινήσεως, ἥτις ἐπεὶ μὴ πάντων ὁμοίως ᾖ ἕπεται κατὰ τὰ πάθη ταῖς ἐκείνων κινήσεσί τε καὶ περιφοραῖς, οὐχ ὁμοίως τοῖς καθ' ἕκαστον ὥρισται. ἔτι δὲ μᾶλλον τὸ ἀόριστον ἐν τοῖς πλειόνων δεομένοις συνεργούντων αὐτοῖς πρὸς τὸ εἶναι, ὧν ἐστι καὶ ἡ τῶν ζώων γένεσις. διὸ ἀληθὲς ἐπ' αὐτῶν καθόλου, ὅτι ἀΐδιον ἕκαστον αὐτῶν κατ' εἶδος· τούτου γὰρ αἰτία ἡ τῶν θείων περιφορὰ, τῆς δὲ τῶν καθ' ἕκαστα γενέσεως, ἐφ' ὧν τὸ πλεῖστον δύναται ἡ τῶν προσεχῶς ποιητικῶν αἰτία, οὐκ ἐπὶ τούτων ἀληθὲς τὸ εἰ τὸ πρῶτον, ἐξ ἀνάγκης τὸ ὕστερον, ἀληθὲς δὲ τὸ εἰ τὸ ὕστερον, ἐξ ἀνάγκης καὶ τὸ πρὸ αὐτοῦ.

Λέξεως ἐξήγησις ἐκ τοῦ τρίτου περὶ ψυχῆς Ἀριστοτέλους, δι' ἧς ἔδειξεν, ὅτι μὴ πλείους τῶν πέντε εἰσὶν αἰσθήσεων ς'.

Εἰ γὰρ παντὸς οὗ ἐστιν αἴσθησις ἁφὴ, καὶ νῦν αἴσθησιν ἔχομεν· πάντα γὰρ τὰ τοῦ ἁπτοῦ ᾗ ἁπτὸν τῇ ἁφῇ ἡμῖν αἰσθητά ἐστιν, ἀνάγκη τε εἴπερ ἐκλείπει τις αἴσθησις, καὶ αἰσθητήριόν τι ἡμῖν ἐκλιπεῖν· καὶ ὅσων μὲν αὐτοὶ ἁπτόμενοι αἰσθανό-

6. ἐν τοῖς] ἐν οἷς vulg. 15. περὶ ψυχῆς] III, 1. 19. τὰ om. T. 22. ἐκλείπειν V. (fort. ex Arist. Aldino) 23. αὐτοὶ] αὐτῶν plerique Arist. libri.

μεθα, τῇ ἁφῇ αἰσθητά ἐστιν, ἣν τυγχάνομεν ἔχοντες· ὅσα δὲ διὰ τῶν μεταξὺ καὶ μὴ αὐτῶν ἁπτόμενοι, τοῖς ἁπλοῖς, λέγω δ' οἷον ἀέρι τε καὶ ὕδατι ἕως τοῦ ὥστ' εἰ μή τι ἕτερόν ἐστι σῶμα καὶ πάθος, ὃ μηδενός ἐστι τῶν ἐνταῦθα σωμάτων, οὐδεμία ἂν ἐκλείποι αἴσθησις· δοκεῖ μοι ὁ νοῦς τοῦ λεγομένου συντελοῦντι εἰς τὰς κυρίας προτάσεις τῶν λόγων τοιοῦτος εἶναι. ὧν ἔχομεν τὰ αἰσθητήρια, τούτων πάντων καὶ αἴσθησιν ἔχομεν. εἴ τινων μὴ ἔχομεν αἴσθησιν, τούτων τῷ μὴ ἔχειν τὰ αἰσθητήρια αὐτῶν οὐκ αἰσθανόμεθα. εἶπεν δὲ τὸ μὲν ἐξ ὧν ἔχομεν πάντων διὰ τοῦ εἰ γὰρ παντὸς οὗ ἐστιν αἴσθησις ἁφὴ, καὶ νῦν αἴσθησιν ἔχομεν· πάντα γὰρ τὰ τοῦ ἁπτοῦ ᾗ ἁπτὸν πάθη τῇ ἁφῇ ἡμῖν αἰσθητά ἐστιν. εἰπὼν γὰρ ἐπὶ τῆς ἁφῆς κατέλιπεν τὸ καὶ ἐπὶ τῶν ἄλλων αἰσθητηρίων τε καὶ αἰσθήσεων προσθεῖναι, ὧν πάντων ληφθέντων γίνεται καθόλου τὸ εἰ ὧν

3. ἁπλοῖς] ἁπλοῖς διαστήμασι V. (fort. ex Aldino Aristotele) 4. δ'] om. T. ἕως τοῦ] pag. 425, 11. 5. ωστε εἰ μή τι ἕτερον] sic ut videtur V. nisi ex Aristotele correctum est, μηδέτερον T. 8. συντελοῦντι] num idem quod προσέχοντι? Ceterum neque Alexandri interpretatio, neque reliquorum quos vide apud Trendel. admitti potest; immo corruptus esse videtur Aristotelis locus, et aperta est sententia quam dicit; est autem haec. εἰ γὰρ παντὸς οὗ ἐστιν αἴσθησις, καὶ τὴν αἴσθησιν ἔχομεν, . . . ἀνάγκη εἴπερ ἐκλείπει τις αἴσθησις, καὶ αἰσθητήριόν τι ἡμῖν ἐκλιπεῖν. id quod primum exemplo ἁφῆς declaratur. Sic et grammatica constructio Aristoteli frenquentata redit; nunquam enim ἀνάγκη τε dicit.

ἔχομεν τὰ αἰσθητήρια, τούτων πάντων καὶ αἴσθησιν ἔχομεν. τὸ δὲ εἴ τινων μὴ ἔχομεν αἴσθησιν, τούτων τῷ μὴ ἔχειν τὰ αἰσθητήρια αὐτῶν οὐκ αἰσθανόμεθα, εἶπεν πάλιν διὰ τοῦ αὐτοῦ ἀνάγκη τε, εἴπερ ἐκλείπει τις αἴσθησις, καὶ αἰσθητήριόν τι ἡμῖν ἐκλείπειν, ὅτι συνημμένον δυνάμει προσλαμβάνει τὸ ἀντικείμενον τοῦ ὑποκειμένου τῷ ἑπομένῳ τὸ ἀλλὰ μὴν οὐδὲν ἡμῖν αἰσθητήριον ἐλλείπει οὗ δειχθέντος ἕπεται τὸ μηδ' αἴσθησίν τινα ἐκλιπεῖν. δυνάμει δ' εἶπον, ὅτι μὴ ἀντικρὺς τοῦτο προσλαμβάνει, ἀλλὰ λαβὼν τίνα ἔχομεν αἰσθητήρια, καὶ δείξας ὅτι πλείω τούτων οὐχ οἷόν τέ ἐστιν αἰσθητήρια, δείκνυσιν, ὅτι μηδὲν ἡμῖν αἰσθητήριον λείπει. λαμβάνει δὲ τίνας ἔχομεν αἰσθήσεις διὰ τῶνδε. καὶ ὅσων μὲν αὐτοὶ ἁπτόμενοι αἰσθανόμεθα, τῇ ἁφῇ αἰσθητὰ εἶναι, ἣν τυγχάνομεν ἔχοντες· ὅσα δὲ διὰ τῶν μεταξὺ καὶ μὴ αὐτῶν ἁπτόμενοι, τοῖς ἁπλοῖς, λέγω δ' οἷον ἀέρι καὶ ὕδατι. διὰ γὰρ τούτων ὅτι τὸ ἁπτικὸν αἰσθητήριον ἔχομεν, ἔλαβεν, καὶ πρὸς τούτῳ, ὅτι ὧν αἰσθανόμεθα διά τινος μεταξὺ, τοῖς ἁπλοῖς σώμασιν τούτων ἡ αἴσθησις γίνεται, ἐξ ὧν ἔχομεν αἰσθητήρια, ἐξ ὕδατός τε καὶ ἀέρος. οἷς ἀκόλουθον ὂν τὸ δεῖξαι, ὅτι τῶν ἁπλῶν σωμάτων ἐκ τῶν δύο τούτων μόνων αἰσθητήρια δύναται εἶναι, ἐκ δὲ πυρὸς καὶ γῆς οὐχ

6. ἐκλείπειν] ἐκλείπει vulg. 10. τὸ] τοῦ T. 21. τούτῳ] τοῦτο vulg.

οἷόν τε εἶναι αἰσθητήριον. τούτου γὰρ δειχθέντος δεδειγμένον γίνεται καὶ τὸ μηδὲν ἡμῖν αἰσθητήριον λείπειν. ὁ δὲ τοῦτο μὲν ὕστερον δείκνυσι, πρῶτον δὲ ἐπιλαμβάνει τρία εἶναι τὰ αἰσθητήρια τὴν ἁφὴν καὶ τὰ ἐκ τῶν ἁπλῶν, τό τε ἐκ τοῦ ὕδατος καὶ τὸ ἐκ τοῦ ἀέρος, πλείω δέ ἐστι τὰ εἴδη τῶν αἰσθητῶν, εἴ γε τὰ μέν ἐστιν ὁρατὰ, τὰ δ' ἀκουστὰ, τὰ δ' ὀσφρητὰ, τὰ δὲ γευστὰ, τὰ δὲ ἁπτά. ὅτι μηδὲ ἰσάριθμα τὰ αἰσθητήρια εἶναι τοῖς αἰσθητοῖς δείκνυσιν διὰ τοῦ ἔχει δ' οὕτως, ὥστ' εἰ μὲν δι' ἑνὸς πλείω αἰσθητὰ ἕτερα ὄντα ἀλλήλων τῷ γένει, ἀνάγκη τὸν ἔχοντα τὸ τοιοῦτο αἰσθητήριον ἀμφοῖν αἰσθητικὸν εἶναι. ἔστι γὰρ διὰ τοῦτο λαμβάνειν τὸ ὅτι, εἴ γε εἴη τινὰ ἃ διαφέροντα ἀλλήλων τῷ γένει αἰσθητὰ δι' ἑνός τινος αἰσθητηρίου αἰσθητὰ γινόμενα, τὸ ἔχον τὸ ἓν τοῦτο αἰσθητήριον ἀμφοτέρων τῶν τῷ γένει διαφερόντων αἰσθητῶν αἰσθάνεται. οὐ γὰρ, ἐπεὶ δύο καὶ τῷ γένει διαφέροντα αἰσθητὰ, τά τε ἀκουστὰ καὶ τὰ ὀσφραντὰ, δεῖ αὐτῶν καὶ τὰ ὄργανα δι' ὧν ἐστιν αἰσθητὰ διαφέροντα εἶναι· δι' ἀέρος γὰρ ἀμφοτέρων ἡ ἀντίληψις, ὥσθ' ὁ τοῦτο ἔχων ἀμφοτέρων ἂν διὰ τούτου ἀντιλαμβάνοιτο. πάλιν δὲ αὖ, εἰ πλείω εἴη αἰσθητήρια τὰ δι' ὧν οἷόν τε ἑνὸς αἰσθάνεσθαι, ὡς ἔχειν δοκεῖ τὰ ὀσφραντά· τούτων γὰρ δοκεῖ καὶ δι' ὕδατος καὶ ἀέρος αἴσθησις γίνεσθαι· δι' ὕδατος μὲν γὰρ τὰ ἔνυδρα,

ἀέρος δὲ τὰ ἀναπνέοντα δοκεῖ ὀσμῆς ἀντιλαμβάνεσθαι, ἐπειδὴ τούτων πάντα τὸ ἕτερον τούτων ἔχοντα τὸ αἰσθητήριον μόνον αἰσθήσεται αὐτῶν· οὐ γὰρ δεῖ ἀμφότερα ἔχειν τὸ μέλλον ὀσμῆς αἰσθάνεσθαι· ταῦτα λαβὼν καὶ ἀνελὼν δι' αὐτῶν τὸ ἀνάγκη εἶναι ε̄ τὰ αἰσθητήρια, ἐπεὶ τοσαῦται τῶν αἰσθητῶν κατὰ γένος διαφοραὶ, ἐφεξῆς δείκνυσιν, ὅτι μὴ οἷόν τε εἶναι αἰσθητήριον ἐξ ἄλλου τινὸς τῶν ἁπλῶν σωμάτων ἢ ἐξ ὕδατος καὶ ἀέρος, ὧν τὴν μὲν κόρην ᾗ τῶν ὁρατῶν αἰσθανόμεθα, ἐξ ὕδατος ἔχομεν, τὴν δ' ἀκοὴν ἀέρος, τὴν δ' ὄσφρησιν ἡμεῖς μὲν καὶ τὰ μὴ ἔνυδρα ἐξ ἀέρος, τὰ δὲ ἔνυδρα ἐξ ὕδατος. οὔτε δὲ ἐκ πυρὸς οἷόν τε αἰσθητήριον εἶναι, ὡς ἐν τῷ περὶ αἰσθήσεώς τε καὶ αἰσθητῶν δείξει, οὔτε ἐκ γῆς μόνης. εἰ δὲ τοῦτο, οὐχ οἷόν τε ἄλλο τι αἰσθητήριον εἶναι παρὰ ταῦτα. ταῦτα δ' ἔχει τὰ τέλεια τῶν ζώων· οὐδὲν ἐλλείπει αἰσθητήριον τοῖς τὰς πέντε αἰσθήσεις ἔχουσιν, ὥστε οὐδ' αἴσθησις. οὐδὲν γὰρ παρὰ τὰ τέσσαρα οἷόν τε ἁπλοῦν παθητὸν εἶναι σῶμα, ὡς ἐξ ἐκείνου δύνασθαί τι αἰσθητήριον εἶναι. δεῖ μὲν γὰρ τὸ αἰσθητήριον πάσχειν τι ὑπὸ τοῦ αἰσθητοῦ, διὸ καὶ παθητοῦ εἶναι σώματος, τὸ δὲ ε̄ σῶμα ἀπαθὲς ἐνδέδεικται.

1. ἀέρος] fort. δι' ἀέρος. 2. πάντα] fort. πάντα τά. 3. τὸ] abundat. 11. ἀέρος] fort. ἐξ ἀέρος. 15. δείξει] cap. 2. 17. ταῦτα semel T. om. οὐδέν] fort. οὐδὲ nisi deest concludendi particula. 21. ὡς om. T.

Ἄλλης λέξεως ἐξήγησις ἐκ τοῦ τρίτου περὶ ψυχῆς, δι' ἧς ζητεῖ, πῶς ἡ συναίσθησις ἡμῖν γίνεται αἰσθανομένοις. ζʹ.

Ἐπεὶ αἰσθανόμεθα ὅτι ὁρῶμεν καὶ ἀκούομεν, ἀνάγκη ἤτοι ὄψει αἰσθάνεσθαι εἴ τι ὁρᾷ, ἢ ἑτέρᾳ.

Ζητεῖ, πῶς ἡ συναίσθησις ἡμῖν γίνεται, ἐπειδὰν αἰσθανώμεθά τινων καί τινι, αἰσθανόμεθα δὲ αὐτῶν αἰσθανόμενοι· παντὶ γὰρ αἰσθανομένῳ τινὸς πρὸς τῇ ἀντιλήψει τούτου οὗ αἰσθάνεται, γίνεται συναίσθησίς τις καὶ τοῦ ὅτι αἰσθάνεται· αὕτη ἤδη συναίσθησις πότερον ἡμῖν διὰ τῆς αὐτῆς αἰσθήσεως γίνεται, δι' ἧς καὶ τοῦ αἰσθητοῦ ἡ ἀντίληψις, ὡς τῇ ὄψει ἡμᾶς ὁρᾶν τε τὰ ὁρώμενα καὶ αἰσθάνεσθαι ἑαυτῶν ὁρώντων, ἢ τῇ μὲν ὄψει τῶν ὁρατῶν αἰσθανόμεθα, ἄλλῃ δέ τινι τοῦ ὁρᾶν; καὶ ὅτι μὲν οὐκ ἄλλῃ, ἔδειξεν διὰ τοῦ πλείους ἔσεσθαι τοῦ αὐτοῦ αἰσθητοῦ αἰσθήσεις. εἰ γὰρ ἄλλῃ, τίς ἔσται ᾗ τοῦ ὁρᾶν αἰσθανόμεθα, εἰ μὴ αὐτὴ ἡ ὄψις, ᾗ ὁρῶμεν, ἔσται ἡ τοῦ ὁρᾶν αἰσθανομένη ἅμα καὶ χρωμάτων αἰσθανομένη; καὶ γὰρ τῆς ἐνεργείας τῆς περὶ τὰ αἰσθητὰ γινομένης αἰσθανομένη αἰσθάνοιτο καὶ

2. *περὶ ψυχῆς*] III, 2. 6. *εἴ τι*] Aristotelis libri *ὅτι*. 8. *αἰσθανώμεθα*] *αἰσθανόμεθα* vulg. 12. *ἤδη*] fort. *δὴ ἡ* 17. *τοῦ*] *οὐ τῇ τοῦ* T. *οὐκ*] *οὖν καὶ* T. 20. *εἰ μὴ αὐτὴ ἡ*] *καὶ μὴ ἡ αὐτὴ* Bagolinus vertit, quod supra *ἄλλη τις* cum vulg. legit. *ᾗ*] om. T. 22. *καὶ γὰρ*] *ἡ γὰρ* T. 23. *αἰσθανομένοι αἰσθάνοιντο* T. Addend. *ἄν*.

τούτων, περὶ ἃ ἡ ἐνέργεια ἡ κατὰ τὸ ὁρᾶν· ἔστι δὲ ταῦτα τὰ χρώματα. οὐ γάρ ἐστι τὸ ὁρᾶν ἄλλο τι ἢ ἐνεργεῖν τῇ ὄψει περὶ τὰ ὁρατά, ὥσθ' ἡ τοῦ ὁρᾶν αἴσθησις αἴσθησίς ἐστι τῆς γινομένης περὶ τὰ ὁρατὰ ἐνεργείας ὑπὸ τῆς ὁρατικῆς αἰσθήσεως. οὐχ οἷόν τε δὲ αἰσθέσθαι τῆς περὶ τάδε τινὰ ἐνεργείας μὴ καὶ τῶνδε αἰσθανόμενοι, περὶ ἃ ἡ ἐνέργεια γίνεται. ἀλλ' εἰ τοῦτο, ἔσονται τῶν αἰσθητῶν πλείους αἰσθήσεις, αὗται αἰσθανόμεναι αὐτῶν προηγουμένως καὶ αἱ τῶν ἐνεργειῶν τῶν περὶ τὰ αἰσθητὰ τῶν αἰσθήσεων αἰσθανόμεναι. τοῦτο δ' ἄτοπον τὸ τὰ ἴδια αἰσθητὰ ἑκάστῃ αἰσθήσει πλείοσιν αἰσθήσεσιν αἰσθητὰ εἶναι λέγειν. πρόσεστί τε εἰ ἄλλη μέν ἐστιν ἡ αἰσθανομένη, ἄλλη δὲ καθ' ἣν αἰσθανόμεθα ἑαυτῶν αἰσθανομένων, ἐπ' ἄπειρον προελεύσεται. καὶ γὰρ τῆς τοῦ ὁρᾶν αἰσθήσεως πάλιν ἔσται συναίσθησις ἡμῖν δι' ἄλλης τινὸς αἰσθήσεως, κἀκείνη πάλιν οὐ αἰσθανομένη ποιεῖ τὴν συναίσθησιν, ἄλλην τινὰ ἕξει τὴν αἰσθανομένην, καὶ τοῦτ' εἰς ἄπειρον. ἀτοπώτατον δὲ τοῦτο καταλείπεται τὸ τῇ αὐτῇ τῶν τε αἰσθητῶν αἰσθάνεσθαι ἡμᾶς καὶ τῆς περὶ τὰ αἰσθητὰ ἑαυτῶν ἐνεργείας. ἀλλ' εἰ ἔστιν ἐνέργεια τῆς ὁρατικῆς δυνάμεως τὸ ὁρᾶν, ἔσται ἡ ὄψις τῶν τε χρωμάτων ἀντιλαμβανομένη καὶ αὐτοῦ τοῦ ὁρᾶν. ἀλλ' εἰ οὐ ἔστιν ἡ ὄψις αἰσθητική, τοῦτ' ἀνάγκη κεχρῶσθαι,

7. τῶνδε] τῷδε vulg. 14. εἰ] εἴη vulg. 20. ἕξει] ἕξιν vulg. 22. τῇ αὐτῇ] τὴν αὐτὴν vulg.

καὶ τὸ ὁρᾶν, εἰ ἔστιν ὁρατὸν, [τὸ] κεχρωσμένον. πρώτην λύων ἀπορίαν πρῶτον μὲν ἐχρήσατο τῷ τὴν ὄψιν μὴ μόνον χρωμάτων ἢ κεχρωσμένων αἰσθητικὴν εἶναι, ἀλλὰ καὶ τῆς στερήσεως αὐτῶν· ἐδείχθη γὰρ πᾶσα αἴσθησις αἰσθανομένη καὶ τῆς στερήσεως τῶν αἰσθητῶν ἡ αὐτή. τῇ γοῦν ὄψει καὶ φωτὸς καὶ σκότους αἰσθανόμεθα. δεύτερον ἔλαβεν, ὅτι καὶ τὸ ὁρᾶν κέχρωσταί πως, εἴ γε τὸ ὁρᾶν γίνεται τοῦ αἰσθητηρίου δεξαμένου τὸ εἶδος τοῦ αἰσθητοῦ χωρὶς τῆς ὕλης τῆς ὑποκειμένης αὐτῷ, οὗ σημεῖον παρέθετο πολλάκις ἀπελθόντων τῶν ὁρωμένων ἔτι ἐν ταῖς αἰσθήσεσιν ὑπομένειν τινὰς αὐτῶν αἰσθήσεις τε καὶ φαντασίας. ταῦτ' εἰπὼν εἰς λύσιν τῶν ἠπορημένων διὰ τῶν ἑξῆς ἐχρήσατο εἰς λύσιν τῆς ἀπορίας, ὅτι γίνεται καὶ πῶς γίνεται δείκνυσιν. λέγει τὴν τοῦ αἰσθητοῦ ἐνέργειαν καὶ τὴν τῆς αἰσθήσεως μίαν εἶναι κατὰ τὸν λόγον μόνον διαφερούσας, ὅτι τῇ μὲν κατ' ἐνέργειαν αἰσθήσει τὸ εἶναί ἐστιν ἐν τῷ ἔχειν τὸ εἶδος τοῦ αἰσθητοῦ χωρὶς τῆς ὕλης, τῷ δὲ κατ' ἐνέργειαν αἰσθητῷ ἐν τῷ ἔχεσθαι τὸ εἶδος αὐτοῦ χωρὶς τῆς ὕλης. εἰ γάρ ἐστιν ἡ κίνησις ἡ ὑπὸ τοῦ κινοῦντος γινομένη ἐν τῷ κινουμένῳ, καὶ τὸ πάθος τὸ ὑπὸ τοῦ ποιοῦντος γινόμενον ἐν τῷ ποιουμένῳ καὶ πάσχοντι,

1. καὶ τὸ] τε καὶ vulg. τὸ] fort. ἔσται. 2. τῷ] τῇ τῶν vulg. 8. κέχρωσται] κεχρῶσθαι vulg. illud unus codex in Aristotele pag. 425, b. 22, ceteri κεχρωμάτισται. 18. scrib. διαφέρουσαν. 21. ἐν τῷ] ἐν om. vulg. 22. εἶδος] εἶναι T. 23 ἡ ὑπὸ] vulgo ἡ post γινομένη.

ἀνάγκη καὶ τὴν ἀπὸ τοῦ αἰσθητοῦ κίνησιν καὶ τὸ γινόμενον ὑπ᾽ αὐτοῦ πάθος ἐν τῇ κατὰ δύναμιν αἰσθήσει γενόμενον ποιεῖν τὴν κατ᾽ ἐνέργειαν αἴσθησιν· ὡς γὰρ ἡ ποίησις καὶ ἡ πάθησις ἐν τῷ πάσχοντι, ἀλλ᾽ οὐκ ἐν τῷ ποιοῦντι· ἦν γὰρ τὸ ποιοῦν πάσχον, καὶ ταὐτὸ τὸ ποιεῖν τε καὶ πάσχειν, ὡς ἔδειξεν ἐν Φυσικῇ Ἀκροάσει, οὕτω καὶ ἡ τοῦ αἰσθητοῦ καὶ ἡ τοῦ αἰσθητικοῦ. τούτων δὲ τοῦτον ἐχόντων τὸν τρόπον καὶ τῆς κατ᾽ ἐνέργειαν αἰσθήσεως γινομένης τῇ τῶν εἰδῶν τῶν αἰσθητῶν λήψει χωρὶς τῆς ὕλης, γένοιτο ἂν ἡμῖν εὐλόγως ἅμα τῇ αἰσθήσει τῶν αἰσθητῶν καὶ συναίσθησις τοῦ αἰσθάνεσθαι κατὰ τὴν αὐτὴν αἴσθησιν. τῷ μὲν γὰρ ἀπὸ τῶν αἰσθητῶν ἔξωθεν ὄντων λαμβάνειν τὸ εἶδος ἡ ἐκείνων ἀντίληψις, τῷ δὲ ἐν ἑαυτῇ τὴν αἴσθησιν τὸ εἶδος ἔχειν τῶν αἰσθητῶν, καὶ διὰ τοῦτο καὶ ταύτης πως αἰσθάνεσθαι ἡ συναίσθησις. εἰ γὰρ τὸ ὁρᾶν κατὰ τὴν τοῦ εἴδους τοῦ αἰσθητοῦ λῆψιν γίνεται, ὅμοιος δὲ ὁ λόγος καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων, λαβοῦσα τὸ εἶδος ὁρᾷ καὶ αὑτὴν ἅμα ὁρῶσαν ὁρῶσα γίνεται. ἡ μὲν δὴ συναίσθησις τοῦ αἰσθάνεσθαι γινομένη ἐν τῷ τὴν αἴσθησιν ἅμα τε τῇ τοῦ αἰσθητοῦ λήψει καὶ τῆς ἰδίας περὶ τὸ αἰσθητὸν ἐνεργείας αἰσθάνεσθαι. διὸ ἐξ ἀνάγκης ἕπεται παντὶ τῷ αἰσθανομένῳ συναισθάνεσθαι καὶ ἑαυτοῦ

1. ἀπὸ] scrib. ὑπό. 7. Φυσικῇ Ἀκροάσει] III. 3. 8. αἰσθητικωτάτου *T.* 13. συναίσθησις] συναισθήσει vulg. 24. τε] abundat. 25. λήψει] om. *T.*

αἰσθανομένου τῷ ἕπεσθαι τῇ αἰσθήσει αἰσθανομένῃ τινὸς τῶν αἰσθητῶν ἔξω ὄντος τὸ ἅμα καὶ ἑαυτοῦ αἰσθάνεσθαι.

Εἰ αἰσθητὸν ὃ πάσαις αἰσθήσεσιν κατὰ συμβεβηκὸς αἰσθητόν. η΄.

Εἰ μιᾷ αἰσθήσει κατὰ συμβεβηκός ἐστιν αἰσθητὸν τὸ ἔχον τῶν ἰδίων τι ταύτῃ τῇ αἰσθήσει αἰσθητῶν συμβεβηκὸς ἑαυτῷ (διὰ γὰρ τῆς τοῦ αἰσθητοῦ ἀντιλήψεως γίνεται καὶ ἡ τοῦ κατὰ συμβεβηκός· οὕτω γὰρ ἡ ὄψις γλυκέος ὅτι τῷ ὠχρῷ συμβέβηκεν εἶναι γλυκεῖ τε καὶ μέλιτι), εἴ τις λέγοι ὅτι πάσαις ταῖς αἰσθήσεσιν κατὰ συμβεβηκὸς εἶναι αἰσθητὸν, οὗτος λέγοι ἂν, τοῦτο ὅ φησι πάσαις κατὰ συμβεβηκὸς ταῖς αἰσθήσεσιν αἰσθητὸν εἶναι, ἔχειν τινὰ συμβεβηκότα τοιαῦτα, ὧν τὸ μὲν τῇ ἁφῇ καθ' αὑτό ἐστιν αἰσθητὸν, τὸ δὲ τῇ γεύσει, τὸ δὲ τῇ ὀσφρήσει, τὸ δε τῇ ἀκοῇ, τὸ δὲ τῇ ὄψει, ὥστ' εἴη ἂν τὸ πᾶσι κατὰ συμβεβηκὸς αἰσθητὸν τῷ πάσαις καθ' αὑτὸ εἶναί τι αἰσθητὸν ἐν αὐτῷ τούτῳ πάσαις αὐτὸ εἶναι κατὰ συμβεβηκὸς αἰσθητὸν, ἑκάστης αὐτῆς διὰ τοῦ οἰκείου αὐτοῦ αἰσθητοῦ αἰσθανομένης αὐτοῦ. οὐ γὰρ τὸ πάσαις κατὰ συμβεβηκὸς αἰσθητὸν οὐδ' ὅλως ἐστὶν αἰσθητὸν, ὡς ἂν δόξαι ἁπλῶς ἀκούσαντι. τὸ γὰρ μηδεμιᾷ αἰσθητὸν αἰσθήσει ἀναί-

1. τῷ] τοῦ vulg. 6. Εἰ] fort. ἐπεί. 13. οὗτος] οὕτω T. 22. αὐτοῦ] fort. αὐτῷ.

σθητον· οὐ ταὐτὸν δὲ τὸ πάσαις ἀναίσθητον καὶ τὸ πάσαις κατὰ συμβεβηκὸς αἰσθητὸν τῷ πάσαις κατὰ συμβεβηκὸς αἰσθητὸν τοιοῦτον εἶναι τὸ ὑποκείμενον τοῖς πάσαις ταῖς αἰσθήσεσιν αἰσθητοῖς. τῷ γὰρ τὰ συμβεβηκότα τούτου αἰσθητὰ εἶναι πάσαις, αὐτὸ δὲ μή, τούτῳ γίνεται πάσαις κατὰ συμβεβηκὸς αἰσθητόν.

Λέξεως ἐξήγησις ἐκ τοῦ τρίτου περὶ ψυχῆς, δι' ἧς δείκνυσιν Ἀριστοτέλης, ὅτι ἐστίν τι ᾧ ἅμα πάντων αἰσθανόμεθα. θ'.

Ἆρ' οὖν ἅμα μὲν καὶ ἀριθμῷ ἀδιαίρετον καὶ ἀχώριστον τὸ κρῖνον, τῷ εἶναι δὲ κεχωρισμένον; ἔστι δέ πως ὡς τὸ διαιρετὸν τῶν διηρημένων αἰσθάνεται, ἔστι δὲ ὡς ἀδιαίρετον· τῷ εἶναι μὲν γὰρ διαιρετὸν, τόπῳ δὲ καὶ ἀριθμῷ ἀδιαίρετον· ἢ οὐχ οἷόν τε; δυνάμει μὲν γὰρ τὸ αὐτὸ καὶ ἀδιαίρετον τἀναντία, τῷ δὲ εἶναι οὔ, ἀλλὰ τῷ ἐνεργεῖσθαι διαιρετὸν καὶ οὐχ οἷόν τε ἅμα λευκὸν καὶ μέλαν εἶναι, ὥστε οὐδὲ τὰ εἴδη πάσχειν αὐτῶν, εἰ τοιοῦτον ἡ αἴσθησις καὶ ἡ νόησις, ἀλλ' ὥσπερ ἣν καλοῦσί

1. καὶ τὸ πάσαις κατὰ συμβ. αἰσθητὸν om. T. 6. τούτῳ] τοῦτο vulg. 8. περὶ ψυχῆς] III. 2, p. 427. 2. 13. δὲ] μὲν δὴ V (ex Aldino Aristot.?). 18. διαιρετὸν καὶ ἀδιαίρετον καὶ V (ex Aldino Aristot.?). 22. εἰ] εἰ ἢ vulg.

τινες στιγμὴν ἢ μίαν ἢ δύο, ταύτῃ καὶ διαιρετή. ᾗ μὲν οὖν ἀδιαίρετος, ἓν τὸ κοῖνόν ἐστι καὶ ἅμα· ᾗ δὲ διαιρετὸν ὑπάρχει, δὶς τῷ αὐτῷ χρῆται σημείῳ ἅμα. ᾗ μὲν οὖν δυσὶ χρῆται, τῷ πέρατι δύο κρίνει καὶ κεχωρισμένα ἐστὶν ὡς τῷ κεχωρισμένῳ· ᾗ δὲ ἕν, ἑνὶ καὶ ἅμα.

Λαβὼν ὅτι ἑκάστη αἴσθησις ἐν τῷ αἰσθητηρίῳ οὖσα, ἐν ᾧ οὖσα αἰσθάνεται, τῶν τε αἰσθητῶν αὐτῇ αἰσθάνεται καὶ κρίνει αὐτῶν τὰς πρὸς ἀλλήλας διαφοράς· (λευκοῦ μὲν γὰρ καὶ μέλανος ὄψις, γλυκέος δὲ καὶ πικροῦ γεῦσις, ὁμοίως δὲ καὶ τῶν ἄλλων ἑκάστη), καὶ διὰ τοῦτο συστήσας, ὅτι ἡ αἰσθανομένη τινῶν καὶ τὰς διαφορὰς αὐτῶν κρίνει, (οὐ γὰρ ἄλλης μὲν τὸ αἰσθάνεσθαί τινων, ἄλλης δὲ τὸ κρίνειν τὰς διαφορὰς αὐτῶν, καθ᾽ ἅς ἐστιν αἰσθητὰ, ἀλλ᾽ ἥ τε αἰσθανομένη τινῶν καὶ κρίνει αὐτὰ, καὶ ἡ κρίνουσα τὰς διαφορὰς αὐτῶν καὶ αἰσθάνεται αὐτῶν· ταὐτὸν γὰρ κρίνειν τῷ αἰσθάνεσθαι· διὰ τοῦτο γὰρ καὶ ἡ αἴσθησις κρίσις τις εἶναι δοκεῖ), εὑρών τι οὐ μόνον τῶν ἐναντίων ἀλλήλοις αἰσθητῶν τὰς διαφορὰς κρῖνον, ἀλλὰ καὶ πάντων τῶν αἰσθητῶν· κρίνομεν γὰρ καὶ τὰς τῶν ὁρατῶν διαφορὰς πρὸς τὰς τῶν γευστῶν, ὁμοίως δὲ καὶ πρὸς τὰς τῶν ἀκουστῶν, ἀλλὰ καὶ πρὸς τὰς τῶν ὀσφρητῶν καὶ πρὸς τὰς τῶν ἁπτῶν, πρῶτον μὲν ἔλαβεν, ὅτι αἰσθήσει

1. ἢ μίαν ἢ] ἢ μίαν καὶ V. nisi ex Aldino Arist.; in Arist. vulg. ἡ μία καὶ ἡ, sed Alexandri lectionem *E* sequi videtur. 10. αὐτῇ] αὕτη vulg. 13. τοῦτο] fort. τούτου.

ταῦτα κρίνομεν· αἰσθητά τε γάρ ἐστι καὶ ὡς αἰσθητῶν αὐτῶν ποιούμεθα τὴν κρίσιν· μεθ' ὃ ἔδειξεν, ὅτι μὴ οἷόν τε κρίνειν τὰς διαφορὰς τῶν αἰσθητῶν μὴ αἰσθανόμενον αὐτῶν, μὴ ἕν τε ὂν καὶ ταὐτόν. οὐ γὰρ οἷόν τε τὸ μὴ αἰσθανόμενον πάντων κρίνειν αὐτῶν τὰς πρὸς ἄλληλα διαφοράς· εἰ γὰρ τοῦ μὲν ἄλλο, τοῦ δ' ἄλλο αἰσθάνοιτο, οὐδέτερον αὐτῶν οἷόν τε γνωρίζειν, τίνι τὰ ὧν ᾐσθάνοντο ἀλλήλων διαφέρει. καὶ γὰρ οὐδ' ἐν ἄλλῳ τινὶ ἦν τῇ αἰσθήσει τὸ κρίνειν ἢ ἐν τῷ αἰσθάνεσθαι. λαβὼν δ' ἐκ τούτων τὸ ἐνεῖναι τὸ πάντων αἰσθητῶν αἰσθανόμενόν τε καὶ κρῖνον αὐτῶν τὰς διαφορὰς, ἐφεξῆς ἔδειξεν, ὅτι καὶ [εἰ] ἐν τῷ αὐτῷ χρόνῳ καὶ ἅμα αὐτῶν αἰσθάνεται, ὅτε κρίνει τὰς διαφορὰς αὐτῶν, εἴ γε ὅτε κρίνει αὐτὰς, τότε αἰσθάνεται, κρίνει δ' ἅμα τὰς πρὸς ἄλληλα αὐτῶν διαφορὰς, καὶ αἰσθάνοιτ' ἂν ἅμα τῶν κρινομένων· ἐν γὰρ τῷ αἰσθάνεσθαι τῇ αἰσθήσει τὸ κρίνειν. ταῦτα λαβὼν, τό τε μίαν αἴσθησιν εἶναι, ᾗ πάντων αἰσθανόμεθα, καὶ τὸ ἅμα αἰσθάνεσθαι τούτων ὧν ἅμα κρίνει τὰς διαφορὰς, ἐπὶ τούτοις ἠπόρησεν, ἐπεὶ τὸ κατ' ἐνέργειαν αἰσθάνεσθαί ἐστι τὸ τὸ εἶδος τοῦ αἰσθητοῦ χωρὶς τῆς ὕλης λαμβάνειν, πῶς οἷόν τε ἕν τι ὂν ἅμα πλειόνων καὶ τῶν ἐναντίων αἰσθάνεσθαι· εἰ γὰρ τοῦτο, δεήσει αὐτὸ ἅμα ἐναντία εἴδη τε καὶ πάθη δέχεσθαι, λευκότητα καὶ μελανίαν;

4. μὴ] ἢ T. 14. εἰ] del. cum Bagolino. 15. ὅτε] Bagolinus, ὅτι vulg.

ὅταν τούτων αἰσθάνηται καὶ ταῦτα κρίνῃ, γλυκύτητα καὶ πικρότητα, ὁμοίως τὰ ἄλλα. ἀλλὰ μὴν ἀδύνατον τὸ τὰς ἐναντίας ἅμα κινήσεις κινεῖσθαι τὸ αὐτὸ, εἰς λευκότητα ἅμα καὶ μελανίαν μεταβάλλον, καὶ τὰ ἐναντία εἶναι δεχόμενον· ταῦτα δείξας καὶ ἀπορήσας, λύων τὴν ἀπορίαν ἔλαβεν τὸ ἅμα μὲν τὸ κρῖνον κρίνειν τε καὶ αἰσθάνεσθαι τῶν πλειόνων, ἓν ὂν καὶ μὴ διῃρημένον, τῷ λόγῳ κεχωρισμένον, ὡς ἓν ὄν, κατ' ἄλλην μὲν δύναμιν δεκτικὸν τοῦδέ τινος εἶναι, κατ' ἄλλην δὲ τοῦ ἐναντίου αὐτῷ ἢ διαφέροντος, ὡς ἀδιαίρετον ὂν τῷ τε τόπῳ καὶ τῷ ἀριθμῷ, τουτέστιν τῷ ὑποκειμένῳ. τόπῳ γὰρ ἀδιαίρετον τὸ ἓν ἐν τόπῳ ὄν, τοιοῦτο δὲ συνεχὲς καὶ μὴ διῃρημένον, ὃ καὶ ἕν ἐστι τῷ ἀριθμῷ. εἰπὼν δὲ τοῦτο ὡς εἰς λύσιν τοῦ ἠπορημένου ἐπήνεγκεν ἢ οὐχ οἷόν τε, δεικνὺς ὅτι μὴ λύεται τούτῳ τὸ ἠπορημένον. δύναται μὲν γὰρ ἕν τι ὂν κατ' ἀριθμὸν τῷ λόγῳ διαφέρειν τῷ δυνάμεις ἔχειν διαφερούσας, καθ' ἃς τῶν ἐναντίων ἐστὶ δεκτικὸν, οὐ μὴν οὕτω τῶν ἐναντίων τὰς δυνάμεις ἔχειν, ὡς ἅμα αὐτὰ δύνασθαι δέχεσθαι. τὸ γὰρ τῶν ἐναντίων δυνάμεις ἔχον οὐχ οὕτως ἔχειν δύναται αὐτὰς, ὡς ἅμα αὐτῶν καὶ τὰς ἐνεργείας δέχεσθαι· ἀναγκαῖον γὰρ κατὰ τὰς ἐνεργείας αὐτὸ διαιρεῖσθαι, ὡς ἐν ἄλλῳ μὲν χρόνῳ τὸ ἕτερον αὐτῶν γίγνεσθαι, ἐν ἄλλῳ δὲ τὸ ἕτερον, ἡ δὲ αἴσθησις ἅμα ἔκρινεν αὐτῶν τὰς διαφορὰς, ὡς ἅμα αὐτῶν αἰσθανομένη καὶ τὰ εἴδη λαμβάνουσα,

11. αὐτῷ] bis vulg. 23. ἔχειν] ἔχον vulg.

εἴ γε τὸ αἰσθάνεσθαι ἐν τῇ τῶν εἰδῶν τῶν αἰσθητῶν λήψει. ἐπεὶ δὲ καὶ νόησις δοκεῖ τῇ τοῦ εἴδους τοῦ νοουμένου λήψει γίνεσθαι, διὰ τοῦτο εἶπεν τὸ εἰ τοιοῦτον ἡ αἴσθησις καὶ ἡ νόησις. εἰπὼν δὲ ταῦτα καὶ δείξας, ὅτι μένει ἔτι ἡ ἀπορηθεῖσα ἀπορία ὡς μὴ δυναμένη λύεσθαι, δι' ὧν ἐπήνεγκεν, ὡς προεῖπεν ἀλλ' ὥσπερ ἣν καλοῦσίν τινες στιγμὴν ἡ μία αἱ δύο, ταύτῃ καὶ διαιρετή, καὶ τὰ ἄλλα τὰ ἐπὶ τούτοις, ἥτις λέξις σφόδρα ἀσαφῶς τε καὶ βραχέως εἰρημένη τοιοῦτο σημαίνει. ἀξιοῖ τοιοῦτον εἶναι τὸ ᾧ ἡ αἴσθησις τοῖς ζώοις γίνεται τῶν αἰσθητῶν, ὡς δύνασθαι ἅμα μὲν ἓν εἶναι, ἅμα δὲ πολλὰ, οὕτως ὡς καὶ τὸ σημεῖον, ὅταν ὡς πολλῶν γραμμῶν πέρας ληφθῇ. αἱ γὰρ ἀπὸ τῶν τῆς περιφερείας τοῦ κύκλου ἐπὶ τὸ κέντρον ἀγόμεναι εὐθεῖαι πέρας ἔχουσι πᾶσαι τὸ κέντρον τοῦ κύκλου, ἓν σημεῖον, ὃ σημεῖον ἓν ὂν καὶ πολλά πώς ἐστιν, ὅταν ὡς ἑκάστης τῶν γραμμῶν ἐπ' αὐτὸ ἀχθεισῶν πέρας λαμβάνηται. εἰ γὰρ τοιοῦτό τι ἡ αἴσθησις εἴη, καθὸ μὲν ἕν τι καὶ ἀδιαίρετόν ἐστιν, ἓν ἔσται τὸ κρῖνον, ἀλλὰ καὶ ἅμα κρίνει τὰ ἐν τοῖς πέρασι τῶν γραμμῶν τῷ πάντα τὰ πέρατα ἅμα εἶναι καὶ ἕν τι. καθόσον δὲ ὡς τῆσδε καὶ τῆσδε πέρας λαμβάνεται,

4. τοιοῦτον ἡ] τοιοῦτο vulg. 5. μένει ἔτι] μὲν εἴη T. 6. μὴ om. T. 7. ἐπήνεγκεν ὡς προεῖπεν] fort. προεῖπεν, ἐπήνεγκεν. 8. ἡ μία αἱ] sic in Arist. cod. S. ᾗ μία καὶ ᾗ V (ex Aldino fort. Aristot.).

καὶ τοσαῦτα λαμβάνεται, ὅσαι καὶ εὐθεῖαι, πολλὰ καὶ κατὰ τοῦτο πάλιν. καθόσον μὲν οὖν πολλὰ τὰ πέρατα καὶ διαφερουσῶν γραμμῶν, πολλὰ ἔσται τὰ κρινόμενα καὶ κεχωρισμένα καὶ διαφέροντα καὶ τρόπον τινὰ οὔπω κεχωρισμένα, καθόσον τὸ κέντρον πολλά πως ἦν, ὧν ἕκαστον κριτικὸν ὂν τοῦ ἐν τῇ ἰδίᾳ γραμμῇ πάθους ὄντος. καθόσον δὲ ἓν τὸ ἐκ πάντων ἐστὶν ἀδιάφορον καὶ πάντῃ τὸ αὐτό, αὐτὸ ἕν τε ἔσται τὸ κρῖνον καὶ ἅμα κρῖνον.

Καὶ τὸ μὲν εἰς λύσιν εἰρημένον τῶν ἠπορημένων τοιοῦτον. τί δὲ τοιοῦτον λαμβάνειν ἐστὶν ἐπὶ τῆς αἰσθήσεως ἅμα ἕν τε εἶναι καὶ πολλὰ ὁμοίως τῷ τοῦ κύκλου κέντρῳ τῷ ὡς πέρατι τῶν πολλῶν εὐθειῶν ληφθέντι, οὐ ῥᾴδιον εὑρεῖν. σῶμά τε γὰρ τὸ ἔσχατον αἰσθητήριον, ἐν ᾧ γίνεται τὰ τῶν αἰσθητῶν πάθη, καὶ οὐχ οἷόν τε τὰ ἀπὸ τῶν πέντε αἰσθητηρίων πάθη διαπεμπόμενα ἐπ᾽ αὐτὸ ὡς διὰ γραμμῶν τῷ αὐτῷ μορίῳ τοῦ σώματος ἐπιβάλλειν· γένοιτο γὰρ ἂν πάλιν ἐν τῷ αὐτῷ τὰ ἐναντία γινόμενα πάθη καὶ ἐναντίαι κινήσεις, εἴ γε διὰ τοιαύτης κινήσεως ἡ κατ᾽ ἐνέργειαν αἴσθησις, οὐδὲ γὰρ τὰ ἀφ᾽ ἑνὸς αἰσθητηρίου διαπεμπόμενα ἐπ᾽ αὐτὸ πάθη οἷά τε κατὰ τὸ αὐτὸ μόριον αὐτοῦ γίνεσθαι, οἷον, εἴ γε τῶν μὲν ἐναντίων τὰ αὐτὰ αἰσθητήρια, ἀδύνα-

1. πολλά] πολλαὶ vulg. 5. κεχωρισμένα] κεχωρισμένον vulg. 7. τοῦ] τῇ vulg. 9. αὐτὸ ἕν] αὐτῷ ἕν T. 25. οἷον abundat.

τον δ' ἐν τῷ αὐτῷ αἰσθητηρίῳ κατὰ τὸ αὐτὸ μέρος ἅμα τὰ ἀπὸ τῶν ἐναντίων γίνεσθαι πάθη. ὅταν γὰρ βλέπωμεν ἅμα λευκόν τε καὶ μέλαν, οἷς μέρεσι τῆς κόρης ἑκατέρου αὐτῶν ἡ ἔμφασις γίνεται, ὥσπερ ὁρῶμεν γινόμενον καὶ ἐπὶ τῶν κατόπτρων, οὔτε ἐφ' ὃ διαδίδοται ταῦτα, τοῦτο δ' ἔστιν ὡς εἶπον τὸ ἔσχατον αἰσθητήριον, οὕτως οἷόν τε διαδιδόσθαι ὡς μὴ ἐν κεχωρισμένοις αὐτοῦ γίνεσθαι μέρεσιν, ὥστ' ἐπὶ μὲν τοῦ σώματος ἀδύνατον λαβεῖν τι ὅμοιον τῇ εἰκόνι τῇ τοῦ σημείου τε καὶ τῶν γραμμῶν ὧν πέρας τὸ σημεῖον. ἴσως δ' ἂν ἐφαρμόζειν δύναιτο μᾶλλον τῇ δυνάμει τῇ τοῦ σώματος ἐκείνου, ὃ λέγομεν ἔσχατον αἰσθητήριον, οὗ ἡ αἰσθητικὴ δύναμις εἶδος, ἥτις δύναμις αἰσθάνεται καὶ κρίνει τὰ ἐν τῷ σώματι, οὗ δύναμις καὶ εἶδός ἐστιν γενόμενα κατὰ τὴν ἀπὸ τῶν αἰσθητηρίων διάδοσιν. ἡ γὰρ δύναμις αὕτη μία οὖσα καὶ ὥσπερ πέρας τοῦ σώματος τούτου οὗ δύναμίς ἐστιν, ἐπειδὴ ἐπὶ τοῦτο τὸ ἔσχατον αἱ κινήσεις φέρονται, ἀσώματός τε οὖσα καὶ ἀδιαίρετος καὶ ὁμοία πάντῃ, μία οὖσα, πολλαί πως γίνονται τῷ τῶν καθ' ἕκαστον μόριον τοῦ σώματος οὗ δύναμίς ἐστι, κινήσεως αἰσθάνεσθαι ὁμοίως, ἄν τε κατὰ ἕν τι μόριον ἡ κίνησις ἐν αὐτῷ γένηται, ἄν τε κατὰ πλείω. ἐν γὰρ τῇ τῶν πλειόνων κρίσει πολλαί πως δυνάμεις ἡ μία γίνεται ὡς ἑκάστου μορίου πέρας οἰ-

6. ἐφ' ὃ διαδίδοται] ἐφόδια δίδοται vulg. 11. ὧν] ὡς vulg.

κεῖον λαμβανομένη. τὸ μὲν γὰρ σῶμα οὐκ ἐδύνατο ἅμα κατὰ τὸ αὐτὸ πλείω δέχεσθαι πάθη, διὰ τὸ ἀδύνατον εἶναι τὰ ἐναντία ἐν τῷ αὐτῷ γίνεσθαι, ἅμα τε κατὰ ταὐτὸ ἐναντία τὸ εἶδος τὸ τοῦ λευκοῦ καὶ τοῦ μέλανος. διὸ οὐδὲν οἷόν τε σῶμα ἅμα δέχεσθαι ταῦτα, ἀλλὰ τοῦ αἰσθητηρίου ἐκείνου κατ' ἄλλο μὲν μόριον τάδε τινὰ τῶν αἰσθητῶν τῶν ἅμα προσπιπτόντων γίγνεται, κατ' ἄλλο δὲ τάδε τῶν ἀπὸ τῶν πρώτων αἰσθητηρίων ἐπ' αὐτὸ φερομένων τὸν τρόπον. ἡ δὲ δύναμις ἡ αἰσθητικὴ οὐκέτι κεκώλυται ἅμα τὴν κρίσιν αὐτῶν ποιεῖσθαι, ὅτι μὴ ταὐτόν ἐστι τὸ κρίνειν τῷ παθεῖν. παθεῖν μὲν γάρ τι τὸ αὐτὸ ἅμα τὰ ἐναντία ἀδύνατον, ὅτι ἀδύνατον ἅμα τι δέχεσθαι τὰ ἐναντία· ἀσυνύπαρκτα γὰρ τὰ ἐναντία, κρῖναι δὲ ἅμα τὰ ἐναντία οὐδὲν ἀδυνατεῖ, ὅτι μή ἐστιν ἐν κρίσει ἐναντία τὸ τὸ λευκὸν λευκὸν κρῖναι καὶ τὸ μέλαν μέλαν. ὡς γὰρ ἐν τῷ πάσχειν ἐναντίον τὸ τὰ ἐναντία παθεῖν κατὰ τὸ αὐτὸ μέρος καὶ ἐν τῷ αὐτῷ χρόνῳ, καὶ διὰ τοῦτο ἐν τῷ πάσχειν τοῦτο ἀδύνατον, οὕτως ἐν κρίσει πάλιν ἀδύνατον τὸ τὸ λευκὸν ὁμοῦ μὲν λευκὸν, ὁμοῦ δὲ μέλαν ὑπολαμβάνειν εἶναι. διὸ πάλιν ἐν κρίσει τὸ οὕτως ἔχον ἀσυνύπαρκτον· τὸ μὲν μέλαν μέλαν, τὸ δὲ λευκὸν λευκὸν εἰπεῖν οὐκ ἀδύνατον, ὅτι μηδ' ἐναντίον. εἰ μὲν γὰρ ἦν ἀνάγκη καὶ ἐν τῇ δυνάμει τῇ κρινούσῃ τὰ αἰσθητὰ τὰ εἴδη

4. κατὰ ταὐτὸ] κατ' αὐτὸ vulg. 6. ἐκείνου] ἐκεῖνο vulg. 9. ἐπ' αὐτὸ . . τὸν τρόπον] in eundem locum Bagolinus, unde scrib. ἐπὶ τὸν αὐτὸν . . τόπον.

πρῶτον αἰσθητῶν ἐγγενέσθαι, οὐδ' ἂν ἐκείνη κρίνοι ἂν ἐν ᾗ τἀναντία τῷ μὴ δέξασθαι τἀναντία ἅμα οἷόν τέ τι· ἐπεὶ δ' ἐν μὲν τῷ αἰσθητηρίῳ τὰ πάθη γίνεται, ἡ δὲ τῶν ἐν τούτῳ γινομένων κρίσις ἐν τῇ δυνάμει· οὐ γὰρ οἷόν τε ἔτι τοῦτο τὰ πάθη δέχεσθαι τὰ σωματικὰ ὂν ἀσώματον, οὐδὲν κεκώλυται τὰ ἐν τῷ αἰσθητηρίῳ γινόμενα κατ' ἄλλο καὶ κατ' ἄλλο μέρος ἅμα κρίνειν ἡ δύναμις ἡ παντὸς αὐτοῦ. ἡ γὰρ αἴσθησις κρίσις ἐστὶ τῆς αἰσθητικῆς δυνάμεως τῶν αἰσθητῶν διὰ τῶν αὐτῶν ἐν τῷ αἰσθητηρίῳ γινομένων παθῶν δι' αὐτῶν, γίνεται δὲ οὕτως ἡ αὐτὴ καὶ μία δύναμις πολλαί πως ἅμα γινομένη τῷ τῶν καθ' ἕκαστον μέρος τοῦ αἰσθητηρίου παθῶν γινομένων ἅμα ποιεῖν αἰσθητὴν κρίσιν. ἡ γὰρ κρίνουσα δύναμις τὸ κατά τι ἓν μέρος τοῦ αἰσθητηρίου γινόμενον πάθος αὐτὴ κρίνει καὶ τὰ κατὰ πάντα τὰ μόρια, ἅμα δ' αὐτοῦ γινόμενα πάθη ἡ αὐτὴ καὶ μία καὶ πολλαί πως γινομένη κατὰ τὴν τῶν μερῶν τοῦ αἰσθητηρίου, καθὸ πάσχει, διαίρεσιν, ὡς ἐγίνετο καὶ τὸ σημεῖον ἓν ὂν πολλὰ κατὰ τὸ πλῆθος τῶν γραμμῶν διαιρούμενον ὂν ἑκάστη πέρας.

Περὶ θαλάσσης ἐκ τῶν Μετεωρολογικῶν. ι.

Προθέμενος ἐν τῷ δευτέρῳ τῶν Μετεωρολο-

1. πρῶτον] fort. πρὸ τῶν. 9. ἡ δύν.] ἢ T. 16. κατά τι] fort. κατὰ τό. 21. διαίρεσιν] διαιρεῖν T. 23. ὂν] ὧν ἡ T.

γικῶν εἰπεῖν περὶ θαλάσσης, τίς τε ἡ φύσις αὐτῆς καὶ διὰ τίνα αἰτίαν τοσοῦτον ἁλμυρὸν ὕδατός ἐστι πλῆθος, πρῶτον τὰς περὶ αὐτῆς προκαταβεβλημένας δόξας παρέθετο, ὧν ἡ μὲν τῶν θεολόγων πηγὰς οἰκείας ἔλεγεν ἔχειν τὴν θάλασσαν, τῶν δὲ φυσικῶν οἱ μὲν αὐτὴν γεγονέναι ἔλεγον ἐκ τῆς πολλῆς ὑγρότητος τῆς περὶ τὴν γῆν ἐνεχθείσης ὑπὸ τῆς [ἀπὸ]τοῦ ἡλίου κινήσεώς τε καὶ θερμότητος, ὑπολειφθείσης δὲ ταύτης ἣν καλοῦμεν θάλασσαν· οἱ δὲ θερμαινομένης φασὶ τῆς γῆς ὑπὸ τῆς κινήσεως τοῦ ἡλίου ἱδρῶτα ἐκκριθῆναι τὸ ὕδωρ τοῦτο, ὃ καλεῖται θάλαττα· διὰ τοῦτο γὰρ καὶ ἁλμυρὸν τὸ ὕδωρ εἶναι, ὅτι καὶ ὁ ἱδρώς. οἱ δὲ τῆς ἁλμυρότητος τὴν γῆν καὶ τὴν ποιότητα τὴν ταύτης αἰτιῶνται. τὸ γὰρ ὕδωρ ῥέον δι' αὐτῆς τοιούτους τοὺς χυμοὺς λαμβάνει, ὁποίους ἂν ἔχῃ καὶ ἡ γῆ, δι' ἧς δίεισί τε καὶ διηθεῖται. μεθ' ἃ δείξας, ὅτι μὴ ἔχει πηγὰς οἰκείας ἡ θάλαττα τῷ πᾶν μὲν τὸ πηγαῖον ὕδωρ, εἰ μὲν αὐτόματον ᾖ, ἀποῤῥεῖν τε ἀπὸ τῶν πηγῶν, ἀφ' ὧν ἄρχεται, καὶ μεθίστασθαι, τὸ δ' ὅσον οὐκ ἀποῤῥεῖ χειρόκμητον εἶναι καὶ οὐκ αὐτὸ φύσει· τοιαῦτα γὰρ τὰ φρέατα, τὴν δὲ θάλατταν μήτε τῶν χειροκμήτων εἶναι, μήτε τῶν φερομένων τε καὶ μεθισταμένων. διὰ γὰρ τῆς θαλάττης κινήσεις τε καὶ ἀντιπεριστάσεις αἱ μὲν γίνονται τοῦ

8. ἀπὸ del. 18. ἔχῃ vulg. 20. ᾖ] ῇ vulg. malim ἐστίν ἀποῤῥεῖ vulg. 21. μεθίσταται vulg. 22. χειρότμητον vulg. item paulo post χειροτμήτων, vid. Aristot. pag. 353, b. 25.

αὐτοῦ ὕδατος μεταῤῥέοντος, ὃ γινόμενον ἐν πάσῃ θαλάττῃ φανερὸν ἡμῖν γίνεται ἐν τοῖς στενοῖς τῷ παρὰ τὴν γῆν ἐν τοῖς τοιούτοις τόποις φανερὰν αὐτῆς γίνεσθαι τὴν μετάῤῥυσιν. εἰ δέ τις γίνεται αὐτῆς κίνησις ἀπὸ τῶν ὑψηλοτέρων ἐπὶ τὰ κοιλότερα φερομένης, οὐκ ἀπ' οἰκείων πηγῶν ἀλλὰ τῇ τῶν ποταμῶν ἐπιχύσει ἀπὸ τῶν ὑψηλοτέρων ἐπιῤῥεόντων, ἀφ' ὧν τὰς πηγὰς ἔχουσιν, ὡς τὴν τοιαύτην κίνησιν ἀπὸ πηγῶν μὲν τὴν ἀρχὴν ἔχειν, ἀλλ' οὐ τῶν τῆς θαλάττης, ἀλλὰ τῶν ποταμῶν τῶν εἰς αὐτὴν ῥεόντων. ἐφ' ᾧ ἔδειξεν, ὅτι μὴ θάλαττά ἐστιν ἀρχὴ τοῦ ὕδατος καὶ τὸ τέταρτον στοιχεῖον, ὅ τινες ὑπολαμβάνοντες ἔλεγον μὴ μόνον τοὺς ποταμοὺς εἰς τὴν θάλατταν ἰέναι, ἀλλὰ καὶ ἀπὸ τῆς θαλάττης, γλυκὺν δ' ἔχειν τὸ ὕδωρ τῷ ἀπὸ τῆς γῆς αὐτὸ ἠθούμενον φέρεσθαι. ἐφ' οἷς δεικνύς, ὅτι μή ἐστι τὸ ὕδωρ τὸ διὰ τῆς γῆς ἁλμυρὸν τῇ αὑτοῦ φύσει, ἀπέδωκεν αἰτίαν τῆς ἁλμυρότητος ὡς λεγομένης τῷ τοῦ ὕδατος περικειμένου τε καὶ περιτεταμένου περὶ τὴν γῆν τὸ μὲν λεπτότατον καὶ γλυκύτατον ἀνάγεσθαι καὶ ἀναθυμιᾶσθαι καθ' ἑκάστην ἡμέραν ὑπὸ τῆς τοῦ ἡλίου κινήσεως, ἀτμίζον διὰ τὸ κουφότερόν τε ὂν καὶ καθαρώτερον ἐπιπολάζειν, τούτου δ' ἀναγομένου συνεχῶς καὶ πάλιν μεταβάλλοντός τε καὶ καταφερομένου τὸ ἁλμυρὸν ὑπολείπεσθαι διὰ βάρος ἐν τῷ τοῦ ὕδατος οἰκείῳ τόπῳ.

15. ἀλλὰ om. vulg., vid. Aristot. pag. 354, b, 17. 19. λεγομένης τῷ] λεγομένη τὸ vulg.

ἐφ' οἷς ἀπορήσας πόθεν ἡ ἀρχὴ καὶ ἡ αἰτία τῆς ἁλμυρότητος τῆς οὔσης ἐν τῷ ὕδατι καὶ τῆς θαλάττης ἔδειξεν πᾶν τὸ γινόμενον ὕδωρ ἁλμυρὸν οὐκ ἐκ τοιούτου κατὰ μίξιν τινὸς γίνεσθαι. τό τε γὰρ σύστημα τῶν ζώων τὸ ἐν τῇ κύστει διὰ τοῦτο τὸν χυμὸν εἶναι τοιοῦτον· φαίνεται γὰρ μεμῖχθαί τι αὐτῷ γεῶδες, ὃ δῆλον γίνεται ὑφιζάνον ἐν αὐτῷ. ἀλλὰ καὶ ὁ ἱδρὼς μιγνύμενον ἔχει τοιοῦτον ἐν ἑαυτῷ, ὃ λαμβάνει τὸ πινόμενον ὕδωρ ἀπὸ τοῦ σώματος, διηθούμενον δι' αὐτοῦ καὶ ὥσπερ πλῦνον αὐτὸ καὶ καθαῖρον. τοιοῦτον δὲ καὶ τὸ διὰ τῆς τέφρας διηθούμενον. ἔστι δὲ τὸ μιγνύμενον τούτοις καὶ τῆς αὐτῆς ἰδιότητος αἴτιον τὸ ὅσον ἄπεπτον ἐν τοῖς σώμασιν μένει, μὴ δυνηθὲν ὑπὸ τῆς πεττούσης αὐτὸ μεταβληθῆναι θερμότητος. τοιοῦτος γὰρ ὅ τε ἱδρὼς καὶ τὸ οὖρον καὶ τὸ διὰ τῆς τέφρας διηθούμενον· καὶ γὰρ ἡ τέφρα τὸ μὴ δυνηθὲν τῆς γῆς ὑπὸ τοῦ πυρὸς κρατηθῆναι καὶ μεταβαλεῖν εἰς αὐτὸ, ἀλλὰ ἄπεπτον μεῖναν τῆς καομένης ὕλης μόριον. ἃ κατασκευάσας ἔλαβεν, ὅτι δεῖ τοιοῦτό τι εἶναι καὶ ὃ τῷ ὕδατι μιγνύμενον τὴν θάλασσαν ἐξ αὐτοῦ ποιεῖ. εἰπὼν δὲ δεῖν ἄπεπτόν τι εἶναι περίττωμα, οὗ ἡ μίξις τῆς πρὸς τὸ ὕδωρ αἴτιον αὐτῷ τῆς ἁλμυρότητος γίνεται,

4. οὐκ ἐκ] exspectes ἐξ οὗ. 6. τοῦτο] τοῦτον vulg. vid. Aristot. Meteorol. II, 3, pag. 358, 5. 9. πινόμενον] πλυνόμενον ex V. notatum, quem codicem hoc pro sequente πλύνομεν praestare puto. 11. πλῦνον] πλύνομεν vulg. quodsi V. habet πλυνόμενον, malim ὥσπερ πλυνόμενον καὶ αὐτό.

δεικνὺς τί ποτ' ἐστὶ τοῦτο, ἔλαβεν τὸ ὥσπερ ἐπὶ τῶν σωμάτων τῶν ζώων ἐν ταῖς τροφαῖς τε καὶ μεταβολαῖς ἄπεπτά τινα περιττώματα γίνεται, ὡς τῇ πρὸς τὸ ὕδωρ μίξει γίνονταί τινες ἁλμυραί τε ὑποστάσεις ἐν αὐτοῖς καὶ πικραὶ, οὕτω δὴ καὶ παντὶ ἀπὸ πάντων τῶν φυομένων καὶ γινομένων ὑπολαμβάνειν δεῖ τοιαύτην τινὰ ἄπεπτον ὑπόστασιν γίνεσθαι, καὶ πλήρη τὴν γῆν τοιαύτης καταμεμιγμένης ξηρᾶς καὶ ἀπέπτου περιττώσεως ὁμοίως τῇ τέφρᾳ, ἣν ἐν ταῖς ὑπὸ τοῦ ἡλίου γινομέναις ἀναθυμιάσεσιν ἀπό τε τῆς γῆς καὶ τοῦ ὕδατος ἐγκαταμεμιγμένην ἅτε οὖσαν κουφοτέραν ἐν ταῖς εἰς ὕδωρ συστάσεσίν τε τῶν νεφῶν καὶ μεταβολαῖς ἐγκαταμεμιγμένην καὶ συγκαταφερομένην ἀεὶ ἀρχὴν καὶ αἰτίαν εἶναι τῆς ποιότητος τοῦ τῆς θαλάττης ὕδατος, ἧς περιττώσεως ἐν ταῖς ἀπὸ τῆς θαλάττης ἀναθυμιάσεσιν τὸ πλεῖστον ὑπομένον. εἶναι γάρ τι καὶ συναναφερόμενον τῷ ὕδατι καὶ μεταβάλλον εἰς γλυκὺ ἐν τῇ πέψει τε καὶ τῇ ἐκ τῶν νεφῶν ματαβολῇ, τοῦτο δὲ τὸ ὑπομένον τῆς ἁλμυρότητος αἴτιον τῷ ὕδατι τῷ τῆς θαλάττης. ὅτι δὲ σὺν τῷ ὑομένῳ ὕδατι τοιαύτη τις συγκαταφέρεται περίττωσις, ἔδειξεν ἐκ τοῦ τά τε νότια ὕδατα μάλιστα εἶναι πλατέα τῷ καὶ τὸν νότον ἀπὸ τῶν μερῶν ἐκείνων τὴν γένεσιν ἔχειν, ἐν οἷς πλείων ἡ ξηρὰ ἀναθυμίασις γίνεται, πλατύτερα δὲ καὶ τὰ πρῶτα τῶν μετοπωρινῶν ὑδάτων, ὅτι ἀνάγκη τὰ βαρύτατα πρῶτα

28. ὅτι] ὅταν vulg.

καταφέρεσθαι, βαρύτατά τε τὰ πλεῖστον τὸ γεῶδες ἐν ἑαυτοῖς ἔχοντα. ὅτι δὲ τοιοῦτο περίττωμα τῇ θαλάττῃ πολὺ, ἐπιστώσατο καὶ διὰ τοῦ θερμὴν αὐτὴν εἶναι. πάντα γὰρ ὅσα πεπύρωται ἔχει τινὰ δύναμιν θερμότητος ἐν αὐτοῖς, ὡς ἥ τε κονία καὶ ἡ τέφρα καὶ ἡ τῶν ζώων ὑπόστασις καὶ ἡ τῶν θερμοτέρων τὴν κοιλίαν ζώων καὶ ὑπόστασις θερμοτέρα· ἐπιστώσατο δὲ ἁλμυρὸν γίνεσθαι κατὰ μίξιν τοιούτου τινὸς περιττώματος καὶ ἀπὸ τῆς ἱστορίας παραθέμενος λιμένας τε καὶ ποταμοὺς, ὧν ὄντων ἁλμυρῶν συμβέβηκεν καὶ τὸ ὕδωρ παχύτερόν τε εἶναι καὶ γεωδέστερον, ὡς τὸ μὲν μὴ ἐᾶν διὰ παχύτητα καταφέρεσθαι ἐν ἑαυτῷ τὰ φύσιν ἔχοντα ἐν τῷ ὕδατι τεθέντα κάτω φέρεσθαι, τὰ δὲ θερμανθέντα διὰ τὴν παχύτητα ἅλας ποιεῖν.

Ἐπιχείρησις ὅτι θέσει τὰ ὀνόματα. ιά.

Εἰ θετικοὶ τῶν ὀνομάτων ἐσμὲν φύσει, καὶ τοῦτο παρὰ τῆς φύσεως ἔχομεν τὸ δύνασθαι ὀνομάζειν καὶ τίθεσθαι τὰ ὀνόματα τοῖς πράγμασιν, δῆλον ὡς θέσει τὰ ὀνόματα· θέσει γὰρ ἡμεῖς τιθέμεθα. οὐ γὰρ οἷόν τε τοῦ ὀνόματος ἑκάστου τῶν πραγμάτων ὑπάρχοντος φύσει ἡμᾶς ἐπ᾽ αὐτοῖς τίθεσθαι αὐτά· ὡς γὰρ ἐπιστήμης

1. τε] fort. δέ. 14. τεθέντα] ἢ τιθέντα vulg. 23. fort. ἑκάστῳ.

ὄντες δεκτικοὶ φύσει οὐκ ἔχομεν τὰς ἐπιστήμας φύσει, ἀλλὰ τὸ μὲν δύνασθαι δέχεσθαι ἐπιστήμην παρ' ἐκείνης ἡμῖν ἐστιν, οὐκ ἔτι μέντοι καὶ ἐπιστῆμαι παρ' ἐκείνης· οὐ γὰρ ἂν ἦμεν δεκτικοὶ τῶν ἐπιστημῶν ἀλλ' ἔχοντές αὐτὰς καὶ ἐπιστήμονες· οὕτω καὶ τὸ μὲν δύνασθαι τίθεσθαι καὶ τὰ ὀνόματα παρ' ἐκείνης, οὐ μέντοι καὶ τὰ ὀνόματα ἔτι· οὐ γὰρ ἂν ἔθ' ἡμεῖς τοῦ τίθεσθαι αὐτὰ κύριοι. οἷς γὰρ τὸ κινεῖσθαι φύσει, τούτοις οὐκ ἔτι κατὰ φύσιν τὸ ὑφ' ἡμῶν τίθεσθαι. εἰ δὲ μὴ εἴη κατὰ φύσιν τοῖς πράγμασι τὸ ὑφ' ἡμῶν αὐτοῖς τὰ ὀνόματα τίθεσθαι, οὐδ' ἂν ἡμῖν εἴη κατὰ φύσιν τὸ τίθεσθαι τὰ ὀνόματα αὐτοῖς· οὐ γὰρ ταὐτόν ἐστι θέσθαι ὄνομα καὶ εἰπεῖν τὸ κείμενον. ἔδει τε εἰ ἔκειτο φύσει τὰ ὀνόματα, καὶ τοὺς λέγοντας πάντας λέγειν τὰ αὐτά. ἀλλ' εἰ φύσει τὰ ὀνόματα, δεῖ καὶ τὰ στοιχεῖα δι' ὧν τάττεται εἶναι φύσει· οὐ γὰρ ἄλλη τίς ἐστι τῆς διαφορᾶς τῶν κατὰ ἔθνη διαφερόντων ἐπὶ τῶν αὐτῶν πραγμάτων παρὰ τὴν τῶν στοιχείων τε καὶ συλλαβῶν ποιὰν σύνθεσιν. ἱκαναὶ δὲ τοῦτο συστῆσαι καὶ αἱ ὁμωνυμίαι καὶ αἱ πολυωνυμίαι καὶ μετονομασίαι.

Ὅτι μὴ ἄπειρον τὸ ὄν. ιβ'.

Ὁ λόγος δεικνύναι θέλων ἄπειρον τὸ ὂν

8. ἔθ' ἡμεῖς] fort. ἔτ' ἦμεν. 9. κινεῖσθαι] scrib. κεῖσθαι
18. τῆς διαφορᾶς] διαφορὰ vertit Bagolinus.

διὰ τοῦ τὸν ὑποτεθέντα εἶναι ἐν τῷ τοῦ κόσμου πέρατι ἤτοι ἐκτείνειν ἐπέκεινα τοῦ κόσμου τὴν χεῖρα, ἢ ὅτι δὴ κωλυθήσεται, ἀμφοτέρως δὲ ἔσεσθαί τι ἐκτὸς τοῦ κόσμου· ἢ γὰρ τὸ κωλῦον ἐκτός ἐστιν, ἢ ἐν ᾧ ἔσται τὸ ἐκτεινόμενον, τὴν πιθανότητα ἔχει παρὰ τῆς φαντασίας τε καὶ αἰσθήσεως, ὥσπερ καὶ ὁ λέγων πᾶν τὸ πεπερασμένον πέρατι περαίνειν· ἀμφοτέρων γὰρ ἡ πιθανότης ἀπὸ τῆς αἰσθήσεως. τῷ γὰρ ἡμᾶς διὰ τὸ ἀφαντάστους εἶναι τοῦ ἀντικειμένου τοῖς ἐρωτωμένοις μηδὲν αὐτοῖς ἐξ αἰσθήσεως ἔχειν παρασχέσθαι, τούτοις ἀντιμαρτυρουμένη τῷ λόγῳ πιθανότης. οὔτε γάρ τινι περιπεπτώκαμεν τοιούτῳ πεπερασμένῳ, οὗ μηδέν ἐστιν ἐπέκεινα· τοιαῦτα γὰρ πάντα τὰ ὡς μέρη πεπερασμένα, ὧν ἐσμεν αἰσθανόμενοι μόνων, οὔτε προσπίπτει ἡμῖν τοιοῦτον, οὗ μηδὲ ἐκτὸς εἶναι δυνήσεται· ἁπάντων γὰρ ὧν αἰσθανόμεθα ἕκαστον. διὸ δεῖ τοὺς ἐνισταμένους τοῖς τοιούτοις τῶν λόγων [ἢ] μὴ παρὰ τῶν αἰσθήσεων πειρᾶσθαι τὴν μαρτυρίαν φέρειν, ὧν ἐκτός ἐστι τὰ ζητούμενα, ἀλλ' ἀπὸ τῆς οὐσίας τῶν πραγμάτων πειρᾶσθαι φέρειν τὰς ἐνστάσεις, προσλαβόντας ἐν αὐτοῖς ἐναργὲς ὂν τὸ

1. διὰ τοῦ] Archytae in Eudemi physicis apud Simplicium ad phys. fol. 108. 7. ὁ λέγων] vid. Simplicius ad Physic. fol. 107. b. 10. ἐρωτῶσι Bagolinus. 11. αὐτοῖς] fort. αὐτούς. 12. Fort. τούτοις ἀντιμαρτυρούμενον, ἡ τοῦ λόγου. 16. προσπίπτει] προσπίπτειν vulg. 18. ἕκαστον] fort. ἐκτός τι ὄν. Omnia enim quorum singulum sentimus Bagolinus. 19. ἢ del.

μὴ δύνασθαι πάντα τὰ αὐτὰ ὑπάρχειν τῷ τε μορίῳ καὶ τῷ ὅλῳ, καὶ τῷ παντὶ καὶ ἑκάστῳ τῶν μερῶν αὐτοῦ. διὸ μηδὲ δεῖν ζητεῖν τὰς ἀπὸ τῶν αἰσθήσεων μαρτυρίας περὶ τῶν μερῶν, οἷς εἰσι σύντροφοι, μεταφέρειν ἐπὶ τὸ πᾶν, ὃ πάσης ὂν ἐκτὸς αἰσθήσεως πρὸς τῷ ὑπὸ μηδεμιᾶς φαντασίας αἰσθητικῆς βοηθεῖσθαι καὶ πολλαῖς αὐτῶν ἐναντιοῦται. οὐδὲ γὰρ ἂν διέφερέν τι τὸ πᾶν τοῦ μέρους, εἰ ἦν ὁμοίως ὥσπερ ἑκάστου αὐτῶν ἐκτός τι, οὕτω δὴ κἀκείνου, ὥστε κατὰ μὲν τὸν λόγον εἶναί τι καὶ πᾶν οὗ πάντα τὰ ἄλλα μέρη, ἡ δ' αἴσθησις οὐδενός ἐστιν ἀντιληπτικὴ τοιούτου. οὐ διὰ τὴν αἴσθησιν ἀποστατέον τῶν ὑπὸ τοῦ λόγου τιθεμένων. οὐδὲ γὰρ ἐπὶ τῶν ἄλλων οὕτω ποιοῦμεν, ὅτι μηδὲ τὰ αἰσθητά φαμεν εἶναι μόνα, οὐδ' ἐπεὶ χρώμεθα πρὸς τὰς πίστεις τῶν ζητουμένων ἐπὶ πολλῶν ταῖς ἐκ τῶν αἰσθήσεων μαρτυρίαις διὰ τὴν συντροφίαν τε καὶ τὴν πρὸς αὐτὰ συνήθειαν. εἰ δὲ χρὴ μόναις ταύταις χρῆσθαι μέτρῳ τῆς ἀληθείας, οὐδὲν ἂν τῶν ἀλόγων πρὸς τὴν γνῶσιν τῆς ἀληθείας διαφέροιμεν· ἱκανὸν γὰρ αὐτοῖς τὸ ἐν τοῖς οἰκείοις αἰσθητοῖς ἀληθές. ἃ δ' οὐκ ἔστιν αἰσθήσεων ἴδια, ἄτοπον τὸ τὴν ἐν τούτοις ἀλήθειαν τῆς ἐκ τῶν αἰσθήσεων μαρτυρίας πᾶσαν ἠρτῆσθαι λέγειν. ὅτι μὲν οὖν εὔλογον εἶναί τι καὶ πᾶν, οὗ μέρη τε

5. μεταφέρειν] καὶ μεταφέρειν Bagolinus. 16. οὐδ' fort. del. 19. δὲ χρὴ] fort. δ' ἐχρῆν. 20. ἂν] γὰρ T.

ὧν αἰσθανόμεθα, καὶ ὅσαι τούτων ἀρχαί τε καὶ αἰτίαι, ἱκανὸν μὲν συστῆσαι τὸ ὅλον τε καὶ τὸ μέρος πρὸς ἄλληλα λεγόμενον. τό τε γὰρ μέρος ὅλου μέρος τινὸς, καὶ τὸ ὅλον τοῖς μέρεσιν τοιοῦτον, εἴ γέ ἐστιν ὅλον οὗ μηδὲν τῶν μορίων ἄπεστιν, ὥστ' εἰ μέρη τὰ καθ' ἕκαστά τε καὶ αἰσθητά ἐστιν, καὶ τὸ ὅλον οὗ μέρη ταῦτα (τὰ γὰρ μέρη ὅλου μέρη τινὸς), ἄτοπον τὸ πᾶν τὸ ὡς μέρος λεγόμενον ἐπὶ τὸ ὅλον τε τὴν ἀναφορὰν ἔχειν. διὸ οὐδ' ἂν ὡς μέρους μέρη λέγηται τὰ πρῶτα ληφθέντα, ἀνάγκη κἀκεῖνα ὧν μέρος ἐστὶν, ἄλλου τινὸς εἶναι μέρος, οὐ εἰ μὴ ὅλον τι εἴη, ἀναιροῖτ' ἂν τὸ καὶ ταῦτα εἶναι μέρη. ἀλλ' εἰ ὅλον τι ἀναγκαῖον εἶναι εἴη, ἐφ' ὃ πᾶν τὸ ὡς μέρος ὄν τε καὶ λεγόμενον ἔχει τὴν ἀναφορὰν, ταὐτὸν δὲ ὅλον τε καὶ πᾶν εἴ γε ἑκάτερον αὐτῶν ὁρίζεται τῷ μηδὲν αὐτοῦ τῶν μερῶν ἀπεῖναι, εἴη ἄν τι τοιοῦτον ὂν πεπερασμένον, εἴ γε πεπερασμένον οὗ μηδὲν τῶν μερῶν ἄπεστιν. τὸ δὲ πᾶν τοιοῦτον. οὔτε γὰρ ἄλλο τι ὂν ἐκτὸς αὐτοῦ ἔσται περαῖνόν τε καὶ πεπερασμένον, οὔτε ἐκτείνειν τις εἰς τὸ μετ' αὐτὸ ὂν δυνήσεται τὸ κρατούμενον ὑφ' αὐτοῦ. οὐκ ἔτι γὰρ ἂν εἴη πᾶν τε καὶ ὅλον, οὗ ἔξωθέν τί ἐστιν ὂν, ἔξωθεν δέ ἐστιν ὂν τοῦ τε περαίνοντος παρ' ἄλλο τι καὶ τοῦ καταλείποντός τι μετ' αὐτὸ, εἴτε τοξεύειν τις ἢ ἐκτείνειν

8. τὸ πᾶν τὸ] τῷ πᾶν T. 9. τε] fort. τι. 12. οὗ om T. 17. αὐτοῦ] αὐτῶν T. εἴη ἄν τι] ἢ ἀντὶ τοῦ T. 21. τις εἰς τὸ] τί ἐστι T.

τῶν αὐτοῦ μορίων, ἢ τῶν ὑφ' αὐτοῦ κρατουμένων τι δυνήσεται. ἱκανὸν δὲ συστῆσαι ταὐτὸ τοῦτο καὶ τὰς ἀρχὰς τῶν ὄντων εἶναι πεπερασμένας. ἀπείρων γὰρ οὐσῶν οὐδὲ γνῶσις αὐτῶν ἔσται· εἰ δὲ μὴ τούτων, οὐδὲ τῶν ἐξ αὐτῶν γινομένων τινὸς, εἴ γε πᾶσα ἐπιστήμη ἐκ τῆς τῶν ἀρχῶν τοῦ ἐπιστητοῦ γνώσεως πρόεισιν. ἕπεται δὲ τῷ ἀπείρους εἶναι τὰς ἀρχὰς καὶ τὸ μηδὲν γίνεσθαι τῶν γινομένων τεταγμένως, τίς γὰρ ἂν τάξις ἀπείρων γένοιτο; τί γὰρ ἂν εἴη τῆς ἐν τοῖς ἀπείροις τάξεως αἴτιον; οὔτε γὰρ φύσις ἐν αὐτοῖς ἔχοι χώραν ἄν τινα, ἧς ἴδιον τὸ ἕνεκά του πάντα τὰ κατ' αὐτὴν γινόμενα γίνεσθαι ὡς ἐπὶ τὸ πλεῖστον, οὐχ οἷόν τε γίνεσθαι ἐν μὴ δεχομένοις τάξιν πράγμασιν. τί γὰρ μᾶλλον ἐν τοῖς ἀπείροις τόδε πρὸ τοῦδε, καὶ τὸ μὲν πρῶτον τὸ δ' ὕστερον, οὗ χωρὶς οὐχ οἷόν τε τὸ ἕνεκά του γινόμενον γενέσθαι; πῶς γὰρ ἂν ἄνθρωπος ἢ ἵππος ἤ τι τῶν ἄλλων τῶν φύσει γινομένων γένοιτο, ἀναιρεθέντος τοῦτο μέν τι εἶναι πρῶτον τῶν εἰς αὐτὰ συντελούντων, τὸ δὲ δεύτερον καὶ ἄνθρωπον μὲν ἐξ ἀνθρώπου, ἵππον δὲ ἐξ ἵππου γίνεσθαι κατὰ φύσιν, οὐσῶν τῶν ἀρχῶν ἀπείρων τε καὶ τάξιν οὐ δεχομένων; τί γὰρ τὸ τὰ ἄπειρα τάξον; εἰ δ' ἀνάγκη μὲν τύχῃ τε καὶ τῷ αὐτομάτῳ τὴν ἀπειρίαν διοικεῖσθαι, οὐχ οὕτω δὲ γινόμενα φαίνεται τὰ γινόμενα·

7. τῷ] om. vulg. 11. χώραν ἂν] fort. ἂν χώραν. 13. οὐχ] fort. οὐθ' Bagolinus ὃ οὐχ.

τὰ γὰρ ἢ ὁμοίως ἀεὶ ἢ ὡς ἐπὶ τὸ πλεῖστον γινόμενα πόῤῥω κεχώρισται τῶν προειρημένων αἰτιῶν, οὕτω δὲ ὁρᾶται τὰ γινόμενα κατὰ φύσιν, ἀναιροῖτ' ἂν καὶ τῶν ἀρχῶν τε καὶ τῶν ὄντων ἀπειρία [τε γὰρ], εἰ ἀδύνατον ἄπειρον ἀπείρου μεῖζον εἶναι. κατὰ δὲ τὰς δόξας τῶν ἀπείρους τὰς ἀρχὰς εἶναι τιθεμένων οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἄπειρα πολλὰ, μᾶλλον δ' ἀπειράκις ἄπειρα ἕπεται εἶναί τε καὶ γίνεσθαι λέγειν. πῶς γὰρ οὐκ ἀτοπωτάτην ὑπολάβοι τήνδε τὴν δόξαν; ἄπειρον γὰρ ἀπείρου μεῖζον οὐχ οἷόν τε λέγειν εἶναι, εἴ γε τὸ μὲν ἄπειρον ἀνάγκη πανταχοῦ λέγειν εἶναι, καὶ πάντα κατέχειν τόπον. οὐκ ἔτι γὰρ ἄπειρον τὸ μὴ ὂν πανταχοῦ· τὸ γὰρ ὑπολιπεῖν τινα καὶ ἄλλῳ χώραν πεπερασμένου, τοῦ δὲ τοιούτου οὐδὲν ὑπερέχειν οἷόν τε, οὐδὲ παρ' αὐτὸ ἄλλο εἶναι, μὴ ὅτι ἄπειρον, ἀλλ' οὐδὲ πεπερασμένον· οὐκ ἔτι γὰρ ἂν εἴη πανταχοῦ οὕτως, ὥστε καθ' οὓς πλείω τὰ ἄπειρα, οὐδὲν ἂν εἴη κατὰ τούτους ἁπλῶς ἄπειρον. εἰ γὰρ πλείω τὰ ἄπειρα, οὔτε τὸ ἄπειρον ἔσται πανταχοῦ, ἔσται τε ἄπειρον ἀπείρου μεῖζον, εἴ γε τά τε δύο ἄπειρα ἀνάγκη τοῦ ἑνὸς ὑπερέχειν, καὶ ἄπειρον καὶ τὸ ἐκ τῶν δύο ἀπείρων συγκειμένον. πάλιν δ' αὖ τὰ τρία μείζω τῶν δύο, καὶ οὕτω προστιθέντων ἐπ' ἄπειρον ἡ αὔξησις τοῦ ἀπείρου προελεύσεται. ἢ γὰρ οὐκ ἐροῦσι τὰ δύο ἄπειρα τοῦ ἑνὸς μείζω τε καὶ πλείω, καὶ οὔ-

5. τε γὰρ] delenda, et om. Bagolinus. 10. ὑπολάβοι] fort. ὑπολάβοι τις ἄν. 25. fort. προστεθέντων.

τως αὐτοῖς συμβήσεται μέρη τὰ ἄπειρα λέγειν. ἐκ γὰρ τῆς τῶν τοιούτων συνθέσεως μόνων οὐδὲν μεῖζον ἑκάστου τῶν ἐν τῇ συνθέσει τὸ ἐκ πάντων συγκείμενον, ὃ ταῖς στιγμαῖς συμβέβηκε μόναις. ἢ εἰ τοῦτο ἀλογώτατον, καὶ τὰ ἴσα συντιθέμενα ἀνάγκη τὸ λοιπὸν ποιεῖν διπλάσιον, ἔσται τὸ ἐκ τῶν δύο ἀπείρων συντιθέμενον διπλάσιον, καὶ οὕτως ἔσται τι καὶ ἴσον ἄπειρον ἀπείρῳ, καὶ διπλάσιον ἄλλο ἄλλου καὶ ἥμισυ, οὕτω δὲ καὶ τριπλάσιον ἐπ' ἄπειρον αὐξόμενον, οὗ τί γένοιτ' ἂν ἀλογώτερον; ἔτι δ' ἀναγκαῖον καὶ τῶν τυχόντων μέγεθος ἐχόντων, ἀπείρων δὲ κατὰ τὸν ἀριθμὸν τὴν σύνθεσιν ἄπειρόν τι μέγεθος ποιεῖν, οὐδὲν δὲ οἷόν τε τούτου τοῦ μεγέθους μεῖζον εἶναι, ἀνάγκη τῷ ἀπείρους τὰς ἀρχὰς ὑποτιθεμένῳ εὐθὺς ταύτας ἀλλήλων ἅπτεσθαι λέγειν καὶ μηδὲν αὐτῶν εἶναι μεταξὺ, καὶ γίνοιτ' ἂν οὕτω τοῦ ἐκ τῶν ἀπείρων συντιθεμένων γινομένου ἀπείρου μεῖζον τὸ ἔκ τε τῶν ἀπείρων ἀρχῶν καὶ ἐκ τῶν μεταξὺ αὐτῶν συγκείμενον. ὅτι δὲ πλείω τὰ ἄπειρα κατὰ τοὺς ἀπείρους τὰς ἀρχὰς λέγοντας, καὶ ἐκ τούτων γνώριμον. λέγουσι μὲν γὰρ τοὺς κόσμους ἀπείρους, τούτων δὲ εἰ μὲν καὶ ἕκαστος αὐτῶν ἐξ ἀπείρων ἀρχῶν ἐστι συγκείμενος, ἀπειράκις ἄπειρα τὰ ἄπειρα ἀνάγκη εἶναι· ἑκάστης ἰδίᾳ τῆς ἀρχῆς τῶν

5. ἀλογώτατα vulg. 6. ποιεῖ vulg. 12. ἀπείρων] ἄπειρον vulg. 14. τε om. vulg. 17. καὶ om. T. 25. ἐστι συγκείμενος] ἐπισυγκείμενον vulg. 26. ἑκάστης ἰδίᾳ] ἑκάστη διὰ vulg.

ἐν τοῖς ἀπείροις κόσμοις πρὸς ἑκάστην ἄπειρον μέγεθος ποιούσης ἐν τῇ πρὸς ἀλλήλους τῇ κατὰ μίαν σύνθεσιν, εἴ γε ἄπειρον ἀναγκαῖον εἶναι τὸ ἐξ ἀπείρων μέγεθός τι ἐχόντων σύγκειμενον. εἰ δὲ ἐκ πεπερασμένων ὄν, τοσαυτάκις ἄπειρα τὰ ὄντα, ἐξ ὅσων ἕκαστος κόσμος πεπερασμένος στοιχείων ἐστίν. εἰ δὲ καὶ τὸ μεταξὺ κενὸν συγκαταριθμοῖτο, πολὺ μεῖζον ἂν ἔχον τὸ γινόμενον γίνοιτο. εἰ δὲ ταῦτα παράλογα καὶ ὑπερβάλλοντα πᾶσαν ἀτοπίαν, δῆλον [δ'] ὡς ἄτοπος ἡ τῆς ἀπειρίας ὑπόθεσις, ἧς ἑπομένης καὶ τοῖς πᾶν τὸ πεπερασμένον παρὰ τὸ ἐκτὸς περαίνειν λέγουσι καὶ τοῖς ἀξιοῦσιν ἐκτείνειν δύνασθαί τι τὸν ἐπὶ τοῦ πέρατος γενόμενον ἐπέκεινα καὶ ἔξω τοῦ πέρατος, δῆλον ὡς καὶ ταῦτα ἐνέχοιτο ἂν τοῖς ἀτόποις τοῖς προειρημένοις. διὸ λύειν αὐτὰ πειρατέον ἀπὸ τῆς οὐσίας αὐτῶν τὴν ἀρχὴν λαμβάνοντας, οὐκ ἀπὸ τῆς αἰσθήσεως τῆς μηδὲν εἰς τὴν γνῶσιν αὐτῶν συντελούσης. εἰ μὲν οὖν τῷ πεπερασμένῳ τὸ εἶναι πεπερασμένῳ ἐστὶν ἐν τῷ θεωρεῖσθαι παρ' ἄλλο, καλῶς ἂν λέγοιεν οἱ ἐναντίοι, ἀξιοῦντες παντὸς πεπερασμένου ἐκτὸς ὀφείλειν εἶναί τι παρ' ὃ περαίνειν φαίνεται, εἴ γέ ἐστιν ἐν τούτῳ τῷ πεπερασμένῳ τὸ εἶναι. εἰ δέ ἐστι πεπερασμένον τὸ πέρας ἔχον καὶ τὸ

2. ἐν τῇ] in collatione ipsorum inter se secundum compositionem unam Bagolinus. 5. ὄν] ὤν T. 8. ἔχον] ἔχοι vulg. sed corrigendum fort. ἔτι. 10. δ' del. vel καὶ scrib. 17. ἀπὸ] οὐκ ἀπὸ vulg. 18. οὐκ] ἀλλ' T. 21. καλῶς om. T. ἂν om. vulg. 23. περαίνειν] περ εἶναι T.

οἷόν τε εἰς ἴσα διαιρεῖσθαι καὶ τὸ ἐκ πεπερασμένων μερῶν συγκείμενον, ὧν οὐδενὶ τὸ εἶναι ἐν τῷ ἐκτὸς ἔχειν αὐτοῦ τι, οἱ λαμβάνοντες πᾶν τὸ πεπερασμένον παρά τι περαίνειν οὐ τῶν ἐν τῇ οὐσίᾳ τοῦ πεπερασμένου περιεχομένων λαμβάνοιεν ἄν τινα, ἀλλά τι συμβεβηκὸς τούτοις, οἷς τοῦ παντὸς μέρεσιν ὑπάρχει τὸ πεπεράνθαι. τούτοις γὰρ ὑπάρχοντος τοῦ παρ' ἄλλα ὁρᾶσθαι, καὶ οὐ διὰ τοῦτο πεπεράνθαι, ἀλλὰ διὰ τὸ μέρεσι τοῦ παντὸς εἶναι, ἀξιοῖ τοῦτο μεταφέρειν καὶ ἐπὶ τὸ ὡς πᾶν πεπερασμένον, μόνοις τοῖς ὡς μέρεσι πεπερασμένοις τούτου παρακολουθεῖν δυναμένου, οὐχ ᾗ πεπερασμένα, ἀλλ' ᾗ μέρη, καὶ γὰρ εἰ μὲν τὸ πεπερασμένον τῇ αὑτοῦ φύσει πεπεράνθαι ἔχει, τὸ δὲ πρός τι περαίνειν ἐν τῇ πρὸς ἄλλο σχέσει τοιοῦτον, οὐκ ἂν εἴη τὸ πεπερασμένον ἐν τῷ περαίνειν πρός τι ὂν ἐκ τοσούτου. χρὴ γὰρ τὸν εἰσάγοντα διὰ τῶν λόγων φύσιν οὕτως ἄτοπον καὶ τοῖς οὖσί τε καὶ γινομένοις μαχομένην, ὡς ἐδείξαμεν, οὐκ ἐκ βραχείας πιθανότητος ποιεῖσθαι τὴν κατασκευήν τε καὶ τὴν πίστιν αὐτῆς, οὐδὲ ἀπὸ συμβεβηκότος τινός τισι τῶν πεπερασμένων τὴν φύσιν τοῦ πεπερασμένου λαμβάνοντος.. οὔτε γὰρ ἕπεται τοῦτο ἐπὶ τῷ λέγοντι τὸ πᾶν εἶναι πεπερασμένον, οὔτε ἐκ τῆς αἰσθήσεως ἔχουσί τι περὶ αὐτοῦ τοιοῦτο

1. διαρεῖσθαι T. 2. τὸ] τί vulg. 10. fort. ἀξιοῦσι.
13. ἀλλ' ᾗ] ἀλλὰ vulg. 15. ἔχει] ἔχειν vulg. fort. τὸ πεπερ.
26. τι] τῆς T.

λέγειν, ἥ τε ἀπὸ τῶν ὑπὸ τὴν αἴσθησιν πεπερασμένων παράθεσις οὐχ ὁμοία, εἴ γε ταῦτα μὲν ὁμολογεῖται πρὸς τῷ πεπεράνθαι [τὸ] καὶ μέρη τοῦ παντὸς εἶναι, τὸ δὲ πᾶν οὐκέθ' οἷόν τε μέρος τινός. ὅτι δὲ μὴ ἐπὶ πάντων τῇ αἰσθήσει χρηστέον, αὐτοὶ πρὸς οὓς ὁ λόγος, δεικνῦσιν, ἄτομά γέ τινα μεγέθη τιθέμενοι ἐκπίπτοντα τὴν αἰσθητὴν φύσιν καὶ κενόν τι εἶναι λέγοντες καὶ ἀμερῆ τινα καὶ ἀσώματα καὶ κινήσεις καὶ χρόνους εἰσαγόμενοι.

Ὡς δὲ ἦν τούτου τοῦ λόγου ἀπὸ συμβεβηκότος τοῖς πεπερασμένοις ἡ ἐπιχείρησις, ἀλλ' οὐκ ἀπὸ τῆς οὐσίας τοῦ πεπερασμένου, καὶ ἀπὸ τῆς κατὰ τὴν αἴσθησιν συνηθείας, οὐκ ἀπὸ τῆς κατὰ τὸν λόγον ἀκολουθίας, οὕτω δὲ καὶ ἐπὶ τοῦ δευτέρου, ὃς ἀξιοῖ τὸν ἐν τῷ πέρατι τοῦ παντὸς γενόμενον ἐκτείνειν τε ἐπέκεινα τοῦ πέρατος ἢ κωλήθυσεται, ἀμφοτέρως δὲ ἔσεσθαί τι τοῦ παντὸς ἐκτός. καὶ γὰρ οὗτος ἀπὸ τῶν ἐκ μερῶν πεπερασμένων τὴν ἐπιχείρησιν ἐπὶ τὸ πᾶν μεταφέρει καὶ ἀξιοῖ τοῖς ἀπὸ τῆς περὶ ταῦθ' ἡμῖν αἰσθήσεώς τε καὶ ἀπ' αὐτῶν φαντασίας γινομένης χρῆσθαι, ὡς ἐπὶ πάντων οὕτως ἐχούσης. τὸ δ' οὐχ οὕτως ἔχει. οὐ γὰρ τὸ φαινόμενον ἀληθές. οὐ γὰρ εἰ φαντασίαν ἑαυτοῦ τις λάβοι ὄντος ἔν τισι τόποις, ἐν οἷς ἤ ποτε γέγονεν ἢ

3. τὸ del. 12. τοῖς] τὶ ἢ T. 17. τε] fort. del. 18. ῃ] fort. ἢ ὅτι δή, nisi κωλυθήσεσθαι scripseris. 21. τοῖς] τὰ vulg.

οὐδὲ γέγονε τὴν ἀρχὴν, διὰ τοῦτο καί ἐστιν, ἔνθα οἷόν τε. τοῦ γὰρ μὴ πᾶν τὸ φαινόμενον ἀληθὲς εἶναι ἱκανὰ μαρτύρια καὶ τὰ κοιμωμένων καὶ ἐγρηγορότων κενὰ γινόμενα φαντάσματα, οἷς ὅμοιον καὶ τὸ ὑποτίθεσθαι ἐν τῷ πέρατί τινα γίνεσθαι τοῦ παντὸς τῶν δυναμένων ἐπέκεινα τοῦ πέρατος ἐκτείνειν τι κρατούμενον. τί γὰρ διαφέρει τῆςδε τῆς φαντασίας τε καὶ ὑποθέσεως τὸ ἐν τῷ μὴ ὄντι ἑαυτὸν, γινόμενον ὑποτίθεσθαι καὶ ζητεῖν, πότερον αὐτὸν προσιόντα αὐτῷ παραδέξεται ἢ οὐ παραδέξεται, καὶ πότερον γινόμενος ἐν αὐτῷ στήσεται καὶ οὐδὲν τὸ ἀντιβαῖνον ἕξει καὶ ἐκτεῖναι τὴν χεῖρα δυνήσεται ἢ ἐμποδὼν ἔσται τι αὐτῷ, ὅτι γὰρ τούτων ὑποθετέον τί ἐστι τὸ μὴ ὄν. διὸ βέλτιον τὰς τοιαύτας φαντασίας ἐλέγχειν οὔσας κενὰς, ἑπομένους ταῖς διὰ τῶν λόγων ἀποδείξεσι καὶ χρωμένους τοῖς δεδειγμένοις διὰ πλειόνων, ταῦτα δ' ἔστιν, ὅτι μὴ σῶμα οἷόν τέ τι ἄπειρον εἶναι μήτε τῶν ἁπλῶν μήτε τῶν συνθέτων, ἀλλὰ μηδὲ τὸ κενόν τι. καθόλου γὰρ ἀδύνατον ὑφεστάναι διάστημα ἄνευ σώματος· οὔτε γὰρ μῆκος οἷόν τέ τι εἶναι καθ' αὑτὸ κεχωρισμένον σώματος, οὔτε πλάτος, οὔτ' οὖν βάθος. τὰ γὰρ ὑπὸ τῶν γεωμετρῶν λεγόμενα διαστήματα ἐφ' ἓν τε καὶ δύο καὶ τρία οὐχ ὡς ὑπόστασιν οἰκείαν ἔχοντα λέγονται πρὸς αὐτῶν· χωρίζονται γὰρ αὐτῇ τῇ ἐπινοίᾳ τῶν φυσικῶν σωμάτων, ἃ καὶ κυρίως

2. οἷόν τε] num ᾤετο? 12. καὶ om. T.

ἐστὶ σώματα, καὶ χωρὶς σώματος λαμβάνοντες ποιοῦνται περὶ αὐτῶν τοὺς λόγους ζητοῦντες καὶ δεικνύντες, τίνα ἐστὶ τὰ ὡς τοιούτοις αὐτοῖς ὑπάρχειν τε καὶ συμβεβηκέναι δυνάμενα. οἱ δὲ τὸ κενὸν εἶναι τιθέμενοι οὐδὲν ἄλλο ἢ τρεῖς διαστάσεις ἐν ὑπάρξει λαμβάνουσιν εἶναι χωρὶς ὕλης, οἳ λέγοντες εἶναι δεκτικὸν σωμάτων οὐδὲν ἀλλ' ἢ διάστημα διαστήματός φασιν εἶναι δεκτικόν. οὐδὲ γὰρ τὸ σῶμα κατ' ἄλλο τί ἐστιν ἐν τόπῳ, ἢ κατὰ τὰς τρεῖς διαστάσεις τὰς ἐν αὐτῷ· οὐ γὰρ καθὸ χρῶμά τι ἢ χυμόν τινα ἢ ἄλλο τι τῶν συμβεβηκότων ἔχει τὸ σῶμα, ἐστὶν ἐν τόπῳ, ἀλλὰ κατὰ τὰ ἐν αὐτοῖς διαστήματα, ὧν εἰ δεκτικὸν τὸ ἴσον ἐστὶ, κενὸν ἔσται τὸ διάστημα γινόμενον ἐν διαστήματι, ἀλλ' εἰ μὴ ἀρκεῖ τῷ σώματι πρὸς τὸ εἶναι τὸ οἰκεῖον διάστημα, ἀλλὰ ἄλλου ἴσου τοῦ ἐν αὐτῷ δεῖται διαστήματος, τί δή ποτε οὐ καὶ τὸ κενὸν ἐν ἄλλῳ τινὶ ἔσται διαστήματι, εἴ γε τὰ διαστήματα ἄλλων δεῖται πρὸς τὸ εἶναι διαστήματα; καί τοι εὔλογον, ὡς μῆκος οὐχ οἷόν τε ὑφεστάναι χωρὶς ὕλης αὐτό τι καθ' αὑτὸ, ὁμοίως δὲ οὐδ' ἐπίπεδον, οὕτω μηδὲ πρὸς τούτῳ ὃ προσειληφὸς τὴν τρίτην διάστασιν, βάθος ἣν ὀνομάζομεν, ὁποῖόν φασι τὸ κενὸν εἶναι. κενὸν μὲν οὖν διὰ τοῦτο οὐκ ἂν εἴη τὸ τοῦ παντὸς ἐκτός. δέδεικται δὲ διὰ πλειόνων καὶ

21. οὐχ οἷόν] οὐ μόνον vulg. 23. τούτῳ] τοῦτο vulg.

ὅτι μηδὲ σῶμά τι οἷόν τε ἄπειρον εἶναι· οὐδὲ γὰρ τὰ ἁπλᾶ σώματα οἷόν τε πλείω εἶναι τῶν πέντε σωμάτων, τεσσάρων μὲν τῶν ἐνύλων, πέμπτου δὲ τοῦ θείου σώματος καὶ κυκλοφορητικοῦ, οὔτε τι τούτων ἄπειρον εἶναι. δέδεικται δὲ καὶ, ὅτι τῶν ἁπλῶν ὄντων πεπερασμένων καὶ τὸν ἀριθμὸν καὶ τὸ μέγεθος ἀνάγκη καὶ τὰ ἐκ τῆς τούτων συνθέσεώς τε καὶ μίξεως καὶ κράσεως τὸ εἶναι ἔχοντα εἶναι καὶ αὐτὰ πεπερασμένα. δέδεικται δὲ ὅτι μηδὲ πλείους οἷόν τε κόσμους εἶναι, ἀλλ' ἀνάγκη πᾶσαν τὴν τῶν σωμάτων φύσιν εἶναι ἐν τῷ κόσμῳ. ὧν οὕτως ἐχόντων οὐδὲν ἂν εἴη τοῦδε κόσμου, ὃ καὶ πᾶν ἐστιν, ἐκτὸς, οὔτ' ἄλλου σώματος παρὰ ταῦτα εἶναι, οὔτε κενοῦ τινος διαστήματος ὄντος ἔξω τῆς διαστάσεως τῶν σωμάτων, ἃ πάντα ἀναιρεῖν ἄτοπον βραχείᾳ τινὶ ἐνδόντας πιθανότητι, ἀλλὰ χρὴ τοὺς θαῤῥοῦντας πρὸς τοὺς ἐξετάζοντας, εἰ ὁ γενόμενος ἐν τῷ πέρατι τοῦ παντὸς ἐκτείνει τὴν χεῖρα ἢ κωλυθήσεται, λέγειν ἀποκρινομένους, ὅτι οὐκ ἐκτενεῖ, ἀλλὰ κωλυθήσεται, κωλυθήσεται δὲ οὐχ ὡς αὐτοὶ λέγουσιν, ὑπό τινος ἀντιβαίνοντος ἐκτὸς περικειμένου τῷ παντὶ, ἀλλὰ πολὺ μᾶλλον ὑπὸ τοῦ μηδὲν εἶναι. πῶς γὰρ ἄν τις εἰς τὸ μηδὲν ἐκτείναι τι, ἢ πῶς ἂν ἐν τῷ μηδὲ ὅλως ὄντι γένοιτο; τὴν ἀρχὴν

1. οὐδὲ] fort. οὔτε. 11. πᾶσα T. 13. fort. τοῦδε τοῦ. 16. ἃ πάντα] ἅπαντα vulg. 21. alterum κωλυθήσεται om. vulg. 22. δὲ] om. Bagolinus.

γάρ, οὐδ' ἂν ὁρμήν τι λάβοι εἰς τὸ ἐκτείνειν τι τῶν αὑτοῦ μερῶν ἐν τῷ μηδενί· τοιαύτη γὰρ ἡ τοῦ μὴ ὄντος φύσις.

Περὶ τοῦ ἐφ' ἡμῖν τινα. ιγ'.

Ἐπεὶ τὸ ἐφ' ἡμῖν ἐστι ἐν λογικῇ συγκαταθέσει· διὰ τοῦτο γὰρ ἐν μόνῳ τῷ ἀνθρώπῳ τὸ ἐφ' ἡμῖν, ὅτι καὶ μόνος τῶν ζώων ἄνθρωπος λογικός τέ ἐστι καὶ βουλευτικός· συγκατατίθεται μὲν γὰρ καὶ τὰ ἄλογα ζῶα, ἀλλὰ ταῦτα μὲν ταῖς φαντασίαις ταῖς ἀπὸ τῶν αἰσθητῶν διὰ τῶν αἰσθήσεων γινομέναις ἐν αὐτοῖς ἑπόμενα, καὶ τῷ ἀπὸ τούτων ἐν αὐτοῖς γινομένῳ πάθει τὰς συγκαταθέσεις ποιεῖται ἀγόμενα ὑπ' αὐτῶν, ᾗ ἂν ἐκεῖνα ἄγῃ, ὁ δ' ἄνθρωπος, ὅταν ὡς ἄνθρωπος ποιῆται τὰς συγκαταθέσεις δεῖται πρὸς ταῖς φαντασίαις καὶ λόγου, ὃν ἔχων παρὰ τῆς φύσεως πρὸς τὴν τῶν τοιούτων κρίσιν ἄνθωπός ἐστιν, δι' οὗ λόγου κρίνει τὰ φαντάσματα. διὸ κἂν βουλευομένῳ περὶ τῆς προσπεσούσης φαντασίας αὐτῷ μὴ τοιοῦτον δοκῇ, ὁποῖον τὴν ἀρχὴν ἐφαίνετο, οὐ συγκατατίθεται, αὐτῷ συγκατατιθέμενος ἂν τὸ ὅσον ἐπὶ τῷ ἀπὸ τῆς φαντασίας πάθει, καί ἐστι προαίρεσις ἡ τοιαύτη συγκατάθεσις ὄρεξις οὖσα βουλευτική· τὸ γὰρ ἐκ τῆς βουλῆς περὶ τοῦ ἐκ τοῦ αἰσθητοῦ τε

6. μόνῳ] Bagolinus, μὲν vulg. 7. μόνος] Bagolinus, μόνων vulg.

καὶ πρὸ αὐτοῦ προκριθὲν ἡ προαίρεσις. εἰ μὲν οὖν καὶ βουλευομένοις ἡμῖν εἵπετο τῇ φαντασίᾳ συγκατατίθεσθαι, οὐκ ἂν ἦν ἐφ' ἡμῖν, οὐδ' ἦν μετὰ τῆς βουλῆς συγκατάθεσις· ἐπεὶ δὲ ἀλλοιοτέραν ἡμῖν πολλάκις τὸ βουλεύσασθαι τὴν συγκατάθεσιν ποιεῖ τὴν ἐπὶ φαντασίᾳ τοῦ ἀπ' αὐτῆς πάθους, οὐκ ἔτ' ἂν εὐλόγως ταῖς φαντασίαις λεγοίμεθα συγκατατίθεσθαι· ἐπεὶ μηδὲ ταῖς φαντασίαις συγκατατιθέμεθα, ἦν δὲ τοῦ ἐφ' ἡμῖν ἀναιρετικὸν τοῦτο, οὐδ' ἂν τὸ ἐφ' ἡμῖν εἶναί τι ἀναιροῖτο. καὶ γὰρ εἰ μὲν εἵπετο πάντως ἡμῖν τὸ βουλεύεσθαι ἐπὶ πάσῃ φαντασίᾳ, ἴσως ἂν ἐδόκει καὶ αὐτὸ οὐκ ἐφ' ἡμῖν εἶναι, ἀλλὰ σύμπτωμά τι τῆς φαντασίας γενόμενον ὑπ' αὐτῆς, οὗ παρ' ἐκείνης τὸ εἶναι ἔχοντος ἔδοξεν ἂν καὶ ἡ ἐπ' αὐτῷ συγκατάθεσις κατ' ἐκείνην γίνεσθαι, καθ' ἣν καὶ τὸ βουλεύεσθαι, ἐφ' ᾧ ἡ συγκατάθεσις. εἰ δὲ μὴ ἡ φαντασία τοῦ βουλεύεσθαι τὸν ἄνθρωπον κυρία, ἀλλ' ἔστιν ἐπ' αὐτῷ καὶ τὸ βουλεύσασθαι καὶ τὸ μή, πολλαῖς γοῦν φαντασίαις χωρὶς τοῦ βουλεύσασθαι συγκατατιθέμεθα τοῖς ἀλόγοις ζώοις παραπλησίως, οὐδ' ἂν ἡ τοιαύτη συγκατάθεσις τῆς φαντασίας ἔργον εἴη ὑπεναντιουμένη ἐν πολλοῖς τε αὐτῇ καὶ πολλαχῶς. ὅτι δ' ἡμεῖς τοῦ βουλεύεσθαι περὶ τῶν φαντασιῶν κύριοι, δῆλον ἔκ τε τοῦ προειρημένου τοῦ ἡμᾶς ἔχειν τὴν ἐξουσίαν τοῦ βουλεύσασθαί τε καὶ μή, καὶ μὴ τὴν φαντα-

8. λεγόμεθα vulg. 11. μὲν] μὴ T. 12. τὸ] τοῦ vulg.
24. αὐτῇ] αὐτοῖς V, αὐτῆς T.

σίαν εἶναι τούτου κυρίαν, εἰ γὰρ μὴ φαντασία, τί ἂν ἄλλο τεθείη παρ' ἡμᾶς τὸ κύριον τοῦδε; οὐ γὰρ ἐπεὶ κοινότερον λέγομεν φαίνεσθαι ἡμῖν καὶ τὸ κατὰ τὸν λόγον εὑρεθέν τε καὶ δόξαν, ἤδη χρὴ φαντασίαν τε καὶ ἐπὶ φαντασίᾳ λέγειν τὴν τοιαύτην συγκατάθεσιν, εἴ γε ἡ κυρίως φαντασία ἐστὶν κίνησις ὑπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως. ἀλλὰ τὸ ἐπαινεῖσθαι μὲν τοὺς βουλευομένους, ψέγεσθαι δὲ τοὺς μή, σημεῖον τοῦ ἐφ' ἡμῖν εἶναι τὸ βουλεύεσθαι καὶ μὴ τῆς φαντασίας ἔργον· οἱ γὰρ ἔπαινοι καὶ οἱ ψόγοι ἐπὶ τοῖς ἐφ' ἡμῖν, διὸ ἐπὶ ταῖς φαντασίαις οὔτε ἐπαινούμεθα οὔτε ψεγόμεθα, εἰ μή τισιν αὐτῶν ἡμεῖς αἴτιοι, ἐπὶ δὲ ταῖς ἐπ' αὐταῖς συγκαταθέσεσιν ἤδη τούτων θάτερον. ψεγόμεθα γὰρ καὶ τῶν φαντασιῶν ἐπ' ἐκείναις, ὅσαι γίνονταί γε δι' ἀνασκησίαν ἡμῖν τοιαῦται, ἧς ἀσκήσεως ἡμεῖς ἦμεν κύριοι, ἐπεὶ τὸ συμβούλους παραλαμβάνειν ἢ καὶ τοῦδε μᾶλλον ἢ ἀντὶ τῶνδε ἐφ' ἡμῖν, δῆλον ὡς ἐφ' ἡμῖν καὶ τὸ βουλεύεσθαι τὴν ἀρχήν. εἰ γὰρ ἐφ' ἡμῖν τὸ τοῖςδε χρήσασθαι συμβούλοις, δι' οὓς ἡ τοιαύτη συγκατάθεσις, ἐφ' ἡμῖν καὶ τὸ βουλεύεσθαι. ἐπεὶ περὶ τῶν ἐκ προνοίας ἁμαρτανομένων μείζους αἱ κολάσεις ὡς κατὰ προαίρεσιν πεποιηκότων, δῆλον ὡς καὶ πᾶν τὸ ἐκ προνοίας γινόμενον ἐφ ἡμῖν.

1. φαντασία] φαντασίαν vulg. 2. ἄλλο τεθείη] ἀλλοιωθείη T. 18. ἐπεὶ] ἐπὶ T.

Ἐπιδρομὴ τῶν ἐν τῷ τετάρτῳ Μετεωρολογικῶν, ἀτελής. ιδ΄.

Εἰπὼν ἐν τῷ δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς περὶ τῶν τεττάρων στοιχείων, πυρὸς ἀέρος ὕδατος γῆς, τίς αὐτῶν ἡ κατ' εἶδος οὐσία τε καὶ αἰτία, δείξας δ' οὖσαν αὐτοῖς καὶ τὴν γένεσιν ἐξ ἀλλήλων κατὰ τὴν τῶν εἰδοποιουσῶν αὐτὰς διαφορῶν εἰς ἀλλήλας μεταβολήν, ἐν τούτῳ τῷ ἐπιγραφομένῳ μὲν τετάρτῳ Μετεωρολογικῶν, ὄντι δὲ μᾶλλον οἰκείῳ τῇ περὶ γενέσεώς τε καὶ φθορᾶς πραγματείᾳ πρῶτον ὑπέμνησεν τῶν εἰδοποιουσῶν τὰ στοιχεῖα τὰ τέσσαρα διαφορῶν, αἳ ἦσαν δύο αἱ πρῶται τῶν ἁπλῶν ἐναντιώσεων, θερμότης ψυχρότης, ὑγρότης ξηρότης. τούτων γὰρ τετραχῶς συνδυαζομένων ἀλλήλοις ἕκαστον αὐτῶν εἰδοποιεῖται. μεθ' ἃ ἔδειξεν τῶν τεσσάρων τούτων διαφορῶν τὰς μὲν δύο ποιητικὰς οὔσας, θερμότητά τε καὶ ψυχρότητα, παθητικὰς δὲ τὰς δύο, τήν τε ξηρότητα καὶ τὴν ὑγρότητα, καὶ ἑκάστῳ τῶν στοιχείων ἐξ ἑκατέρων τῆς ἐναντιώσεως τὴν ἑτέραν, ὡς καὶ τοῦ ποιεῖν καὶ τοῦ πάσχειν δύναμιν ἐν ἑαυτοῖς πάντα. μεθ' ἃ προέθετο μὲν εἰπεῖν τὰ ἔργα τὰ γινόμενα ὑπὸ τῶν ποιητικῶν δυνάμεων, ἅ ἐστιν, ὡς ἐρεῖ, πέψις, ἀπεψία, καὶ τὰ ἑκατέρου τούτων εἴδη, ἔτι δὲ τῶν πασχόντων ὑπ' αὐτῶν, ταῦτα δέ ἐστι

7. τὴν] τὰς vulg. 10. μᾶλλον οἰκείῳ] vid. Ideler ad Meteor. I, p. XVI. 15. συνδοιαζομένων vulg.

ξηρόν τε καὶ ὑγρὸν, τὰ εἴδη τε καὶ τὰς διαφοράς. καὶ πρῶτον εἰπὼν, ἐν οἷς ἐστίν τε καὶ γίνεται ἡ τοιαύτη μεταβολὴ, ὅτι ταῦτ' ἔστιν τὰ πεφυκότα καὶ τὰ ζῶα καὶ τὰ τούτων μέρη, ὡς ἐκ τῆς τῶν τεσσάρων σωμάτων συνόδου τούτων ὄντων τῶν προηγουμένως γινομένων κατὰ φύσιν· καὶ ἐπὶ τούτοις ἀποδιδοὺς, τί ἐστιν ἡ ἁπλῆ τε καὶ ἡ φυσικὴ γένεσις, ὅτι γὰρ μεταβολὴ ὑπὸ τῶν ποιητικῶν δυνάμεων θερμότητός τε καὶ ψυχρότητος τῆς ὑποκειμένης ὕλης ἐν ἑκάστῃ φύσει κατὰ τὰς δυνάμεις τὰς παθητικὰς ξηρότητά τε καὶ ὑγρότητα, ὅταν ἔχωσι λόγον πρὸς ἀλλήλας, ὡς δύνασθαι τὰς μὲν ποιεῖν τε καὶ μεταβάλλειν, τὰς δὲ μεταβάλλεσθαί τε καὶ πάσχειν. γεννῶσι γὰρ τὸ θερμὸν καὶ τὸ ψυχρὸν τὰ ὑπ' αὐτῶν κατὰ ταῦτα γεννώμενα, κρατοῦντα τῆς ὕλης, ὕλη δέ ἐστιν αὐτοῖς ἡ ἑτέρα ἐναντίωσις, ἥ ἐστι τὸ ξηρόν τε καὶ ὑγρόν. ὅταν δὲ μὴ κρατῇ μηδὲν τούτῳ τῷ λόγῳ πρὸς τὴν ὑποκειμένην αὐτοῖς ὕλην, εἰ μὲν εἴη κατὰ μέρη τινὰ μὴ κρατοῦντα τῆς ὑποκειμένης ὕλης, μώλυσίς τε καὶ ἀπεψία γίνεται· εἰ δ' ἐν τῇ γενέσει καθόλου γίνοιτο ἡ τοιαύτη τῶν ποιητικῶν ἀσθένεια, εἰς σῆψιν ἡ μεταβολή. ἡ γὰρ κατὰ φύσιν πᾶσα φθορὰ ὁδός ἐστιν εἰς σῆψιν, κατὰ φύσιν δ' ἡ εἰς φθορὰν ὁδὸς διὰ γήρως τε καὶ αὐάνσεως,

4. ὡς] ὡς δ' vulg. 10. τῆς] ἐκ τῆς Arist. p. 378, b, 33. ἐν om. Arist. 20. εἰ] ἢ εἰ vulg. 24. ἡ γὰρ] ἡ om. T. πᾶσαν vulg. vid. Aristot. cap. I. p. 379, 4.

ὧν ἡ μὲν ξηρότης τε καὶ αὔανσις εἴη ἂν ἐπὶ τῶν φυτῶν κυριώτερον λεγομένη, τὸ δὲ γῆρας ἐπὶ τῶν ζώων, εἰ δὲ κατὰ μὲν τὴν ἐν τοῖς μέρεσιν ἀσθένειαν τῶν ποιητικῶν δυνάμεων, γίνεσθαι τήν τε μώλυσιν καὶ ἀπεψίαν, ὧν μώλυσις μὲν πάλιν κυριώτερον ἂν ἐπὶ τῶν μερῶν τῶν ζώων. ἁπάντων γὰρ κατὰ φύσιν γενομένων τὸ κατὰ φύσιν τέλος σαπρότης τε καὶ σῆψις. οὐ γὰρ κατὰ φύσιν ἡ βίαιος φθορά. διὰ τοῦτο γὰρ τὰ κατὰ φύσιν φθειρόμενα πρῶτον μὲν εἰς ὑγρότητα μεταβάλλει τῷ μηκέτι κρατεῖν τὴν ἐν αὐτοῖς θερμότητα τῆς ὑγρότητος, ὥς πέττειν αὐτὴν δύνασθαι, τέλος δὲ τῆς αὐτῆς ὑγρότητος ὡς διατμηθείσης καὶ συνεκκριθείσης, ἐκκρινομένης καὶ διακρινομένης τῇ θερμότητι τὰ ὑπολειπόμενα ξηρά· γίνεται γὰρ τῶν σηπομένων τέλος τὸ εἰς ταῦτα διαλυθῆναι, ἐξ ὧν ἐγένετό τε καὶ συνέστη, ὁριζόντων καὶ μιγνύντων τῷ ξηρῷ τὸ ὑγρὸν τῶν ποιητικῶν, ἃ ἦν τὸ θερμὸν καὶ ψυχρόν. γίνεται δ' ἡ τοιαύτη φθορά, τουτέστιν ἡ κατὰ φύσιν, ὅταν διὰ τὸ περιέχον κρατῇ τοῦ ὁρίζοντος, ὅπερ ἦν τὸ θερμὸν προηγουμένως, τὸ ὁριζόμενον ὑπ' αὐτοῦ ἢ ὂν ὑγρόν τε καὶ ξηρόν. ἀναλισκομένου γὰρ ὑπὸ τῆς ἐν τῷ περιέχοντι πλείονος θερμότητος τοῦ ἐν τοῖς φθειρομένοις τε καὶ σηπομένοις θερμοῦ ἡ τῶν πασχόντων πλεονεξία γίνεται. καθόλου

3. εἰ δὲ] Bagolinus, εἴ γε vulg. 6. ἂν] fort. add. λέγοιτο. 16. σηπομένων] σημαινομένων T. 22. ἢ] fort. del 23. γὰρ om. T.

γὰρ σῆψίς τε τῶν σηπομένων γίνεται διὰ τὸν χωρισμὸν τῆς φύσεως ἐξ αὐτῶν, φύσις δ' ἐν ἑκάστῳ τῆς κινήσεως ἐν αὐτοῖς ἀρχὴ, ἐστὶν δ' ἐν πᾶσιν τοῖς κατὰ φύσιν συνεστῶσι προηγουμένως τοιοῦτο θερμόν. μεθὸ λόγον ἀπέδωκεν σήψεως φθορὰν αὐτὴν εἰπὼν εἶναι τῆς ἐν ἑκάστῳ θερμότητος τῆς ἐν τῷ περιέχοντι. ἐπεὶ δὲ κατ' ἔνδειαν θερμοῦ ἡ σῆψις, πᾶν δὲ τὸ τῆς δυνάμεως ἐνδεὲς ψυχρὸν, ἀμφότερά πως ποιητικὰ τῆς σήψεως γίνεται τὸ θερμόν τε καὶ ψυχρόν· γίνεται γὰρ ὑπὸ πλήθους ἑκατέρου τοῦ τε ψυχροῦ καὶ τοῦ θερμοῦ, ἀλλὰ ψυχροῦ μὲν οἰκείου, θερμοῦ δὲ ἀλλοτρίου. διὰ γὰρ τὴν τοιαύτην καὶ τοῦτον τὸν τρόπον γινομένην μεταβολὴν τὰ σηπόμενα ξηρότερα γίνεται καὶ τέλος γῆ καὶ κόπρος· γίνεται γὰρ τοῦτο τοῦ ἐξιόντος ἐξ ἑκάστου τῶν σηπομένων τοῦ οἰκείου θερμοῦ συνεξατμίζεται καὶ τὸ οἰκεῖον ἐν αὐτοῖς ὑγρὸν, ὃ αἴτιον γίνεται τῆς ξηρότητος, τῷ μηκέτι ἐν αὐτοῖς εἶναι τὸ ἐπαγόμενον καὶ ἐπισπώμενον τὸ ὑγρὸν, ὃ ἦν ἔμφυτος ἐν ἑκάστῳ θερμότης. προσέθηκεν δὲ ἀκόλουθον οὖσαν τοῖς προειρημένοις καὶ τὴν αἰτίαν τοῦ μὴ ὁμοίως ἐν τοῖς ψύχεσι σήπεσθαί τινα· τῷ γὰρ ἔλαττον τοῦ χειμῶνος εἶναι τὸ θερμὸν ἐν τῷ περιέχοντι οὐχ οὕτως μαραίνεταί τε καὶ κατισχύεται τὸ ἐν ἑκάστῳ θερμὸν οἰκεῖον, ἀλλ' οὐδὲ

1. τε] fort. ἐπί. 2. φύσεως] σήψεως T. 3. αὐτοῖς] θερμότητος αὐτοῖς T. 16. τοῦ] fort. ὅτι. 17. συνεξατμίζεται] sic in Arist. quidam libri pro συνεξατμίζει. 18. ὃ om. T.

τὰ πεπηγότα διὰ ψυχρότητα ὁμοίως σήπεται τῷ διὰ ψυχρότητα πλείονα μὴ κρατεῖσθαι ὑπὸ τῆς ἐν τῷ περιέχοντι ἀέρι θερμότητος, ἐπεί γε εἰ ἔμελλεν αὐτὸ κινεῖν τε καὶ μεταβάλλειν, τῷ κρατεῖν κινεῖ. ἀλλ' οὐδὲ τὰ ζέοντα σήπεται, διὸ καὶ τῆς ἐν τούτοις θερμότητος ἐλάττων ἡ ἐν τῷ περιέχοντι αὐτὰ ἀέρι θερμότης. ἀλλ' οὐδὲ τὰ κινούμενα καὶ ῥέοντα ὁμοίως ὑπὸ τοῦ ἐν τῷ περιέχοντι θερμοῦ κρατεῖται τοῖς ἀκινητίζουσί τε καὶ ἠρεμοῦσι· καὶ γὰρ οὕτως εὐσθενέστερα γίνεται ᾗ ἡ ἐν τῷ ἀέρι θερμότης ἐν τῷ κινουμένῳ. ἡ γὰρ κίνησις συναύξει τὸ ἐν ἑκάστῳ θερμὸν ῥιπίζουσά τε καὶ ἐξάπτουσα. τὴν δ' αὐτὴν αἰτίαν εἶναι καὶ τοῦ τὸ πολὺ ἧττον τοῦ ὀλίγου μεταβάλλειν τε καὶ σήπεσθαι· πλεῖον γὰρ καὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐν τῷ πλείονι, διὸ κρατεῖ ταῦτα τῶν ἐν τῷ περιέχοντι δυνάμεων. αὕτη γὰρ αἰτία, ᾗ καὶ ἡ θάλαττα καὶ τὸ ἄλλο ὕδωρ διαιρούμενον σήπεται. εἶπεν καὶ τὴν αἰτίαν τοῦ ἐκ τῶν σηπομένων γεννᾶσθαί τινα ζῷα· ἡ γὰρ ἐκ τῶν σηπομένων ἐκκρινομένη θερμότης οὖσα φυσικὴ γεννᾷ τινα καὶ συνίστησιν τὰ ἐκκριθέντα, ἐν οἷς ἂν εὔκρατα τύχῃ γενόμενα.

Εἰπὼν δὲ καθόλου περὶ τῆς κοινῆς γενέσεως καὶ φθορᾶς ὁμοίως ἦλθεν ἐπὶ τὸν περὶ ὧν

3. ἐπεί γε] ἐπεὶ δὲ vulg. et quia Bagolinus. 4. κινεῖ] κινεῖν vulg. 8. ὑπὸ τοῦ] ὑπ' αὐτοῦ vulg. 9. θερμῷ T. 14. τοῦ τὸ] τοῦτο vulg. 17. ᾗ om. T. 18. ἡ θάλαττα] τὴν θάλατταν T.

προέθετο λόγον, ταῦτα δ' ἦν τὸ εἰπεῖν, διὰ τίνων αἱ προειρημέναι δυνάμεις ἥ τε θερμότης καὶ ἡ ψυχρότης ἐργάζονται τήν τε γένεσιν τῶν γινομένων καὶ τὴν φθορὰν ἐκ τῶν ὑποκειμένων αὐταῖς, ταῦτα δ' ἦν ἐν τοῖς φυσικοῖς σώμασι τὰ ξηρά τε καὶ τὰ ὑγρά· ταῦτα γὰρ ἐκείνοις ὕλη. ἐπεὶ γὰρ πᾶσα γένεσις καὶ μεταβολὴ ὑπὸ τῶν ποιητικῶν δυνάμεων, ὧν τὸ μὲν θερμότης κυρίως γενέσεως αἴτιον· κρατοῦντος γὰρ τοῦ θερμοῦ καὶ συγκρίνοντος τὸ ξηρόν τε καὶ τὸ ὑγρὸν πέσσοντος καὶ ὁρίζοντος ἡ γένεσις. εἰ δὲ μὴ κρατοίη τοῦτο τῷ ψυχρὸν πλεῖον εἶναι, κατισχῦον τὸ ψυχρὸν τῶν ἐναντίων αἴτιον φθορᾶς τε καὶ σήψεως. ἐπεὶ δὲ καὶ ἡ πέψις πλεοναχῶς καὶ ἡ ἀπεψία, περὶ τούτων εἰπεῖν εὐλόγως προέθετο, καὶ πρῶτον μὲν λέγει, διὰ τίνων τὸ θερμὸν τὰς κατ' αὐτὸ γινομένας ἐν τῷ ὑποκειμένῳ ποιεῖται μεταβολάς, καί φησιν οἰκεῖον μὲν ἔργον εἶναι τῷ θερμῷ τὴν πέψιν, εἶναι δὲ τῆς πέψεως εἴδη τε καὶ διαφοράς, πέπανσιν ὄπτησιν ἕψησιν· τῆς τε ψυχρότητος οἰκεῖον ἔργον μὲν ἀπεψίαν εἶναι, ταύτης δὲ εἴδη πάλιν καὶ διαφοράς, ὠμότητα μώλυνσιν στάτευσιν. ἐφ' οἷς εἰπών, ὅτι μὴ οἰκεῖα μὲν ταῦτα τὰ ὀνόματα τοῖς καθ' ὧν εἴρηται, τῷ δὲ μὴ κεῖσθαι ἑκάστῳ αὐτῶν ὄνομα οἰκεῖον ἀπὸ τῶν ὠνομασμένων ἀνάγκη μεταφέρειν τὰ ὀνόματα καὶ ἐπὶ τὰ ὅμοια τοῖς ὠνομασμένοις, διὸ οὐ ταῦτα ἀλλὰ [τὰ] τοιαῦτα

12. τῷ] scrib. τῷ τό. 21. τε] fort. δέ. 23. μώλυνσιν] sic semel Bekkeri cod. E, conf. Ideler II, 400. 28. τὰ] del.

χρὴ νομίζειν εἶναι τὰ εἰρημένα, λέγει τε καὶ ὁρίζεται, τί τῶν εἰρημένων ἕκαστόν ἐστιν, καὶ πρῶτον τί ἐστι πέψις λέγει, καὶ ἐπὶ τούτοις τί ἐστιν ἀπεψία, ἥτις ἐστὶν ἀντικειμένη τῇ κοινῇ πέψει. μεθ' ἃ περὶ πεπάνσεως ποιεῖται τὸν λόγον ὑπὸ τὴν πέψιν οὔσης, καὶ μετὰ τὸν περὶ ταύτης λόγον περὶ ὠμότητος λέγει, ἣ οὖσα ὑπὸ τὴν ἀπεψίαν ἀντίκειται τῇ ἑψήσει. ἐφ' οἷς τί ἐστιν ὄπτησις εἰπών, ἣ καὶ αὐτὴ πέψις τίς ἐστι, λέγει περὶ στατεύσεως, ἣ τῶν ὑπὸ τὴν ἀπεψίαν οὖσα τῇ ὀπτήσει ἀντίκειται. ὧν τὴν μὲν πέψιν εἶπεν εἶναι τελείωσιν ὑπὸ τοῦ φυσικοῦ καὶ οἰκείου θερμοῦ τῶν ἀντικειμένων παθητικῶν, ἀντικείμενα δὲ ἦν ἀλλήλοις παθητικὰ ἡ ἐν ἑκάστῃ ὕλῃ ξηρότης τε καὶ ὑγρότης· ταῦτα γὰρ τὰ πεσσόμενα καὶ ὁριζόμενα ὑπὸ τοῦ θερμοῦ. ἀπεψία δὲ ἀτέλεια δι' ἔνδειαν τῆς οἰκείας θερμότητος, ὅ ψυχρότης ἐστίν. ὧν γὰρ τέλος ἡ πέψις, τούτοις ἡ ἀπεψία ἀτέλεια.

Πάλιν πέπανσιν μὲν εἶπεν πέψιν καὶ τελείωσιν τῆς ἐν τοῖς περικαρπίοις τροφῆς, τελείωσις δὲ τούτοις τὸ δύνασθαι ἐξ αὐτῶν γίνεσθαι ἄλλο τοιοῦτον. λέγεσθαι εἶπεν καὶ ἄλλα πέπονα κατὰ τὴν πρὸς αὐτὰ ἀναφοράν, ὠμότητα δὲ ἀπεψίαν καὶ ἀτέλειαν τῆς ἐν τῷ περικαρπίῳ τροφῆς. ἐφ' οἷς ἔδειξεν, ὅτι πᾶν τὸ πεπαινόμενον ἀναγκαῖον

13. τῶν] ἐκ τῶν Aristot. 14. ἐν ἑκάστῃ ὕλῃ] ἑκάστου ὕλη Bagolinus, ut videtur. conf. Arist. p. 379. b. 20 ibiq. var. lect. 23. λέγεσθαι] fort add. δέ — πέπανα vulg.

ἔχειν μὴ μόνον ὑγρότητα, ἀλλὰ καὶ ξηρότητα· ἐφ' οἷς ὡρίσατο τὴν ἕψησιν πέψιν ὑπὸ τῆς ἐν τῷ περιέχοντι ὕδατι θερμότητος τοῦ ἐν αὐτῷ ὑπάρχοντος ἀορίστου ὑγροῦ, ὅ ἐστιν ἢ πνεῦμά τι ἢ ὕδωρ. προσέθηκεν δὲ καὶ ἐφ' ὧν ἡ ἕψησις κατηγορεῖται κοινότερον ἕψεσθαι λεγομένων. ὡρίσατο δὲ καὶ τὴν μώλυνσιν τὴν ἐναντίαν ἑψήσει ἀπεψίαν εἶναι, ἐπεὶ δὲ πλεοναχῶς ἡ ἕψησις, καὶ τὴν μώλυνσιν τοσαυταχῶς, ἑκάστῃ διαφορᾷ ἑψήσεως οἰκείας τινὸς ἀντικειμένης μωλύνσεως. μεθ' ἃ τί ἐστιν ὄπτησις εἶπεν, ὅτι γὰρ πέψις ὑπὸ θερμότητος ξηρᾶς καὶ ἀλλοτρίας. ὑπὸ ξηρᾶς δὲ εἶπεν γίνεσθαι θερμότητος τότε, ὅταν ξηρὸν γίνηται τὸ πεσσόμενον οὕτως. τὴν δὲ τῇ ὡς ὀπτήσει λεγομένῃ πέψει ἀντικειμένην ἀπεψίαν οὐκ εἶπεν μὲν ὠνομάσθαι πάνυ τι, εἶναι δὲ παραπλησίαν στατεύσει, ὅταν τὸ ὀπτώμενον μεταβάλλῃ μὲν, μὴ μέντοι καὶ ὀπτηθῇ, ὃ γίνεται ἢ δι' ἔνδειαν θερμότητος τῆς μεταβαλλούσης τὸ ὀπτώμενον, ἢ διὰ πλῆθος τῆς ἐν τῷ ὀπτωμένῳ ὑγρότητος.

Εἰπὼν δὲ περὶ τούτων μετῆλθεν ἐπὶ τὸν περὶ τῶν παθητικῶν δυνάμεων λόγον, αἳ ἦσαν ξηρότης καὶ ὑγρότης, καὶ δεικνὺς, τίνες τούτων πάλιν εἰσὶν διαφοραὶ, καὶ τίνα καὶ πόσα εἴδη τὰ γινόμενα ἐξ αὐτῶν, πρῶτον μὲν ὑπέμνησε τοῦ ἀρχὰς εἶναι τῶν σωμάτων, καθὸ παθητικά ἐστι,

12. ξηρὰ καὶ ἀλλοτρία vulg. 13. ξηρὸν] ξηρότερον Aristot. p. 381, 28. 18. γίνεσθαι T.

τὸ ὑγρόν τε καὶ ξηρὸν, τὰ δ' ἄλλα, ὅσα μὴ ἀρχαὶ ἀλλ' ἐκ τῶν ἀρχῶν ὄντα τε καὶ γεγονότα, μικτὰ μὲν ἐκ τούτων εἶναι· ὁποτέρου γὰρ πλέον ἔχει τὸ μεμιγμένον, τούτῳ συντάσσεσθαι αὐτὸ, τὰ μὲν κατὰ τὸ ξηρὸν πλεονεκτοῦντα τῷ ξηρῷ, τὰ δὲ κατὰ τὸ ὑγρὸν τῷ ὑγρῷ, πάντα δὲ τῶν τε ὑγρῶν καὶ τῶν ξηρῶν τὰ μὲν ἐντελεχείᾳ ταῦτα λέγεται εἶναι, τὰ δὲ δυνάμει. ἐφ' οἷς λαβὼν, ὅτι ἡ μίξις τοῦ ὑγροῦ τε καὶ τοῦ ξηροῦ αἰτία τοῦ ὡρίσθαι τὰ ἐξ αὐτῶν μεμιγμένα· ἀόριστον γὰρ ἐκείνων ἑκάτερον καθ' αὑτὸ ὄν· λαβὼν δὲ καὶ τὸ ὑγρὸν μὲν παθητικὸν τῶν στοιχείων τὸ ὕδωρ εἶναι, ξηρὸν δὲ τὴν γῆν, ἐν οἷς καὶ τὸ ψυχρὸν ὂν δοκεῖ μᾶλλον εἶναι καθ' αὑτὸ παθητικὸν ἢ ποιητικόν· προσλαβὼν τὸ πᾶν ὡρισμένον παθητικὸν σῶμα ἢ μαλακὸν ἢ σκληρὸν εἶναι, καὶ εἰπὼν, τί μέν ἐστι τὸ μαλακὸν, τί δὲ τὸ σκληρὸν (σκληρὸν μὲν γὰρ τὸ ἀντιβαῖνον καὶ μὴ ὑπεῖκον κατὰ τὴν ἐπιφάνειαν, μαλακὸν δὲ τὸ ὑπεῖκον κατὰ τὴν ἐπιφάνειαν τῷ ὑπείκειν, οὐ τῷ διαιρούμενον ἀντιπερίστασθαι) ἑξῆς, ἐπεὶ πᾶν τὸ ὡρισμένον σῶμα σκληρὸν ἢ μαλακὸν, πεπηγὸς δὲ ἤδη τὸ ὡρισμένον, ἐπὶ τὸ περὶ πήξεως λέγειν ἦλθεν, καὶ ὑπομνήσας τῶν παρὰ τὴν ὕλην αἰτίων, ὅτι ἐστὶ τό τε ὅθεν ἀρχὴ τῆς κινήσεως, καὶ τὸ εἶδος, καὶ λαβὼν ταῦτα αἴτια εἶναι τῶν

9. ὑγροῦ] ψυχροῦ T. 20. τῷ ὑπείκειν, οὐ] τῶν ὑπ' ἐκείνου vulg. 24. παρὰ] sic in Aristot. p. 382, 28 optimus E et N, ceteri περὶ, conf. Ideler II, pag. 459.

γινομένων ἁπάντων φύσει· καὶ γὰρ πήξεως καὶ διαχύσεως, καὶ τοῦ ξηραίνεσθαι καὶ τοῦ ὑγραίνεσθαι, τίνα ἐστὶ τὰ ποιητικὰ καὶ τίνα πάθη τε καὶ εἴδη τῶν γινομένων ἔλαβεν, ποιητικὰ μὲν εἰπὼν εἶναι θερμότητά τε καὶ ψυχρότητα, πάθη δὲ τὰ ὑπὸ τούτων ἐπιγινόμενα τοῖς σώμασιν, τό τε θερμὸν καὶ τὸ ψυχρόν. ἐφ' οἷς ἐπανελθὼν ἐπὶ τὸν περὶ πήξεως λόγον, καὶ λαβὼν τὸ πήγνυσθαι ξηραίνεσθαί πως εἶναι, ἔφη δεῖν περὶ τούτου πρῶτον εἰπεῖν, καὶ πρῶτον μὲν ἔλαβεν, τίνα τὰ ξηραινόμενα, ὅτι γὰρ ὕδωρ, καὶ ὅσα ὕδατος εἴδη, καὶ ὅσα ἔχει ὕδωρ ἢ σύμφυτον ἢ ἔπακτον. ἐφ' οἷς ἐζήτησεν ὑπὸ τίνων ξηραίνεται, καὶ λαβὼν, ὅτι πάντα τὰ ξηραινόμενα ἢ θερμαινόμενα ἢ ψυχόμενα ξηραίνεται, προσέθηκεν τὸ καὶ τὰ θερμαινόμενα καὶ τὰ ψυχόμενα θερμῷ ξηραίνεσθαι ἢ τῷ ἐντὸς ἢ τῷ ἐκτὸς, τῷ μὲν ἐκτὸς, ἃ ὑπὸ τοῦ περικειμένου ξηραίνεται θερμοῦ· τῷ δ' ἐντὸς, ὅσα ὑπὸ ψυχροῦ· ὑπὸ γὰρ τοῦ ψυχροῦ ἀναλισκόμενον τὸ ἐνυπάρχον ἐν τοῖς ξηραινομένοις θερμὸν καὶ διαφορούμενον συνεξατμίζει καὶ τὸ ὑγρὸν τὸ ἐν αὐτοῖς, οὗ γινομένου ξηραίνεται.

Εἰπὼν δὲ τίνα τ' ἔστι τὰ ξηραινόμενα καὶ ὑπὸ τίνων καὶ διὰ τίνος, ὅτι γὰρ διὰ τοῦ θερμοῦ ἢ τοῦ ἐντὸς ἢ τοῦ ἐκτὸς, μετῆλθεν ἐπὶ τὸ

2. διαλύσεως T. 15. τὰ om. vulg. 17. ἢ τῷ] ἢ τῷδ' V. τῶν ἐν T. τῷ μὲν ἐκτὸς] om. vulg. aut extrinseco aut intrinseco, extrinseco quidem Bagolinus. 18. τὸ δ' vulg.

περὶ τῶν ὑγραινομένων λέγειν, ἃ τοῖς ξηραινομένοις ἐναντίον πάσχει πάθος, καὶ λαβὼν τοῦ ὑγραίνεσθαι διαφορὰς εἶναι· ὑγραίνεται γὰρ τὰ ὑγραινόμενα τὰ μὲν κατὰ σύστασιν, ὡς ὑγραίνεσθαι τὸν ἀέρα, τουτέστιν εἰς ὕδωρ μεταβάλλειν, ὃ ἦν παθητικὸν ὑγρόν. ψυχόμενον γὰρ τὸ πνεῦμα καὶ συνιστάμενόν τε καὶ παχυνόμενον καὶ γινόμενον τὴν εἰς ὕδωρ ποιεῖται μεταβολήν, περὶ πήξεως καὶ τῆς τοιαύτης εἰς ὕδωρ μεταβολῆς εἶπεν ἅμα δῆλον ἔσεσθαι, [καὶ] περὶ τήξεως, ἐπεὶ δοκεῖ τὰ πεπηγότα τηκόμενα. οἷς προσέθηκεν, τίνα ἐστὶν τὰ πηγνύμενα· πάντα γὰρ τὰ πηγνύμενα ἢ ὕδωρ ἢ ὕδατος εἴδη ὄντα πήγνυται ἢ γῆς καὶ ὕδατος μόνων, οἷς προσέθηκεν τὸ ὑπὸ τίνων πήγνυται· ἢ γὰρ ὑπὸ θερμοῦ, ἢ ὑπὸ ψυχροῦ, ἢ ὑπὸ ὑγροῦ. διὸ καὶ ὑπὸ τῶν ἐναντίων λύεται· τὰ μὲν γὰρ ὑπὸ ξηροῦ θερμοῦ παγέντα, ὅ ἐστι πῦρ, ὑπὸ ὕδατος λύεται, ὅ ἐστιν ὑγρόν τε καὶ ψυχρόν, τὰ δὲ ὑπὸ ψυχροῦ παγέντα ὑπὸ θερμοῦ λύεται, πυρὸς γάρ. οἷς προσέθηκεν, ὅτι ὅσα μὲν τῶν πηγνυμένων ὕδατός ἐστιν, ταῦτ᾽ οὐ πήγνυται ὑπὸ πυρός· λύεται γὰρ ὑπὸ τούτου, καὶ γὰρ εἰ πήγνυται ταῦτα τῷ τὸ ἐν αὐτοῖς θερμὸν χωρίζεσθαι, εὐλόγως ἂν λύοιτο παρουσίᾳ τούτων· ἀλλὰ τῆς τούτων πήξεως τὸ ψυχρὸν πηκτικόν. διὸ μηδὲ παχύνεσθαι τὰ τοιαῦτα τῷ τὴν μὲν πάχυνσιν γενέσθαι τοῦ μὲν ὑγροῦ ἀπιόντος, συνισταμένου

4. ὡς om. T. 10. καὶ del. τήξεως] πήξεως vulg. 22. εἰ] ἢ vulg. 24. τούτων] fort. τούτου.

δὲ τοῦ ξηροῦ, καὶ τὸ ὕδωρ μὴ δύνασθαι μόνον τῶν ὑγρῶν παχύνεσθαι διὰ τὸ μηδὲν ἔχειν ἐν αὑτῷ ξηρότητος, τὸ δὲ μεμιγμένον ἐξ ὕδατός τε καὶ γῆς ὑπ' ἀμφοτέρων πήγνυσθαι καὶ ὑπὸ θερμοῦ καὶ ὑπὸ ψυχροῦ· ἐπεὶ δὲ διὰ τοῦ παχύνεσθαι ἡ τούτων πῆξις, εἶπεν αὐτὰ παχύνεσθαι μὲν ὑπ' ἀμφοτέρων τοῦ τε θερμοῦ καὶ τοῦ ψυχροῦ, οὐ μὴν τὸν αὐτὸν τρόπον, ἀλλ' ὑπὸ μὲν τοῦ θερμοῦ τὸ ὑγρὸν ἐξατμίζοντος, ὑπὸ δὲ τοῦ ψυχροῦ τὸ ἐν αὐτοῖς θερμὸν ἐκθλίβοντος, μεθ' οὗ συνεξατμίζεσθαι τὸ ἐν αὐτοῖς ὑγρόν. ἐφ' οἷς προσέθηκεν, τίνα μὲν τῶν μικτῶν παχύνεται, τίνα δὲ οὐ παχύνεται, ἀλλὰ πήγνυται. εἰπὼν δὲ, τίνα τε πήγνυται, καὶ πῶς, καὶ ὑπὸ τίνων, ἐφεξῆς εἶπεν περὶ τῶν λυομένων τε καὶ τηκομένων. τὰ μὲν ὑπὸ ψυχροῦ τῶν μικτῶν παγέντα, ἐν οἷς ἐστι γῆς πλέον. ὅσα μὲν τῷ θερμὸν ἐξεληλυθέναι πήγνυται, ταῦτα λύεταί τε καὶ τήκεται θερμῷ, εἰσιόντος πάλιν εἰς αὐτὰ τοῦ θερμοῦ, ὡς γίνεται ὑπὸ τοῦ πεπηγότος πηλοῦ διὰ ψυχρότητα. ὅσα δὲ διὰ ψύξιν μὲν πέπηγεν, οὐχ οὕτω δὲ, ὡς τὸ θερμὸν αὐτῶν κεχωρίσθαι μόνον, ἀλλ' ὡς σὺν τούτῳ καὶ τὸ ὑγρὸν ἐξητμίσθαι, ταῦτ' οὐ λύεται, εἰ μὴ ὑπερβαλλούσῃ θερμότητι, ἀλλὰ μαλάττεται καὶ ἐλαύνεται ὡς σίδηρος καὶ κέρας. ἀλλὰ ταῦτα μὲν καὶ τήκεσθαι λέγει, διὸ καὶ προσέθηκεν, τίνα καὶ ἄλλα

3. αὐτῷ] αὐτοῖς vulg. δὲ] μὴ vulg. 16. μικτῶν] μικρῶν vulg.

τήκεται. ὅσα μὲν ὑπὸ θερμοῦ ξηροῦ πηγνύμενα, τουτέστι πυρὸς, τὰ μὲν ἄλυτα μένει, τὰ δ' ὑγρῷ λύεται· κέραμος μὲν ἄλυτον καὶ λίθοι τινὲς, ὧν ἡ γένεσις ὑπὸ πυρὸς γῆς συγκαυθείσης καὶ ἑνωθείσης γίνονται, νίτρον δὲ καὶ ἅλες λυτὰ ὑγρῷ, ὥς φησι, ψυχρῷ, λέγων τῷ ἐν τῇ οἰκείᾳ φύσει τε καὶ οὐσίᾳ ἔχοντι τὸ ψυχρὸν, ὁποῖόν ἐστι τὸ ὕδωρ, οὐκ ἔτι τὸ ἔλαιον ἐν τῇ αὐτοῦ φύσει καὶ οὐσίᾳ τὸ ψυχρὸν ἔχει, διὸ οὐδὲν τοῖς τοῦ ὕδατος εἴδεσιν ἔλαβεν αὐτὸ, οὐκ ἔχει δὲ τὸ ψυχρὸν ἐν τῇ αὑτοῦ φύσει, ὅτι ἔχει πολὺ ἀέρος.

Ὅσα γὰρ τῶν μεμιγμένων ὕδατος πλέον ἢ γῆς ἔχει, παχύνεται τῷ θερμῷ, πήγνυται δὲ, ὅσα γῆς πλέον. δι' ὧν ἔδειξεν, ὅτι καὶ τὸ νίτρον καὶ οἱ ἅλες γῆς εἰσι μᾶλλον· πηκτὰ γάρ ἐστι τῷ θερμῷ, ὧν καὶ λίθος καὶ κέραμος ἑξῆς περὶ ἐλαίου ἠπόρησεν· οὔτε γὰρ πήγνυται ὑπὸ ψυχροῦ, ὃ ἔπασχε τὰ ἐξ ὕδατος ὄντα, οὔθ' ὑπὸ θερμοῦ πήγνυται, ὃ πάσχει τά τε πλεῖον ἔχοντα γῆς, τὸ δὲ πήγνυται μὲν ὑπ' οὐδετέρου, παχύνεται δὲ ὑπ' ἀμφοῖν, οὗ αἰτίαν ἀπέδωκεν τὸ εἶναι πλῆρες ἀέρος, οὗ σημεῖον παρέθετο τὸ ἐποχεῖσθαι τῷ ὕδατι, ὃ ποιεῖ ὁ ἀὴρ καὶ ὅσα ἔχει πολὺν ἀέρα ἐν αὑτοῖς, ὡς τὰ ξύλα. ἐφ' οἷς πῶς μὲν ὑπὸ τοῦ ψυχροῦ παχύνεται τὸ ἔλαιον εἰς τὸ ἕν, πῶς δὲ ὑπὸ τοῦ θερμοῦ· τὸ μὲν γὰρ ψυ-

1. ὅσα om. T. 3. κέραμος] κέρας T. 5. δὲ] τε vulg. λυτὰ] αὐτὰ T. 7. οὐσίᾳ] οἰκείᾳ T. 13. παχύνεται τῷ θερμῷ om. T. vid. Arist. cap. 7. 16. ἑξῆς] ἐξ ἧς vulg. 19. τά τε] fort. τὰ τό. 21. οὗ om. T. 23. ὃ] ὃν vulg.

χρὸν παχύνει αὐτὸ μεταβάλλον τὸν ἐν αὐτῷ ἀέρα εἰς ὕδωρ τῇ ψύξει· ἡ γὰρ τοῦ ὕδατος ψύξις τῷ ἐλαίῳ παχύτερον αὐτὸ ποιεῖ, ὑπὸ δὲ πυρὸς καὶ χρόνου παχύνεται καὶ λευκαίνεται, λευκαίνεται μὲν ἐξατμίζοντος τὸ ὑπολειπόμενον ὑδατῶδες ἐν αὐτῷ, παχύνεται δὲ διὰ τὸ μεταβάλλειν τὸν ἀέρα τὸν ἐν ἑαυτῷ εἰς ὕδωρ ὑπὸ τοῦ θερμοῦ μαραινόμενον. μαραίνεται γὰρ ὑπὸ τοῦ πλείονος θερμοῦ τὸ ἔλαττον. μεθ' ἃ καθόλου ἔλαβεν ὡς δεδειγμένον τὸ ὅσα μὲν τῶν μικτῶν μὴ παχύνεται ὑπὸ ψυχροῦ, ἀλλὰ πήγνυται, μᾶλλον ταῦτα ὕδατος εἶναι, τοιαῦτα οἶνος ὄξος κονία οὖρον ὀῤῥός· ὅσα δὲ παχύνεται ὑπὸ τοῦ πυρὸς μὴ ἐξατμιζομένου τοῦ ἐν αὐτοῖς ὑγροῦ, τὰ μὲν γῆς τὰ δὲ κοινὰ ὕδατος καὶ ἀέρος, μέλι μὲν γῆς, κοινὰ δὲ ἔλαιον [μέλι γάλα αἷμα]. λέγει δὲ κοινὰ εἶναι ὕδατός τε καὶ γῆς, ὥσπερ ἦν τὸ μέλι, οὕτω δὲ καὶ τὸ γάλα καὶ τὸ αἷμα. τοῦ δὲ τὸ γάλα ἐξ ἀμφοῖν ὂν πλεῖον γῆς ἔχειν παρέθετο δεικτικὸν τὸ ἐὰν δὴ χωρισθῇ ὁ ὀῤῥὸς τοῦ γάλακτος ἑψομένου τοῦ γάλακτος ἐκκαίεσθαι αὐτὸ, ὡς καὶ τῶν ἄλλων ἑψομένων, ἃ πλεῖον γῆς ἔχει. ἐφ' οἷς τὰς αἰτίας ἀπέδωκεν τοῦ τὰ μὲν λυτὰ τῶν πεπηγότων εἶναι, τὰ δὲ ἄλυτα· λυτὰ μὲν νίτρον ἅλες, ἄλυ-

4. alterum λευκαίνεται om. vulg. ut cod. E in Arist. p. 383, b 29. 12. μᾶλλον] μάλα vulg. vid. Arist. p. 384. 13. 13. ὄρος T, item v. 21. 16. μέλι γάλα αἷμα abundare videntur. 18. οὕτω] τούτῳ vulg. 19. καὶ om. T.

τον δὲ κέραμος, καὶ τούτων τὰ μὲν μαλακτὰ ὡς κέρας, τὰ δὲ ἀμάλακτα ὡς κέραμος καὶ λίθος. ἡ δ' αἰτία, ἐπεὶ δύο ἐστὶ τὰ πηγνύντα, ὡς εἴρηται, θερμόν τε καὶ ψυχρὸν, λύεσθαι αὐτά ποτε ἀνάγκη ψυχρῷ τε καὶ θερμῷ, τὰ μὲν ὑπὸ θερμοῦ παγέντα ψυχρῷ, τὰ δ' ὑπὸ ψυχροῦ θερμῷ. διὸ τὰ μὲν πυρὶ λύεται τὰ ὅσα ὕδατι ἐπάγη, τὰ δὲ ὕδατι, ὅσα ὑπὸ πυρὸς ἐπάγη. ὑπὸ ὕδατος μὲν οὖν λυθήσεται, ὅσα ὑπὸ πυρὸς πέπηγεν μόνου, ὑπὸ δὲ τοῦ πυρὸς πάλιν, ὅσων ὕδωρ τῆς πήξεως αἴτιον. εἰ δή τινα ὑπ' ἀμφοῖν μὲν πηγνύμενα, ταῦτα ἄλυτα ἔσεσθαι μάλιστα. πήγνυται δὲ ὑπ' ἀμφοῖν, ὅσα προθερμανθέντα πήγνυσι τὸ ψυχρὸν, οὗ τὴν αἰτίαν ἀπέδωκεν. ὅταν γὰρ ὑπὸ τοῦ θερμοῦ τῶν ὑπὸ ἀμφοῖν πηγνυμένων ἐξατμισθῇ τὸ ὑγρὸν τὸ ἐν τῷ πηγνυμένῳ, τὸ ψυχρὸν μετὰ ταῦτα συνθλίβει τε αὐτὸ καὶ οὕτως πυκνοῖ, ὡς μηδὲ διδόναι μηδ' ὑγρῷ διοδόν τινα, καὶ διὰ τοῦτο ὑπ' ἀμφοῖν ἄλυτα τὰ οὕτω παγέντα. λέγει δὲ καὶ τὸν σίδηρον ὑπ' ἀμφοῖν πήγνυσθαι, πρῶτον γὰρ ὑπὸ πυρὸς τακέντα· ἡ γὰρ γένεσις αὐτοῦ διὰ τούτου. μετὰ ταῦτα ὑπὸ ψυχροῦ πήγνυσθαι, διὸ καὶ πρὸ ὀλίγου αὐτὸν εἶπεν οὐ τήκεσθαι, ἀλλ' ἐλαύνεσθαι καὶ μαλάττεσθαι· οὐδὲ τὰ ξύλα δὲ τηκτὰ εἶπεν εἶναι, ἀλλὰ καυστὰ, διότι ἐκ γῆς ἐστιν καὶ ἀέρος, ἀλλ' οὐχ ὕδατος, οὗ σημεῖον παρέθετο πάλιν τὸ ἐποχεῖσθαι αὐτὰ τῷ ὕδατι· ὁ γὰρ ἀὴρ τοιοῦτος.

1. τούτων om. T. 11. μὲν] μὴ T.

Λείπει τινὰ ὡς προέγραψεν ἐπιδρομὴ τῶν εἰρημένων ἐν τῇ τετάρτῃ τῶν Μετεωρολογικῶν ἀτελής.

Περὶ τοῦ οἱονεὶ ἀμεροῦς. ιέ.

Τὰ οἱονεὶ ἀμερῆ ἐστιν ὅμοια ἀμερεῖ οὐκ ἀμερῆ, ὅτι μηδ' ἄλλο τι ὅμοιόν τινι ἐκείνῳ ταὐτόν ἐστιν, ᾧ ἐστιν ὅμοιον. ἐπεὶ ὅμοιον ἀμερές τε φαινόμενον ἀμερὲς, οὐκ ἀμερὲς, ὡς καὶ ὁ φαινόμενος συλλογισμὸς οὐ συλλογισμός. ἀλλ' εἰ μὴ ἀμερὲς, μέρη δῆλον ὅτι ἕξει, οὕτω δὲ οὐδὲν ἀμερὲς ἔσται. πᾶν γὰρ τὸ λαμβανόμενον μέρος αὐτοῦ καὶ αὐτὸ οἱονεὶ ἀμερὲς ἔσται τῷ τὸ εἶναι τῷ λεγομένῳ ἀμερεῖ ἐν τῷ οἱονεὶ ἀμερεῖ εἶναι, εἴ γε διὰ τούτου ἀπολύονται τὸ μὴ συγκεῖσθαι ἐξ ἀμερῶν τὸ μέγεθος. εἰ δὲ λέγοι τις αὐτὸ οἱονεὶ μέγεθος, πάλιν οὐ μέγεθος ἔσται. εἰ δὲ πᾶν μέγεθος μεριστὸν, τὸ οἱονεὶ μέγεθος ἀμερὲς ἔσται τῇ αὐτοῦ φύσει. εἰ δ' ἀμερὲς, ἐκ τῆς τῶν ἀμερῶν συνθέσεως ἔσται τὰ μεγέθη. εἰ δὲ λέγει τις τὸ οἷον ἴσον δύνασθαι τῷ δυνάμει, ἔσται τὸ οἱονεὶ ἀμερὲς δυνάμει ἀμερές. εἰ δὲ τοῦτο, οὐδὲν ἔσται ἐνεργείᾳ, ὃ ἔσται ἀμερὲς, εἴ γε μηδὲν τῶν δυνάμει τι ὄντων ἐστὶ τοῦτο ὃ δύναται, ὥστε οὐδὲ τὸ οἷον

1. λείπει τινὰ] desinit capitis septimi fine. ἐπιδρομή] τῇ ἐπιδρομῇ vulg. 3. ἀτελής] ἀριστοτέλους T. 7. ἐπεὶ] fort. ἔτι εἰ. ἀμερές τε] fort. ἀμερεῖ τό. 16. οὐ] οὗ vulg. 20. οἷον] fort. οἱονεί. 24. οἷον] fort. οἱονεί.

ἀμερὲς ἀμερές ἐστιν. ἀλλ' εἰ μὴ ἐνεργείᾳ, ἀλλὰ δυνάμει τὸ οἱονεὶ ἀμερὲς ἀμερές ἐστιν, ἄλλο τι ὂν δυνάμει τοῦτό ἐστιν. τί οὖν ἔσται δυνάμει ἀμερές; καὶ εἰ μέγεθός ἐστι τὸ οἱονεὶ ἀμερὲς, ἐκ δὲ τούτων τὸ μέγεθος· ἐκ γὰρ τῶν οἱονεὶ ἀμερῶν, ἔσται πᾶν μέγεθος ἐκ μεγεθῶν συγκείμενον καὶ διαιρούμενον εἰς μεγέθη, οὕτω δὲ καὶ ἐπ' ἄπειρον ἡ τομὴ προελεύσεται. ἔτι τὸ οἱονεὶ ἀμερὲς ὕλη τοῦ ἀμεροῦς, πᾶσα δ' ὕλη τινὸς κατά τινα μεταβολὴν τὸ οἱονεὶ ἀμερὲς ἀμερὲς ἔσται, ἐπεὶ ὕλη τοῦ ἀμεροῦς τὸ οἱονεὶ ἀμερὲς, ἄλλο ἔσται τοῦ ἀμεροῦς. εἰ δὲ τοῦτο, ἤτοι συντιθέμενον ποιήσει τὸ ἀμερὲς ἢ διαιρούμενον, ἕπεταί τε πάλιν τῷ λέγειν εἰς ἀμερῆ αὐτὸ διαιρεῖσθαι τὸ ἐκ τῆς τῶν ἀμερῶν συνθέσεως γίνεσθαι τὰ μεγέθη.

2. ἄλλο τι] ἀλλ' ὅτι vulg. 3. ἔσται] ὄν ἐστι T. 12. εἰ] ἢ T. 13. τε] fort. δέ.

ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ

ΗΘΙΚΩΝ ΣΧΟΛΙΩΝ

ΑΠΟΡΙΩΝ ΚΑΙ ΛΥΣΕΩΝ

ΒΙΒΛΙΟΝ [*ΤΕΤΑΡΤΟΝ*].

Ἀπορίαι πρὸς τοὺς τὸ ζῆν οὐκ ἀγαθὸν εἶναι λέγοντας. ά

Εἰ τὸ εὖ πλεῖν ἀγαθὸν, τὸ δὲ κακῶς κακὸν, τὸ πλεῖν οὔτε ἀγαθὸν οὔτε κακόν· καὶ εἰ τὸ εὖ ζῆν ἀγαθὸν καὶ τὸ κακῶς κακὸν, τὸ ζῆν οὔτε ἀγαθὸν οὔτε κακόν. ἢ οὐκ ἀληθὲς τὸ τὰς δυνάμεις τῶν ἀντικειμένων ἀδιαφόρους εἶναι καὶ μέσας; πᾶσα γὰρ τοιαύτη δύναμις ἀγαθόν τε καὶ αἱρετὸν τῷ σκοπὸν ἔχειν τὸ βέλτιον ὧν δύναται· τὸ γὰρ χεῖρον ἐν τοῖς δυνάμει τι οὖσι γίνεται καὶ κατὰ ἀποτυχίαν τινά. ὅσα τε γὰρ κατὰ τέχνην τῶν τοιούτων γίνεται, τοῦ βελτίονος χάριν τῶν δυναμένων ἐν αὐτῷ γενέσθαι γί-

2. ἠθικῶν] φυσικῶν vulg. vid. praefat. 5. οὐκ om. vulg. 15. καὶ κατὰ] fort. καὶ del. 17. δυναμένων] Victorius, δυνάμεων vulg.

νεται· ὅσα τε κατὰ φύσιν, ὁμοίως. τὸ γὰρ πλεῖν ὑπὸ τῆς κυβερνητικῆς τῆς εὐπλοΐας χάριν εὑρέθη, καὶ τὸ πρίειν ὑπὸ τῆς τεκτονικῆς τοῦ πρίειν καλῶς, διὸ καὶ αἱρετὸν τῇ μὲν τὸ πλεῖν τῇ δὲ τὸ πρίειν, ὅτι χωρὶς τούτων οὐχ οἷόν τε ταύταις τοῦ προκειμένου τέλους τυχεῖν. οὐ γὰρ ἀπὸ τῶν δι' ἀποτυχίαν τινὸς γινομένων ἔν τινι ἡ κρίσις τῶν ὑποκειμένων, ἀλλὰ ἀπὸ τῶν ὧν χάριν ἐστίν τε καὶ γίνεται προηγουμένως. ὡς δ' ἐπὶ τῶν κατὰ τὰς τέχνας γινομένων ἔχει, οὕτω καὶ ἐπὶ τῶν κατὰ φύσιν· καὶ γὰρ ἐπ' ἐκείνων σκοπὸς τῇ φύσει τὸ βέλτιον τῶν δυναμένων ἄμφω, καὶ τούτου χάριν ἡ φύσις δίδωσιν αὐτό. ὅσα γὰρ μὴ οἷόν τε εὐθὺς ὑπὸ τῆς φύσεως γινόμενα τὴν οἰκείαν ἔχειν τελειότητα, τούτοις ἡ φύσις δίδωσι δύναμιν τοῦ τελείοις γενέσθαι, ἀδύνατον δέ τι δύναμιν ἔχειν τινὸς μὴ καὶ τὸ ἀντικείμενον αὐτῷ δυνάμενον· ταύτῃ γὰρ δύναμις ἐνεργείας διαφέρει. διό εἰσιν μὲν αἱ δυνάμεις προηγουμένως τῶν βελτιόνων, ἕπεται δ' αὐταῖς ἐξ ἀνάγκης τὸ καὶ τῶν ἀντικειμένων εἶναι τούτοις. εἰ δὴ ἡ κρίσις ἑκάστου ἀπὸ τῶν προηγουμένων καὶ ὧν ἐστιν· οὐ γὰρ τοῦ μὴ περιπατεῖν χάριν ἡ δύναμις ἡ περιπατητικὴ, εἰ καὶ γίνεταί ποτε ἐν τῷ τοῦτο δυναμένῳ καὶ ἡ στέρησις αὐτοῦ, εἰ μὲν αἱρετὸν εἴη τὸ περιπατεῖν, αἱρετὸν τῇ ἑαυτοῦ φύσει καὶ τὸ δύνασθαι περιπατεῖν, εἰ

12. δυναμένων] Victorius, δυνάμεων vulg. 17. δ' ἔτι T.
23. ὧν ἐστιν] fort. χάριν vel ἕνεκα add. 25. αὐτοῦ] αὐτῷ T.

καὶ τὸ δύνασθαι καὶ μὴ περιπατεῖν ἔχει· εἰ δὲ ἐκεῖνο μὴ αἱρετὸν, οὐδὲ τὸ δύνασθαι. καὶ τὸ ζῆν δὴ ἔχον δύναμιν ἐν αὑτῷ τοῦ τε εὖ ζῆν καὶ τοῦ κακῶς δεδομένον παρὰ τῆς φύσεως ἡμῖν τοῦ εὖ ζῆν χάριν (οὐ γὰρ ἦν οἷόν τε εὐθὺς γενομένοις ἔχειν τὸ εὖ ζῆν· οὐδὲν γὰρ ἐν ἀτελεῖ τέλειον, πᾶν δὲ ἀτελὲς εὐθὺς τοῦ γενέσθαι), εἴη ἂν αἱρετὸν τοῦ ἀρίστου χάριν τῶν ἐν ἡμῖν γενέσθαι δυναμένων δεδομένον. ἄριστον μὲν γὰρ καὶ τέλος τὸ εὖ ζῆν, τοῦτο δ' οὐχ οἷόν τε χωρὶς τοῦ ζῆν γενέσθαι. πῶς γὰρ οὐκ ἀπεμφαῖνον τὸ ὁμοῦ μὲν λέγειν ἡμᾶς ὑπὸ τῆς φύσεως πρὸς τοῦτο οἰκειῶσθαι καὶ τῆς ἑαυτῶν σωτηρίας χάριν ποιεῖν πάντα, ὁμοῦ δὲ μὴ λέγειν ἡμᾶς ὡς πρὸς ἀγαθὸν αὐτὸ τὴν φύσιν ἡμᾶς οἰκειοῦν; ὅτι γὰρ ὡς πρὸς τὸ ἀγαθὸν τὸ ζῆν οἰκειώμεθα, δῆλον καὶ ἐκ τοῦ περί τε τὸ παῖδας ποιήσασθαι πολλὴν σπουδὴν εἰσφέρεσθαι ὡς ἐσομένους τρόπον τινὰ δι' ἐκείνων, ἀλλὰ καὶ διὰ τοῦ πάντα ἃ φοβούμεθα φοβεῖσθαι μειζόνως, διότι ὑποπτεύεται καὶ θανάτου αἴτια ἔσεσθαι. ὅτι δ' ἀπὸ τῆς πρὸς τὰ βελτίω δυνάμεως ἡ κρίσις τῶν μεταξὺ, δῆλόν ἐστιν καὶ ἐκ τοῦ τὸν ἄνθρωπον ὁμολογεῖσθαι τῶν ἄλλων ζώων ἄμεινον ζῶον εἶναι, τοῦτο δὲ, διότι τῶν ἄλλων οὐδὲν ἀρετῆς δεκτικόν. τῷ οὖν οὗ ἐστιν ἀμείνονος δεκτικὸν, τοῦτο τῶν ἐν τοῖς ἄλλοις ζώοις γινομένων αἱρετῶν ἄμεινον εἶναι,

7. τοῦ] τὸ T, τῷ Victorius. 15. ἡμᾶς fort. del. 17. τε del.

τούτῳ βελτίων ὁ ἄνθρωπος, ἐπεὶ, εἴ γε καὶ ἀπὸ τῶν χειρόνων ἡ κρίσις ἐγίνετο τῶν μεταξὺ, οὐδὲν ἐκώλυεν τὸν ἄνθρωπον ἢ κάκιστον τῶν ζώων λέγειν, τοῦ κακίστου τῶν ὄντων τῆς κακίας ὄντα δεκτικὸν, ἢ μηδενὸς τῶν ἄλλων ζώων εἶναι αὐτὸν βελτίονα, ἐπεὶ ἐν πᾶσι τοῖς αἱρετοῖς τε καὶ φευκτοῖς ἕπεσθαι δεῖ τὸ τῇ τοῦ σπουδαίου κρίσει αἱρετόν.

Ὅτι μὴ ὁμοειδεῖς αἱ ἡδοναί. β'.

Ὅτι μὴ ὁμοειδεῖς αἱ ἡδοναὶ, δεικνύοιτ' ἂν πρῶτον μὲν ἀπὸ τῆς ἐπιθυμίας. εἰ γὰρ πᾶσα μὲν ἐπιθυμία ὄρεξις ἡδέος, καὶ ἐν τούτῳ αὐτῇ τὸ εἶναι, εἰσὶ δὲ τῶν ἐπιθυμιῶν ὁμολογουμένως αἱ μὲν αἱρεταὶ, αἱ δὲ φευκταὶ, δῆλον ὅτι μὴ παρ' ἄλλου τινὸς αὐταῖς ἡ διαφορὰ, ἢ παρὰ τῶν ἡδονῶν δι' ἅς εἰσιν, τῷ τούτων τὰς μὲν εἶναι αἱρετὰς τὰς δὲ φευκτάς. διοίσουσιν ἄρα καὶ ἡδοναὶ ἀλλήλων κατὰ ταὐτὰ ταῖς ἐπιθυμίαις, εἴ γε παρὰ τούτων καὶ ἐκείναις αἱ διαφοραί. ἀλλὰ δὴ οὐχ οἷόν τε ὁμοειδῆ ἀλλήλοις εἶναι τὰ τῇ ἑαυτῶν φύσει διάφορα. δεύτερον ἀπὸ τῶν ἐνεργειῶν. ἐπεὶ γὰρ πᾶσα ἡδονὴ ἐπὶ ἐνεργείᾳ τινὶ γίνεται, καὶ ἔστιν οἰκειότης ταῖς ἡδοναῖς πρὸς τὰς ἐφ' αἷς γίνονται ἐνεργείας· τέλη γάρ πώς ἐστιν αὐτῶν,

7 et 8. del. τὸ et αἱρετὸν, vel coniunge τὸ αἱρετόν. 9. ὁμοεεδεῖς] Victorius, ὁμοιοειδεῖς vulg. 10. Ὅτι μὴ ὁμοειδεῖς αἱ ἡδοναί om. vulg. 15. ἢ Victorius, ἡ vulg.

δῆλον ὅτι ὡσαύτως διαιροῖντο ἂν ταῖς ἐνεργείαις καὶ αὐταί. ἀλλὰ μὴν τῶν ἐνεργειῶν τῶν ἐφ' αἷς αἱ ἡδοναὶ αἱ μέν εἰσιν αἱρεταὶ αἱ δὲ φευκταί. ἕξουσιν ἄρα καὶ αἱ ἡδοναὶ τὴν αὐτὴν πρὸς ἀλλήλας διαφοράν. εἰ δὲ τοῦτο, οὐχ ὁμοειδεῖς· καὶ γὰρ εἰ πλέον ἀφέστηκεν τὸ ἐφιέμενον καὶ ἐπιθυμοῦν τινος καὶ μηδέπω ἔχον αὐτὸ τοῦ ἔχοντός τε καὶ συνόντος αὐτῷ, εἴη ἂν καὶ ἡ ἐπιθυμία πλέον ἀφεστῶσα τῆς ἡδονῆς τῆς ἐνεργείας, ἐφ' ᾗ ἡ ἡδονή· ἡ μὲν γὰρ ἔφεσίς ἐστιν ἡδονῆς, τῇ δὲ ἐνεργείᾳ σύνεστιν ἡδονή· καὶ γὰρ ἀκολουθεῖ, ὥστ' εἰ ταῖς ἐπιθυμίαις συνδιαιροῦνται αἱ ἡδοναί, πολὺ ἂν μᾶλλον ταῖς ἐνεργείαις συνδιαιροῖντο· ὁμολογεῖται δὲ τῶν ἐνεργειῶν ἐφ' αἷς αἱ ἡδοναί, τὰς μὲν εἶναι αἱρετάς, τὰς δὲ φευκτάς. ὅτι δ' οἰκεῖαι ταῖς ἐνεργείαις αἱ ἡδοναὶ ἐφ' αἷς γίνονται, καὶ ὁμοίως ταῖς ἐνεργείαις καὶ αὐταὶ κατ' εἶδος ἀλλήλων διαφέρουσι, καὶ οὐ μόνον τῷ ἐπὶ διαφερούσαις γίνεσθαι ἐνεργείαις ἡ διαφορὰ αὐταῖς ἡ πρὸς ἀλλήλας, δῆλον ἐκ τοῦ μὴ δύνασθαι τὴν ἐπ' ἄλλῃ τινὶ ἐνεργείᾳ ἡδονὴν ἐπ' ἄλλῃ γενέσθαι· τῷ γὰρ σώφρονι αἱ τῶν ἀκολάστων ἐνέργειαι οὐ μόνον εἰσὶ φευκταί, ἀλλὰ καὶ ἀηδεῖς, ὡς τῆς ἐπ' αὐταῖς ἡδονῆς οἰκείας οὔσης ταῖς ἐνεργείαις καὶ συνδιαιρουμένης αὐταῖς. εἰ γὰρ μὴ τοῦτο ἦν, οὐδὲν ἂν ἐκώλυεν τὰς μὲν

11. γὰρ ἀκολουθεῖ] παρακαλουθεῖ T. 14. ὡμολόγηται Bagolinus. 15. τὰς δὲ] Victorius, δὲ vulg. 18. οὐ μόνον] fort. μόνον vel μόνον οὐ.

ἐνεργείας φευκτὰς αὐτοῖς εἶναι, ἡδονὴν μέντοι καὶ τοῖς σώφροσιν αὐτὰς φέρειν. εἰ δὲ αἱ ἐπ' ἄλλαις ἐνεργείαις ἡδοναὶ ἐμποδίζουσιν τὰς ἐπ' ἄλλαις γινομένας, οἱ γοῦν χαίροντες τῇ ἀπὸ τοῦ αὐλεῖν ἡδονῇ οὐκ ἔτι δύνανται, ἐπειδὰν ἀκούσωσιν αὐλοῦ, ἥδεσθαι ταῖς ἐπὶ τῷ μυθολογεῖν φέρ' εἰπεῖν γινομέναις, εἶεν ἂν ἡδοναὶ ἡδονῶν φθαρτικαί. εἰ δ' εἰσὶν ἡδοναὶ ἡδονῶν φθαρτικαὶ, οὐκ ἂν εἶεν ὁμοειδεῖς, ἔχουσαί γε τοῦτο πρὸς ἀλλήλας ὃ ἔχει τἀναντία πρὸς ἄλληλα. οὐ γὰρ, ὥσπερ ἡ αὐτὴ ὑγεία περιγίνεται τοῖς τὰ αὐτὰ ἰατρευομένοις διαφόρως, καὶ οὐδὲν κωλύεταί τις τὴν αὐτὴν ἔχειν ὑγείαν ἄλλοτε ἄλλως θεραπευόμενος, οὕτως δὲ ἔχει καὶ ἐπὶ τῶν ἐνεργειῶν τε καὶ τῶν ἐπ' αὐταῖς ἡδονῶν. οὐ γὰρ οἷόν τε τὴν ἐπ' ἄλλῃ τινὶ ἐνεργείᾳ ἡδονὴν γινομένην καὶ ἐπ' ἄλλῃ γενέσθαι· οὐ γὰρ οἷόν τε τὰς ἐν ταῖς σωφρονικαῖς ἐνεργείαις ἡδονὰς ἐπὶ ταῖς ἀκολάστοις γενέσθαι ποτέ.

Ὅτι δικαιοσύνης τε καὶ ἀδικίας καὶ ὅλως ἀρετῆς τε καὶ κακίας ἔστιν τις ἕξις μεταξύ. γʹ.

Ὅτι δικαιοσύνης τε καὶ ἀδικίας καὶ ὅλως ἀρετῆς τε καὶ κακίας ἔστιν τις ἕξις μεταξὺ ἣν

2. αἱ ἐπ'] Victorius, αἱ ἐπειθ' αἱ ἐπὶ vulg. 6. αὐλοῦ] Victorius, αὐτοῦ vulg. conf. Ethic. Nicom. X., 5. p. 1175, b, 3. et infra IV, 17. 9. ὃ] ἃς T. 18. ἐπὶ ταῖς] ἐπὶ τοῖς vulg.

μέσην ἕξιν λέγομεν. εἰ ἡ δικαιοσύνη καὶ ἡ ἀδικία διαθέσεις κατ' αὐτούς, αἱ δὲ διαθέσεις ἀναπόβλητοι, οὔτ' ἂν ἐξ ἀδίκου γίνοιτό τις δίκαιος, οὔτε ἐκ δικαίου ἄδικος· γίνονται δέ τινες δίκαιοι καὶ ἄδικοι οὐ πρότερον ὄντες. γίνοιντο ἂν οὖν ἔκ τινος ἄλλης καταστάσεως. ἀλλὰ μὴν πᾶν τὸ γινόμενον ἢ ἐξ ἐναντίου γίνεται ἤ τινος μεταξὺ ὄντος τῶν ἐναντίων· καὶ ὁ δίκαιος ἄρα καὶ ὁ ἄδικος ἢ ἐξ ἐναντίου γίνονται ἢ ἐκ τοῦ μεταξύ. οὐ γίνονται δὲ ἐκ τοῦ ἐναντίου, ἐκ τοῦ μεταξὺ ἄρα. ἐξ ἧς δὲ καταστάσεως οἱ δίκαιοι καὶ οἱ ἄδικοι γίνονται, αὕτη ἂν εἴη μεταξὺ δικαιοσύνης καὶ ἀδικίας. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ πάσης ἀρετῆς καὶ κακίας. εἰ δὲ λέγοιεν τὰς κακίας μὴ εἶναι διαθέσεις μηδ' ἀναποβλήτους, ἀλλὰ μεταβάλλειν τινὰς μηδὲν κωλύειν ἐξ ἀδικίας εἰς δικαιοσύνην, καὶ ὅλως ἐκ κακίας εἰς ἀρετὴν, ἀλλ' εἴς γε τὴν κακίαν πόθεν μεταβάλλουσιν; ἢ γὰρ δεῖ ἐν τῇ φύσει τοῦ ἀνθρώπου τὴν κακίαν εἶναι καὶ πάντας γεννᾶσθαι κακοὺς, καὶ εἴη ἂν κατὰ φύσιν ἡ κακία τοῖς ἀνθρώποις. οὗ δὲ τὸ ἐναντίον κατὰ φύσιν τινὶ, τούτῳ τὸ ἐναντίον παρὰ φύσιν· παρὰ φύσιν ἄρα τοῖς ἀνθρώποις ἡ δικαιοσύνη καὶ ἡ ἀρετή. εἰ δὲ τοῦτο ἄτοπον, δεῖ γίνεσθαι τὸν ἄδικον ἄδικον, ὥσπερ γίνεται καὶ ὁ δίκαιος δίκαιος. ἐξ ἧς δὲ ἕξεως εἰς τὴν ἀδικίαν ἡ

2. κατ' αὐτούς] Stoicos, conf. Diog. VII 98. 127. ibiq. Menag. 7. γίνεται] γίνοιτο vulg. 9. τῆς μεταξὺ ἄρα vulg. 18. ἢ] εἰ V, id si verum, καὶ ante εἴη del. 21. οὗ] ᾧ Victorius. 26. alterum δίκαιος om. vulg.

μεταβολὴ, αὕτη ἂν εἴη ἡ μέση. εἰ δὲ λέγοιεν μηδέπω τοὺς παῖδας λογικοὺς εἶναι, διὸ μηδὲ δικαίους μηδὲ ἀδίκους (λογικοῦ γὰρ αἱ ἕξεις αὗται, εἰ δ' αὗται λογικοῦ, καὶ ἡ μέση, διὸ ὁ παῖς ἄλογος ὢν οὔτ' ἐν ἀρετῇ ἐστιν οὔτ' ἐν κακίᾳ οὔτ' ἐν τῷ μεταξὺ τούτων, ὥσπερ οὐδ' ἄλλο τι τῶν ἀλόγων), μεταβάλλοντας δ' εἰς τὸ λογικὸν εὐθὺς εἶναι κακοὺς, ἀλλ' οὐ γίνεσθαι, ὁμολογοῖεν ἂν διὰ τούτων τῷ λογικῷ κατὰ φύσιν εἶναι τήν τε ἀδικίαν καὶ τὴν κακίαν, εἴ γε ἐν τῇ εἰς τὸ λογικὸν μεταβολῇ ἅμα καὶ εἰς ταῦτα γίνεται, καὶ ἴσον ἐστὶ τὸ εἰς λογικὸν μεταβάλλειν τῷ εἰς κακίαν· παρὰ φύσιν οὖν τῷ λογικῷ ἡ ἀρετή· ἔτι τε εἰ ὅλως ἐστὶν ἐκ κακίας εἰς ἀρετὴν μεταβολὴ, τὴν κακίαν ἤτοι εὐκίνητον καὶ εὐαπόβλητον ἐροῦσιν ἢ μόνιμον καὶ δυσκίνητον. ἀλλ' εἰ μὲν εὐκίνητον, τί δή ποτε οὐ ῥᾳδία ἡ εἰς τὰς ἀρετὰς ἐκ τῆς κακίας μεταβολή; εἰ δὲ δυσκίνητον καὶ μόνιμον, δῆλον ὡς ἐν τῇ εἰς ἀρετὴν μεταβολῇ ἐξ αὐτῆς δεῖ πρῶτον ἀποβληθῆναι τῆς κακίας τὸ δυσκίνητον καὶ μόνιμον, εἴ γε διὰ μαθήσεως καὶ ἀσκήσεως εἰς τὴν ἀρετὴν μετέβαλε καὶ μὴ ἐξαίφνης. ἀλλ' εἰ πρῶτον εὐκίνητος γίνεται, ἦν δὲ τὸ εἶναι αὐτῇ κακίᾳ ἐν τῷ δυσκινήτῳ, ἐν ᾧ ἐστιν εὐκίνητος, οὐκ ἔτ' ἂν ἐν τούτῳ ὡς κακία εἴη. ἀλλὰ μὴν οὐδ' ἀρετή. πῶς ἄρα

9. ὁμολογοῖεν ἂν] ὁμολογεῖεν vulg. 22. εἴ γε] ἥγε T. 24. ἦν . . αὐτῇ κακίᾳ] ἣν . . αὕτη κακία vulg. 26. πῶς ἄρα] fort. πῶς ἄρ' οὐκ.

ἔστιν ἐν μέσῃ τινὶ ἕξει ὁ οὕτως ἔχων, ἐπεὶ καὶ ἡ μεταβολὴ ἡ εἰς τὴν ἀρετὴν ἐκ ταύτης τῆς διαθέσεως γίνεται; ἔτι δ' εἰ καὶ ὅτι μάλιστα οἱ παῖδες οὔπω εἰσὶ λογικοὶ καὶ διὰ τοῦτο οὔτε ἀρετὴν ἔχουσιν οὔτε κακίαν, ἀλλὰ τῷ γίνεσθαι αὐτοὺς ἐκ τῶν οὕτως ἀλόγων λογικούς τε καὶ κακοὺς εἶεν ἂν ἐν μέσῃ ἕξει· οὐ γὰρ ὁμοίως οὗτοι ἄλογοι τοῖς ἄλλοις, οὐδὲ γὰρ ἂν οὐδὲ αὐτοὶ δεκτικοὶ κακίας ἦσαν ἢ ἀρετῆς. εἰ δὲ μηδέτερον ἔχοντες δύνανται ἑκάτερον αὐτῶν δέξασθαι, οὐκ εἰσὶν οὕτως ἄλογοι. τὸ δὴ ἄλογον τὸ ἐπιδεκτικὸν λόγου, ἄλλο ὂν τοῦ ἀδυνάτου ἐπιδέξασθαι, ἄλλως ἂν ἄλογον εἴη, καὶ οὐχ οὕτω τὸ κυρίως ἄλογον. ἤδη δὲ καὶ κατάστασις ἡ τοῦ οὕτως ἀλόγου εἴη ἂν μέση ἕξις, ἐπεὶ ἀπαντᾷ εἰς ἑκάτερον τῶν ἐναντίων ἡ μεταβολή, καὶ οὕτως ἐστὶ δυνάμει ἑκάτερον τῶν ἄκρων ὡς μηδὲν ὂν ἐνεργείᾳ. ἔστι γάρ τις καὶ περὶ τὸν παῖδα ἕξις τε καὶ κατάστασις, ἀφ' ἧς εἰς τὴν κακίαν καὶ τὴν ἀρετὴν μεταβολή, ἥτις ἐν οὐδενὶ τῶν κυρίως καὶ ἁπλῶς ἀλόγων λεγομένη ἐστίν.

Ἀπορίας λύσις τῆς λεγούσης ὀργάνῳ μὲν μηδὲν εἶναι ἐναντίον, πλούτῳ δὲ πενίαν ἐναντίον, διὸ μὴ εἶναι τὸν πλοῦτον ὄργανον. δʹ

Τῷ ὀργάνῳ οὐδέν ἐστιν ἐναντίον, πλούτῳ δὲ

14. δὲ om. T. 20. μεταβολή] fort. μεταβάλλει.

ἔστιν τι ἐναντίον, οὐκ ἄρα ὁ πλοῦτος ὄργανον. εἰ μὲν καθόλου λαμβάνοι μηδενὶ ὀργάνῳ εἶναί τι ἐναντίον, οὐ συγχωρητέον τῷ καὶ τῷ πλούτῳ ὄντι ὀργάνῳ εἶναί τι ἐναντίον δοκεῖν· εἰ δὲ ἀδιορίστως καὶ ἐν μέρει λαμβάνοι, δεικτέον ὅτι μὴ συλλογίζεται. γίνονται γὰρ ἀμφότεραι αἱ προτάσεις ἐν μέρει· τότε γὰρ ἀναγκαίως καθόλου ἂν ἐλαμβάνετο μὴ εἶναί τι τῷ ὀργάνῳ ἐναντίον, εἰ ἦν ἐν τῷ λόγῳ καὶ τῇ οὐσίᾳ τοῦ ὀργάνου ἐμφαινόμενον τὸ μηδὲν εἶναι αὐτῷ ἐναντίον. εἰ δὲ μή ἐστιν ἐν τῇ οὐσίᾳ τοῦ ὀργάνου τὸ μὴ εἶναί τι αὐτῷ ἐναντίον, συμβεβηκὸς δέ τι, οὐδὲν κωλύει τοῦτο μὴ πᾶσι συμβεβηκέναι. οὐδὲ γὰρ ἐπεὶ τοῖς πολλοῖς ὑπάρχει τῶν πεπερασμένων τὸ πρός τι περαίνειν, ἤδη καὶ πᾶσιν. τὸ μέντοι ὄργανον εἶναι, δι' οὗ ἢ μόνου τι ἢ κάλλιστον γίνεται, εἰ ἐν τῇ οὐσίᾳ ἐστὶ τοῦ ὀργάνου, πάντα ἂν εἴη ὄργανα οἷς τοῦθ' ὑπάρχει. καὶ πᾶσι τοῖς ὀργάνοις τοῦτο, διὸ ἐπεὶ καὶ τῷ πλούτῳ τοῦτο ὑπάρχει· διὰ γὰρ τούτου αἱ κατ' ἐλευθεριότητά τε καὶ μεγαλοπρέπειαν ἐνέργειαι τῷ σπουδαίῳ, εἴη ἂν ὄργανον τῷ σπουδαίῳ· ἀπὸ γὰρ τῶν ἐν τῇ οὐσίᾳ τοῦ ὀργάνου ὄντων ἡ τῶν ὀργάνων κρίσις, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων οὐκ ἀπὸ τῶν συμβεβηκότων. δεικνύοι δ' ἄν τις καὶ ὅτι μηδετέρα τῶν προτάσεων εἴληπται καλῶς, μήτε ἡ λαμβάνουσα τῷ ὀργάνῳ μηδὲν εἶναι ἐναντίον,

2. λαμβάνοι] adversarius, sed fort. hic et postea λαμβάνοιτο. 8. ἐλαμβάνετο] scrib. aut ἐλάμβανε τὸ aut ἐλαμβάνετο τ'. 16. κάλλιστον] fort. μάλιστα.

μήτε ἡ λέγουσα τῷ πλούτῳ εἶναί τι ἐναντίον. εἰ μὲν γὰρ διότι τῷ ὅλῳ τε καὶ συναμφοτέρῳ ὀργάνῳ μηδέν ἐστιν ἐναντίον, διὰ τοῦτο μηδὲ τῷ πρίονι μηδὲ τῇ κιθάρᾳ λέγοι τις εἶναί τι ἐναντίον, οὐδ' ἂν τῷ πυρὶ εἴη κατὰ τὸν οὕτω λέγοντα ἐναντίον τι, οὐδὲ ἄλλῃ τινὶ συναμφοτέρῳ οὐσίᾳ τῷ τῇ ὕλῃ τῇ ὑποκειμένῃ πᾶσι τοῖς τοιούτοις μηδὲν εἶναι ἐναντίον. εἰ δὲ κατὰ τὰ πάθη καὶ τὰς ποιότητας ἡ ἐναντίωσις (τῷ γὰρ πυρὶ κατὰ τὴν θερμότητα καὶ τὴν ξηρότητά ἐστί τινα ἐναντία, καὶ τοῦ σκεπάρνου ἐὰν ληφθῶσιν αἱ ποιότητες, καθ' ἃς ἐστιν αὐτῷ τὸ εἶναι, εὑρήσει κατὰ ταύτας ἐναντιότητά τινα αὐτῷ· τῷ μὲν γὰρ ὀξεῖ τὸ ἀμβλὺ ἐναντίον, τῷ δὲ βαρεῖ τὸ κοῦφον, δεῖ δὲ καὶ βάρους καὶ ὀξύτητος αὐτῷ· ὁ αὐτὸς καὶ ἐπὶ τῶν ἄλλων ὀργάνων λόγος), οὔτε τῷ πλούτῳ δὲ καλῶς ἐλήφθη εἶναί τι ἐναντίον· ἡ γὰρ πενία οὐκ ἐναντίον πλούτῳ, ἀλλὰ πλούτου ἀπουσία τε καὶ στέρησις, ἡ δὲ ὑγεία οὐχ ὡς ὄργανον ἀγαθὸν, ἀλλ' ὡς τοῦ σώματος ἀρετὴ, ἐξ οὗ καὶ τῆς ψυχῆς ὁ ἄνθρωπος. εἰ δέ τις λέγοι τὴν στέρησιν τὴν τοιαύτην ἀφ' ἧς οἷόν τε τὴν ἕξιν γενέσθαι πάλιν ἐναντίον, πᾶσιν οὗτος λέγει τοῖς ἐν γενέσει εἶναί τι ἐναντίον, οὐ μόνοις τοῖς ὀργάνοις· ἐν πᾶσι γὰρ ἡ τοιαύτη στέρησις.

16. fort. οὐδὲ τῷ πλούτῳ δή. 23. λέγει] λέγοι V. fort. ἂν λέγοι.

Ἀπορία ὅτι ἡ κοινὴ ἡδονὴ ἡ ὡς γένος λαμβανομένη οὔτ' ἀγαθόν ἐστιν οὔτε κακὸν οὔτ' ἀδιάφορον. ε.

Εἰ ἡ κοινὴ ἡδονὴ ἡ ὡς γένος λαμβανομένη οὔτ' ἀγαθόν ἐστιν οὔτε κακὸν, διότι ἡ μὲν ἀγαθόν ἐστιν αὐτῆς ἡ δὲ κακόν· τὸ γὰρ κοινὸν οὐκ ἔστιν ἕν τι τῶν ὑπὸ τὸ κοινὸν, οὔτ' ἀδιάφορος ἔσται, εἴ γέ εἰσί τινες καὶ ἡδοναὶ διάφοροι, ὥσπερ καὶ αἱ μὲν ἀγαθαὶ αἱ δὲ μοχθηραί· ταῦτα δ' ἄν τις ζητήσειε καὶ ἐπὶ τῶν ἐνεργειῶν, ὧν τέλη πως αἱ ἡδοναί. διὸ καὶ συνδιαιροῦνται αὐταῖς· εἰ γὰρ τῶν ἐνεργειῶν αἱ μέν εἰσιν ἀγαθαὶ, αἱ δὲ μοχθηραὶ, αἱ δὲ ἀδιάφοροι, ἡ κοινὴ καὶ ὡς γένος ἐνέργεια λαμβανομένη οὔτ' ἀγαθὸν οὔτε κακὸν οὔτ' ἀδιάφορον ἔσται. ἀλλὰ μὴν πᾶν τὸ ὂν ἀναγκαῖον ἢ ἀγαθὸν ἢ κακὸν ἢ ἀδιάφορον εἶναι, ἢ πᾶν τὸ ὂν ἐν ὑποστάσει καὶ τὸ εἶναι καθ' αὑτὸ δυνάμενον· εἰ δέ τι κοινὸν εἴη, ὑφ' ὃ ταῦτα πάντα ἐστὶν, ἐκεῖνο οὐκέτι οἷόν τε τούτων τι εἶναι τῷ πάντα ἔχειν ὑφ' αὑτό. οὐδὲ γὰρ ἐπεὶ πᾶν ζῶον τὸ ἐν ὑποστάσει ὂν ἢ λογικόν ἐστιν ἢ ἄλογον, διὰ τοῦτο καὶ τὸ κοινὸν τὸ ὡς γένος κατὰ τῶν ἐν ὑποστάσει κατηγορούμενον ἐν θατέρῳ τούτων ἐστί. οὔτε οὖν ἡ κοινὴ ἡδονὴ οὔτε ἡ κοινὴ ἐνέργεια ἔσονται ἢ ἀγαθὰ ἢ κακὰ ἢ ἀδιάφορα, πάσης

9. ἀδιάφορος ἔσται] fort. ἀδιάφορόν ἐστιν. 10. διάφοροι] ἀδιάφοροι Bagolinus. 11. ταῦτα δ'] fort. ταὐτόν. 18. ἢ πᾶν] fort. ᾗ πᾶν.

ἡδονῆς καὶ πάσης ἐνεργείας τῆς ἐν ὑποστάσει τούτων τι ἐχούσης, ἐπεὶ δὲ αἱ ἡδοναὶ ταῖς ἐνεργείαις ἐφ' αἷς γίνονται, συνδιαιροῦνται, καὶ αἱ μὲν ἐπιγινόμεναί τε καὶ ἑπόμεναι ταῖς ἀγαθαῖς ἐνεργείαις ἀγαθαὶ, αἱ δὲ ταῖς μοχθηραῖς μοχθηραὶ, ἀδιάφοροι δὲ αἱ ταῖς ἀδιαφόροις, ἐπιζητήσαι τις ἂν, πῶς χρὴ περὶ λύπης λέγειν, ἐπειδὴ αὕτη ἐναντία τῇ ἡδονῇ. εἰ γὰρ καὶ ταύτην λέγοι τις συνδιαιρεῖσθαι ταῖς ἐνεργείαις ἐφ' αἷς γίνεται, πρῶτον μὲν τίνα τρόπον ἡ διαίρεσις ἔσται; πότερον τὰς μὲν ἐπὶ ταῖς ἀγαθαῖς ἐνεργείαις γινομένας ἐροῦμεν κακὰς, τὰς δὲ ἐπὶ ταῖς μοχθηραῖς ἀγαθὰς, τὰς δὲ ἐπὶ ταῖς ἀδιαφόροις ἀδιαφόρους; ἢ ἄτοπον τὸ λέγειν ἐν ἀγαθῷ εἶναι τὸν λυπούμενον ἐπὶ ταῖς μοχθηραῖς ἐνεργείαις, ἃς ἐνεργεῖ; ἐν κακῷ γὰρ ὁ τοιοῦτος. πῶς γὰρ οὐκ ἐν κακῷ ὁ ἐν τοιαύταις ἐνεργείαις ὤν; ἔπειτα ἡ μὲν ἡδονὴ εὐλόγως ἐδόκει συνδιαιρεῖσθαι ταῖς πρὸ αὐτῆς ἐνεργείαις· κατ' οἰκειότητα γὰρ τὴν πρὸς αὐτὰς ἐγίνετο καὶ ὡς τέλος τι ἦν αὐτῶν, ἡ δὲ λύπη ἀλλοτριότητός ἐστι σημεῖον τοῖς ἐφ' οἷς γίνεται. ἢ εὔλογον δι' αὐτὸ τὴν ἐπὶ ταῖς ἀγαθαῖς ἐνεργείαις γινομένην εἶναι κακὴν, διότι ἀλλοτρία ἐστὶ τῶν ἀγαθῶν, καὶ διὰ ταῦτα τὴν ἐπὶ ταῖς κακαῖς ἀγαθὴν, ὅτι ἔστι τις ἀλλοτρία τῶν κακῶν, ὅτι τε ὁ λέγων τὴν τοιαύτην λύπην ἀγαθὸν οὐ τὰς ἐνεργείας ἐφ' αἷς γίνεται, τίθησιν ἀγαθὰς εἶναι, ἀλλὰ τὴν ἀλλοτριότητα πρὸς τὰς τοιαύτας ἐνεργείας ἢ

21. τοῖς] τῆς T.

περιστάσεις τε καὶ τύχας; ἢ ὅλως ἄτοπον τὸ τὴν λύπην οὕτω διαιρεῖν; δοκεῖ γὰρ ἡ λύπη τῇ ἑαυτῆς φύσει κακὸν εἶναι τοῖς ἔχουσιν αὐτήν. ἀλλ' εἰ λύπη κακὸν, τὸ δ' ἐναντίον τῷ κακῷ ἀγαθὸν ἢ κακὸν, δεήσει καὶ τὴν ἡδονὴν ἐναντίαν οὖσαν τῇ λύπῃ ἀγαθὸν ἢ κακὸν εἶναι. εὑρέθη δὲ οὔτε πᾶσα ἀγαθὸν οὖσα οὔτε πᾶσα κακὸν, ἦν δέ τις καὶ ἀδιάφορος. ἆρ' οὖν ἡ μὲν ἀγαθὴ οὕτως ἔσται ἐναντία τῇ λύπῃ, ὡς ἀγαθὸν κακῷ, ἡ δὲ μοχθηρὰ ὡς κακὸν κακῷ. ἀλλ' εἰ οὕτω, τί χρὴ περὶ τῆς ἀδιαφόρου λέγειν; ἣν γὰρ ἐπὶ ταῖς ἀδιαφόροις ἐνεργείαις γινομένη, ἥ τις οὐκ ἔσται ἐναντία λύπῃ. ἔσται γὰρ οὕτω τῷ κακῷ οὐ μόνον κακὸν καὶ ἀγαθὸν ἐναντία, ἀλλὰ καὶ ἀδιάφορον, ὅπερ οὐ δοκεῖ. ἢ χρὴ τῶν ἡδονῶν καθόλου διαίρεσιν ποιησάμενον λαβεῖν τὰς μέν τινας αὐτῶν εἶναι κατὰ φύσιν τοῖς ἡδομένοις αὐτὰς, τὰς δὲ παρὰ φύσιν; κατὰ φύσιν μὲν τὰς γινομένας ἐπὶ ταῖς κατὰ φύσιν γινομέναις ἐνεργείαις, παρὰ φύσιν δὲ ὧν καὶ ἐνέργειαι τοιαῦται. ἑκάστῳ γὰρ ζώῳ εἰσί τινες οἰκεῖαί τε καὶ κατὰ φύσιν αὐτῶν ἐνέργειαι· καὶ γὰρ ἀνθρώπου εἰσὶν ἐνέργειαί τινες κατὰ τὴν ἀνθρώπου γινόμεναι φύσιν, καὶ ἵππου κατὰ τὴν τοῦ ἵππου, καὶ κυνὸς καὶ τῶν ἄλλων ζώων ὁμοίως, ὧν καὶ τὰς ἡδονὰς κατὰ φύσιν καὶ αὐτὰς χρὴ λέγειν ἐκείνοις· τὰς δ' ἐπὶ ταῖς ὑπό τινων οὐ κατὰ τὴν οἰκείαν φύσιν αὐτῶν γινομέναις ἐνεργείαις ἡδονὰς παρὰ φύσιν. διὸ καὶ ὁμωνύμους ἐκείνας, ὧν τὰς μὲν κατὰ φύσιν ἑκάστοις καὶ ἡδονὰς κυρίως εἶναι

ῥητέον, τὰς δὲ παρὰ φύσιν ἐκείνοις τοῖς ἡδομένοις αὐτὰς ἡδονάς, ὥσπερ καὶ ὑγιεινὰ τὰ μὲν ἁπλῶς, τὰ δὲ τοῖσδε, καὶ τὰς μὲν ἀληθῶς τε καὶ κυρίως ἡδονὰς ἀγαθὰς εἶναι τοῖς ἡδομένοις αὐτὰς ῥητέον, τὰς δὲ παρὰ φύσιν γινομένας τισὶν οὐκ οὔσας ἁπλῶς ἡδονὰς μοχθηράς τε καὶ κακάς· εἰ δὴ μάλιστα ἄνθρωπος καὶ κατὰ φύσιν ἔχων μάλιστα ὁ ἀγαθός, εἶεν ἂν καὶ ἀνθρώπῳ κατὰ φύσιν ἡδοναὶ μάλιστα αἱ τούτῳ φαινόμεναι, καὶ ἡδέα οἷς οὗτος χαίρει. ὅσα δὲ τούτῳ δυσχερῆ, ταῦτα παρὰ φύσιν τε καὶ οὐχ ἁπλῶς ἡδέα, εἰ καὶ ἥδοιντό τινες ἐπ' αὐτοῖς. διαφέροιεν δ' ἂν καὶ τῶν κατὰ φύσιν ἑκάστῳ ἡδονῶν τῷ αἱ μὲν αὐτῶν μᾶλλον, αἱ δὲ ἧττον οἰκεῖαι εἶναι. οὕτω δ' ἂν εἴη τῇ λύπῃ κακῷ ὄντι ἡ κυρίως τε καὶ ἁπλῶς ἡδονὴ ἐναντία οὖσα ἀγαθὸν πᾶσα, εἰ καὶ μὴ ὁμοίως, αἱ δὲ παρὰ φύσιν οὔτε ἡδοναὶ ἁπλῶς οὔτε ἀγαθαί, εἶεν δ' ἂν καὶ ἐπὶ τοῖς ἀδιαφόροις τοιαῦται· οὐδὲ γὰρ τὰ ἀδιάφορα ἐν τοῖς κατὰ φύσιν. ἡδονῇ δὲ ἐναντίον λύπη, ἀλλ' οὐ πόνος, εἴ γε πόνος θλίψιν σωματικὴν δηλοῖ καὶ λύπην τινά, ἀλλ' οὐ τὴν ἁπλῶς. ἡ δὲ λύπη ἡ καθόλου τὴν τοιάνδε ψυχικὴν διάθεσιν σημαίνει, εἴτ' ἐπὶ θλίψει γίνοιτο σωματικῇ εἴτ' ἐπὶ διαθέσει τινὶ ψυχικῇ, ὥσπερ καὶ ἡ ἡδονὴ οὐχὶ σωματικὴ μόνον, ἀλλὰ καὶ ψυχική. τῇ κοινῇ οὖν ἡδονῇ λύπη κοινὴ οὖσα ἐναντίον, ἡ δ' ἐπὶ ταῖς παρὰ φύσιν

26. λύπη] fort. add. ἡ

ἡδονὴ φθείρουσα τὴν ἐπὶ ταῖς κατὰ φύσιν ἡδονὴν οὖσαν ἀγαθὸν, ὁμοίως τῇ οἰκείᾳ λύπῃ, εἴη ἂν καὶ αὐτὴ ἐναντίον ὡς κακὸν κακῷ· ὡς ὑπερβολὴ γὰρ ἐλλείψει, ὡς εἶναι πᾶσαν μὲν λύπην κακὸν, τῶν δ' ἡδονῶν τὰς μὲν κατὰ φύσιν τε καὶ κυρίως ἡδονὰς ὡς ἀγαθὰ ἐναντίας εἶναι ταῖς λύπαις, τὰς δὲ παρὰ φύσιν ὡς κακὸν κακῷ.

Ὅτι τῇ ἡδονῇ ἡ λύπη ἐστὶν ἐναντίον ἀλλ' οὐ πόνος. ς'.

Ὁ μὲν γὰρ πόνος σωματικήν τινα θλίψιν ἐμφαίνει, ἡ δὲ λύπη ψυχικὴν συστολήν. εἰ μὲν οὖν καὶ ἡ ἡδονὴ πᾶσα ἦν ἐν σωματικῇ διαχύσει, ἦν ἂν πόνος αὐτῇ ἐναντίος· ἐπεὶ δ' ἔστιν ἡδονὴ διάχυσίς τις τῆς ψυχῆς οὐ διὰ σώματος οὐδ' ἐπὶ σώματι γινομένη μόνῳ, οὐκ ἂν εἴη τῇ τοιαύτῃ ἡδονῇ ἐναντίον πόνος, ἀλλὰ λύπη. ἡ μὲν γὰρ λύπη καὶ ἐπὶ ταῖς θλίψεσι τοῦ σώματος καὶ αὐτῆς τῆς ψυχῆς ἐφ' αὐτῆς, ὥσπερ καὶ ἡ ἡδονὴ, ὁ δὲ πόνος ἐπὶ σώματι μόνον. διὸ εἴη ἂν ἁπλῶς μὲν ἡδονῇ λύπη ἐναντίον, τινὶ δὲ ἡδονῇ ἡ ὡς πόνος· τῇ γὰρ σωματικῇ διαχύσει καὶ τῇ τοῦ σώματος εὐσθενείᾳ καὶ τῇ ἐπὶ τούτοις ἡδονῇ εἴη

10. Ὅ] verba Ὅτι — πόνος repetit Bagolinus. 12. διαχύσει] Victorius, laudans Alexandr. ad Top. p. 88. διαλύσει vulg. 13. αὐτῆς vulg. 14. διάχυσις] Victorius, διάλυσις vulg. 15. τῆς τοιαύτης ἡδονῆς vulg. 21. διαχύσει] Victorius, διαλύσει vulg.

ἂν ἡ τοῦ σώματος θλίψις τε καὶ ὀδύνη ἐναντία. ὁ δὲ ἐπὶ τῆς ψυχῆς λεγόμενος πόνος, ὡς λέγονταί τινες φιλόπονοι, οὐδὲ τὴν ἀρχὴν ἐναντίος ἡδονῇ· μεθ' ἡδονῆς γοῦν γίνεται. εἰ δέ τις ἐπὶ τῷ πονεῖν λυποῖτο, ἡ λύπη ἂν οὐχ ὁ πόνος εἴη τὸ ἐναντίον τῇ ἡδονῇ. οὔσης δὲ λύπης τῇ ἡδονῇ ἐναντίας πᾶσα μὲν λύπη κακὸν εὐλόγως ἂν λέγοιτο· τῇ γὰρ αὑτῆς φύσει φευκτή. ἡ δ' ἡδονὴ οὐ πᾶσα ἀγαθὸν, ἀλλ' ὅσαι μὲν τῶν ἐνεργειῶν τῶν ἐφ' αἷς ἡ ἡδονὴ, ὑπερβολὴν ἔχουσιν, ἕξουσιν ὁμοίως καὶ αἱ ἐπ' αὐταῖς ὑπερβολὴν ἡδοναὶ, τοιαῦται δ' αἱ σωματικαί. διότι τούτων αἱ μὲν σύμμετροι αἱρεταὶ, ὁποῖαί εἰσι καὶ αἱ περὶ τὰ ἀναγκαῖα τὰ πρὸς τὸ σῶμα· αἱρετὰ γὰρ καὶ τὰ ἀναγκαῖα, αἱ δ' ὑπερβάλλουσαι φευκταὶ, ὁποῖαί εἰσιν αἱ τῶν ἀκολάστων, καὶ εἴη ἂν ἐπ' αὐτῶν καὶ ἡ λύπη ὡς ἔνδειά τις κακὸν, καὶ ἡ ὑπερβάλλουσα ἡδονὴ ὡς ὑπερβολή τις, ἡ δὲ σύμμετρος ἀγαθὸν ἐν μεσότητί πως οὖσα τῶν προειρημένων. ὧν δ' ἡδονῶν μή ἐστιν ὑπερβολὴ, τοιαῦται δ' εἰσὶν ὅσαι ἐπὶ ἐνεργείαις γίνονται, ὅσων τὸ αἱρετὸν ἐκ τῆς ἐπιδόσεώς τε καὶ προσθήκης αὔξεται, ὁποῖαί εἰσιν αἱ γινόμεναι κατὰ τὰς ἀρετὰς, ἐπὶ τούτων οὐδὲ τῶν ἐνεργειῶν εἰ δὲ τῶν ἡδονῶν ἔσται τις ὑπερβολή· διὸ αἱ τοιαῦται αἱρεταί τε καὶ ἀγαθαὶ τῇ οἰκείᾳ φύσει πᾶσαι.

6. τῆς ἡδονῆς vulg. 12. διότι] fort. διό. 24. εἰ δὲ] del, οὐδὲ interpretes.

Διὰ τί εἰ ἡ λύπη πᾶσα κακὸν τῇ ἑαυτῆς φύσει, οὐχὶ καὶ ἡ ἡδονὴ πᾶσα ἀγαθόν ἐστι τῇ ἑαυτῆς φύσει. ζ'.

Διὰ τί, εἰ ἡ λύπη πᾶσα κακὸν τῇ ἑαυτῆς φύσει, οὐχὶ καὶ ἡ ἡδονὴ πᾶσα ἀγαθόν ἐστι τῇ ἑαυτῆς φύσει; ἢ γὰρ πᾶσαν ἔδει καὶ τὴν ἡδονὴν κακὸν εἶναι οὖσαν ἐναντίον τῇ λύπῃ ὡς κακὸν κακῷ, ἢ εἰ μὴ ὡς φευκτὸν μηδὲ κακὸν ἡ ἡδονή, ἀλλ' ὡς ἀγαθὸν κακῷ ἀντίκειται πᾶσαν ἀγαθὸν εἶναι, εἰ γὰρ εἴη τις ἡδονὴ κακὸν, εἴη ἂν τῶν λυπῶν κακῶν οὐσῶν πασῶν. ἢ ἡ ἡδονὴ ἐναντία οὖσα τῇ λύπῃ ἡ μὲν ὡς κακὸν κακῷ ἐναντία, ἡ δὲ ὡς ἀγαθὸν κακῷ; ὅτι δεῖται λόγου. ἢ οὔτε λύπη πᾶσα κακὸν, εἴ γε καὶ ἐν τούτοις ἡ ἀρετὴ τοῦ μέσου στοχαστικὴ, καί εἰσιν οἰκεῖαι τῷ σπουδαίῳ καὶ λῦπαι τινὲς καὶ πόνοι, εἴη δ' ἂν κοινότερον ὁ πόνος τῆς λύπης· τὶς γὰρ πόνος ἡ λύπη. καὶ γὰρ ὥσπερ ἡ ἡδονὴ ταῖς ἐνεργείαις ἑπομένη καὶ μέρος πως ἢ τέλος οὖσα αὐτῶν παρ' ἐκείνων ἔχει τὸ αἱρετόν τε καὶ φευκτόν· αἱρεταὶ μὲν γὰρ αἱ ἐπὶ ταῖς αἱρεταῖς ἐνεργείαις, φευκταὶ δ' αἱ ἐπὶ ταῖς μὴ τοιαύταις, οὕτως εὔλογον καὶ τὰς λύπας ὑπολαμβάνειν ἐπὶ ἐνεργείαις τισὶ γινομένας παρ' ἐκείνων καὶ αὐτὰς ἔχειν τὸ αἱρετόν τε καὶ φευκτὸν ἔμπαλιν τῶν ἡδονῶν. τὰς μὲν γὰρ ἐπὶ ταῖς καλαῖς γινομένας ἐνεργείαις φευκτὰς εἶναι,

11. ἢ om. T. 13. ὅτι δεῖται λόγου om. T. οὔτε] scrib. οὐδέ.

τὰς δ' ἐπὶ ταῖς αἰσχραῖς αἱρετάς. εἰ δέ εἰσι λῦπαι τινὲς αἱρεταὶ καὶ πόνοι, εἶεν ἂν καὶ ἡδοναὶ φευκταὶ αἱ ταῖς λύπαις ταύταις ἐναντίαι. ἐναντίαι δὲ ἡδοναὶ λύπαις αἱ γινόμεναι ἐπὶ ταῖς τοιαύταις ἐνεργείαις. καὶ διὰ τοῦτο οὐ πᾶσα ἀγαθὸν ἡδονὴ, ὅτι μηδὲ πᾶσα λύπη κακόν. ἐλέγετο δέ τι καὶ τοιοῦτον, ὅτι οὐδὲ τοῖς ὑποθεμένοις πᾶσαν εἶναι λύπην κακὸν ἀκολουθεῖν ἀνάγκη τὸ ἢ πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι ἢ πᾶσαν κακὸν, κειμένου τοῦ τὴν λύπην ἐναντίαν εἶναι τῇ ἡδονῇ. ἐφ' ὧν γὰρ ἡδονῶν ὑπερβολαί τινές εἰσιν, ἐν τούτοις εἰσὶ καὶ αἱρεταί τινες ἡδοναὶ καὶ φευκταί· αἱ μὲν γὰρ μέσαι αἱρεταὶ, αἱ δὲ κατὰ τὰς ὑπερβολὰς φαῦλαι, εἰσὶ δὲ τοῦτο ἔχουσαι αἱ σωματικαὶ τῶν ἡδονῶν. ἐφ' ὧν δὲ μή εἰσιν ὑπερβολαὶ τῷ καὶ τὰς ἐπὶ πλέον αὐτῶν γινομένας ἐν τῷ αἱρετῷ μένειν, αὗται πᾶσαι αἱρεταὶ, οἷαί εἰσιν αἱ ἐπὶ ταῖς κατὰ θεωρίαν ἐνεργείαις. εἰσὶ δέ τινες καὶ παρὰ φύσιν ἡδοναὶ, ὁποῖαί εἰσιν αἱ θηριώδεις τε καὶ νοσηματώδεις, περὶ ὧν εἴρηται ἐν τῷ ἑβδόμῳ τῶν Ἠθικῶν, αἳ οὔτε κυρίως ἀνθρώπου λέγοιντο ἂν ἡδοναὶ ὅτι μὴ κατὰ φύσιν, οὔτε αἱρεταί. οὕτω δὲ ἐχουσῶν τῶν ἡδονῶν πάσαις μὲν αὐταῖς ἐναντίον ἔσται λύπη ὡς κακὸν τῷ κεῖσθαι πᾶσαν εἶναι λύπην κακὸν, τῶν δὲ ἡδονῶν ὅσαι μέν εἰσι παρὰ φύσιν, αὗται ὡς κακὸν κακῷ τῇ λύπῃ ἔσονται ἐναντίαι, εἴ τις καὶ ταύτας ἐν ταῖς

21. ἑβδόμῳ τῶν Ἠθικῶν] cap. 1.

ἡδοναῖς καταλέγοι· ὅσαι δὲ ἔχουσιν ὑπερβολὴν, ἐπὶ τούτων αἱ μὲν ὡς ἀγαθὸν ἔσονται τῇ λύπῃ ἐναντίαι, αἱ ἐν μεσότητι καὶ ὡρισμέναι τῷ ὀρθῷ λόγῳ, αἱ δὲ καθ' ὑπερβολὴν ἐν οἷς καὶ αἱ τῶν ἀκολάστων, αὗται δὲ ὡς κακὸν κακῷ· ὧν δὲ οὐκ ἔστιν ὑπερβολὴ, αὗται ἂν εἶεν πᾶσαι ὡς ἀγαθὸν κακῷ τῇ λύπῃ ἐναντίαι.

Ὅτι ἡ ἀρετὴ οὔτε γένος οὔτε ὅλον. ή.

Ὅτι ἡ ἀρετὴ οὔτε γένος οὔτε ὅλον. οὐ γένος μὲν, ὅτι τὸ γένος οὐ συναναιρεῖται ἑνὶ τῶν εἰδῶν ἀναιρουμένῳ, ἡ δὲ ἀρετὴ συναναιρεῖται μιᾷ. εἴτε γὰρ ἀντακολουθοῦσιν αἱ ἀρεταὶ ἀλλήλαις, ἧστινοσοῦν ἀναιρουμένης ἀναιρεῖται καὶ ἡ ἀρετὴ, ἔσται τε καὶ ἕν τι τῶν εἰδῶν οὕτως τἄλλα εἴδη συναναιροῦν, ὃ οὐδὲ αὐτὸ ὑγιὲς εἶναι δοκεῖ. εἴτε μὴ ἀντακολουθοῦσι, φρονήσεως ἀναιρουμένης ἀναιροῖτο ἂν ἡ ἀρετὴ τῷ κατὰ τὸν ὀρθὸν λόγον ἐν πάσαις αὐταῖς τὸ εἶναι, ὁ δ' ὀρθὸς λόγος ἀπὸ φρονήσεως. ὅλον δὲ οὐκ ἂν εἴη ἡ ἀρετὴ, ὅτι τὸ μέρος οὐκ ἐπιδέχεται τὸν τοῦ ὅλου λόγον ἐν τοῖς ἀνομοιομερέσιν, διαφέρουσι δὲ ἀλλήλων αἱ ἀρεταὶ καὶ τὸν τῆς ἀρετῆς ἐπιδέχονται λόγον. ἢ ἐν οἷς τὸ μὲν πρῶτόν ἐστι, τὸ δὲ δεύτερον, ὡς ἀναιρουμένου τοῦ πρώτου

4. ἐν οἷς] scrib. ἐν αἷς. 16. ἀντακατακολουθοῦσι vulg. 18. ἐν] fort. εἶναι.

ἀναιρεῖσθαι τό τε κοινὸν καὶ τὰ ἄλλα τὰ μετ' αὐτὸ, ταῦτα τῶν πολλαχῶς λεγομένων ἐστὶ τῶν ἀφ' ἑνὸς ἢ πρὸς ἓν λεγομένων, ὥστ' εἰ καὶ ἡ ἀρετὴ μιᾶς τινος ἀναιρουμένης ἀναιροῖτο, εἴη ἂν καὶ αὕτη τῶν οὕτω λεγομένων; ἢ μᾶλλον ῥητέον τὸν δοκοῦντα συνωνύμως τῶν ἀρετῶν ὅρον κατηγορεῖσθαι τῆς ἀρετῆς κοινότερον εἶναι καὶ οὐκ ἴδιον τῆς ὅλης ἀρετῆς ἧς αὗται μέρη; εἴη δ' ἂν ἐκείνῃ λόγος ἡ πάσης λογικῆς ψυχῆς ἕξις ἀρίστη, ὃς λόγος οὐ καθεκάστῃ τῶν ἀρετῶν ἐφαρμόζει. δοκεῖ δὲ καὶ Ἀριστοτέλης ὅλον τι λέγειν τὴν τελείαν ἀρετὴν ἀλλ' οὐ γένος.

Περὶ τῆς ἀπορίας ταύτης καὶ ἐν τοῖς ὑστέροις εἴρηταί τι.

Ὅτι μὴ πάντες οἱ ἁμαρτάνοντες ἀγνοίᾳ τοῦ κακὰ εἶναι καὶ βλαβερὰ, ἃ πράττουσιν, ἁμαρτάνουσιν. θ'.

Ὅτι μὴ πάντες οἱ ἁμαρτάνοντες ἀγνοίᾳ τοῦ κακὰ εἶναι καὶ βλαβερὰ, ἃ πράττουσιν, ἁμαρτάνουσιν, δῆλον ἐκ τῶν πεπεισμένων ὅτι ἁμαρτάνουσι, καὶ μὴ ἀντεχόντων αὐτοῖς διὰ μαλακίαν καὶ ἀναισθησίαν. ὧν εἰσι καὶ οἱ νοσοῦντες καὶ τὰ βλάπτοντα αὐτοὺς πράττοντες, οὐκ ἀγνοοῦν-

3. ἢ πρὸς] καὶ πρὸς Bagolinus. 8. ἐκείνῃ] ἐκείνη vulg. fort. ἐκείνης. 10. οὐ om. T. 12. τέλειον vulg. 14. εἴρηται] dicetur Bagolinus, vid. cap. 28. 22. ἀναισθησίαν] ἀνασκησίαν T.

τες ὁποῖά ἐστιν· ὅτι γὰρ οὐκ ἀγνοοῦσιν, αὐτοῖς ἐπικαλοῦσι, τοὺς μὴ τὰ ὅμοια ἁμαρτάνοντας ἐπικαλοῦνται, εὔχονται τοῖς θεοῖς ὑπὲρ τοῦ κάλλιον φρονῆσαι. ἐν οἷς εἰσι καὶ οἱ ἐρῶντες, οἳ εἰ τὸ ἐρασθῆναι ἐπ' αὐτοῖς ἐστι καὶ τὸ ἐρῶσι παύσασθαι, ἑκόντες ἂν εἶεν τὰ κατὰ τὸν ἔρωτα πράττοντες. ἀλλὰ καὶ ἐκ τῶν ἀρχομένων ἁμαρτάνειν δῆλον. οὐδεὶς γὰρ αὐτῶν ἀγνοῶν τὰ κακὰ ὅτι κακά ἐστιν ἐπ' αὐτὰ τὴν ἀρχὴν ἔρχεται· πάντες γοῦν ἀρχόμενοι αἰδοῦνται καὶ λανθάνειν σπεύδουσι, καὶ ὡς μὴ καὶ δεύτερον πράξοντες τὰ ὅμοια εἶσιν ἐπ' αὐτὰ, πεπεισμένοι μὲν βλαβήσεσθαί τι ἀπ' αὐτῶν, εἴκοντες δὲ τῇ ἡδονῇ, οὐ πίστει τοῦ αἱρετωτέραν αὐτοῖς εἶναι, ἀλλὰ τῷ μὴ βούλεσθαι πονήσαντες ὀλίγον ἀντισχεῖν πρὸς αὐτήν. τοῦ δὲ ταύτην περὶ τῶν κακῶν ἔχειν τὴν πρόληψιν ὡς εὔνοιαν αὐτῶν ἔχειν ὁποῖά ἐστιν αἰτίαν πρώτην μὲν τὴν φύσιν ἔχουσιν. οὐ γὰρ ἀνεννόητοι τῶν βελτιόνων οἱ μηδέπω παντάπασι διεστραμμένοι, ἀλλὰ τάς κοινάς τε καὶ φυσικὰς σώζοντες ἐννοίας. ὅτι γὰρ πρὸς τὰ βελτίω νένευκεν ἡ φύσις ἑκάστου, δῆλόν ἐστιν ἐκ τοῦ καὶ τοὺς ἐν ἁμαρτήμασιν ὄντας ἤδη ἐπαινεῖν ἔτι τοὺς οὐχ ἁμαρτάνοντας, καὶ τοὺς ἁμαρτάνοντας τοὺς αὐτῶν παῖδας μὴ ἐπὶ τὰ αὐτὰ ἄγειν. ἱκανὴ δὲ καὶ ἡ κοινὴ φήμη τε καὶ πρόληψις τῶν ἀνθρώπων τὴν τῶν κακῶν ἀτοπίαν ὁποία τίς ἐστι διδάξαι· ἀλλὰ καὶ οἱ νόμοι ταῦτα κηρύττοντες

3. εὔχονται] interpretes, Victorius, ἔχονται vulg. 12. εἶσιν] fort. ἴασι. 19. οἱ μηδέπω] ὅρμη δέ πω vulg.

ἱκανοὶ τὰ βελτίω διδάσκειν. πρὸς δὲ τούτοις διδάσκαλοί τε καὶ παιδαγωγοὶ πάντες κοινῶς τὰ κακὰ φεύγειν παραινοῦντες οὐκ ἀνεννοήτους τῶν βελτιόνων τοὺς νέους ἐῶσιν εἶναι. καὶ ὅτι μὲν οὐκ ἀγνοίᾳ τῶν κακῶν τὰ ἁμαρτήματα, δῆλον ἐκ τούτων τε καὶ τῶν τοιούτων· ὅτι δὲ μηδὲ βίᾳ πράττουσι τὰ φαῦλα, δῆλον ἐκ τοῦ αὐτοὺς εἶναι τοὺς πράττοντας αὐτὰ, καὶ κατὰ τὴν ἐξ αὑτῶν ὁρμὴν κινεῖν ἐπὶ τὰς τοιαύτας πράξεις τὰ ὀργανικὰ μέρη καὶ βουλευομένους περὶ αὐτῶν καὶ προαιρουμένους αὐτά. εἰ γὰρ οἱ προαιρούμενοι βιάζονται, τίνες ἂν εἶεν οἱ μὴ βιαζόμενοι; εἰ δὲ ἐν ἕξει τῶν ἁμαρτανομένων γενόμενοι μήτε αἰδοῦνται αὑτοὺς τὰ κακὰ πράττοντες, τῶν δὲ νόμων καταφρονοῦσιν, τὰ κακὰ οὐχ ἡγούμενοι εἶναι κακὰ, οὐδὲν τοῦτο πρὸς τὸ εἶναι αὐτὰ ἀκούσια. τοῦ γὰρ ἐν ταύτῃ τῇ ἕξει γενέσθαι, ὡς τὰ κακὰ μὴ ὑπολαμβάνειν καὶ αὑτοῖς εἶναι κακὰ, αὐτοὶ αἴτιοι, εἴ γε ἐπ' αὐτοῖς τὸ μὴ πράττειν ταῦτα ὧν διαγεγόνασιν τοιοῦτοι μὴ φυλαξάμενοι· εἰ δὲ ἀρχομένοις μὲν αὐτοῖς τῶν ἁμαρτημάτων οὐκ ἐφαίνετο τὰ κακὰ ὠφέλιμά τε καὶ αἱρετὰ, προελθοῦσιν δὲ ἐν αὐτοῖς καὶ δι' ἀμέλειαν αὑτῶν ἐν ἕξει γενομένοις αἱρετὰ τὰ τοιαῦτα φαίνεται, ἑαυτοῖς ἂν εἶεν τῆς ἀπ' αὐτῶν τοιαύτης φαντασίας αἴτιοι, ὄντες αὑτοῖς τῆς τοιαύτης ἕξεως αἴτιοι, δι' ἣν φαντασίας περὶ τῶν κακῶν τοιαύτας ἔχουσι. τούτοις δὲ μαρτυρεῖ καὶ τὸ μισεῖσθαι καὶ κολάζεσθαι τοὺς οὕ-

1. τούτους vulg. 12. εἰ] οἱ V. 13. ἐν ἕξει] in habitu iam et consuetudine Bagolinus. 14. αὑτοὺς om. T. δὲ] fort. τε. 19. αὐτοὶ] αὐτοῖς vulg. 26. δι' ἣν] δ' ἣν vulg.

τως ἁμαρτάνοντας, ὡς ἑκουσίως καὶ αὐτοῖς αἰτίους ὄντας τῶν τοιούτων πράξεων, τῶν ἀκουσίως τοιοῦτόν τι πραττόντων συγγνώμης τυγχανόντων. διὰ τί γὰρ εἰ πάντα ἀκούσια, τὰ μὲν αὐτῶν συγγινώσκεται, τὰ δ' οὔ; εἰ γάρ, ὅτι ἐπ' αὐτοῖς ἦν τὸ μαθοῦσιν ὁποῖά ἐστιν ἀπέχεσθαι αὐτῶν, εἰ μὲν εἰδότες τοῦτο ἠμέλουν αὐτοῦ, αὐτοὶ αἴτιοι πάλιν καὶ ἑκόντες τοιοῦτοι. εἰ δὲ κἀκεῖνο ἠγνόουν, πῶς οὐ καὶ αὐτοὶ συγγνώμης ἄξιοι; ἱκανὴ δὲ πίστις τοῦ μήτε βίᾳ μήτε δι' ἄγνοιαν τῶν βελτιόνων τινὰς ἁμαρτάνειν τῶν ἁμαρτανόντων καὶ τὸ μήτε λυπεῖσθαι μήτε μεταγινώσκειν ἐπὶ τοῖς ἁμαρτήμασι· τὰ γὰρ ἀκουσίως πραττόμενα ἐπίλυπά τέ ἐστι καὶ ἐν μεταμελείᾳ. ὅτι δὲ εἰ ἀκούσια τὰ ἁμαρτήματα, οὐδ' ἐφ' ἡμῖν ἂν εἴη, δῆλον ἐκ τοῦ ἀκούσια μὲν εἶναι τὰ βίᾳ, τὰ δὲ διὰ θυμὸν ἢ ἐπιθυμίαν ἁμαρτανόμενα βίᾳ φασὶ ποιεῖν τοὺς ποιοῦντας, ὥστε τὰ διὰ θυμὸν ἢ ἐπιθυμίαν ἁμαρτανόμενα οὐκ ἐφ' ἡμῖν. εἰ δὴ αἱ κολάσεις ἐπὶ τοῖς ἐφ' ἡμῖν, οἱ διὰ θυμὸν ἢ δι' ἐπιθυμίαν ἁμαρτάνοντες οὐκ ἂν εὐλόγως κολάζοιντο. ὅσα δὲ δι' ἄγνοιαν ἁμαρτάνεται, ταῦτα εἰ μὲν τῆς ἀγνοίας αὐτοῖς οἱ ἁμαρτάνοντες αἴτιοι, εἴη ἂν ἐπ' αὐτοῖς· εἶεν δ' ἂν αὐτοῖς αἴτιοι τῆς ἀγνοίας, εἰ ἐνὸν αὐτοῖς ἐπὶ τὰ βελτίω τραπομένοις μὴ γενέσθαι ἐν ἕξει τοιαύτῃ, δι' ἣν ἀγνοήσουσι τὰ ἀγαθά, οἱ δὲ ἠμέλησαν τοῦ τοιούτου. ἀλλὰ μὴν οὐκ ἄλλως

24. εἴη] εἶεν vulg.

ἐνῆν αὐτοῖς ἐπὶ τὰ βελτίω τραπέσθαι, εἰ μὴ εἶχόν ποτε ὑπολήψεις τινὰς περὶ τῶν ἀγαθῶν ὡς ὄντων τοιούτων. εἰ γὰρ ἀεὶ τὰ κακὰ αὐτοῖς ἀγαθῶν φαντασίαν ἐπέστελλεν, οὐκ ἦν ἐπ' αὐτοῖς τὸ μὴ αἱρεῖσθαι αὐτά. ἀλλὰ μὴν οἱ ἔχοντες ὑπολήψεις περὶ τῶν ἀγαθῶν ὡς ἀγαθῶν, ἔπειτα μὴ αἱρούμενοι αὐτὰ ἑκόντες ἡμάρτανον· οὔτε γὰρ διὰ βίαν οὔτε δι' ἄγνοιαν παρεώρων τὴν τῶν βελτιόνων αἵρεσιν, ὥστε ὡς ἐπ' αὐτοῖς τὸ ἁμαρτάνειν, οὕτω καὶ ἑκούσιον. εἰ δὲ μὴ αὐτοὶ τῆς ἀγνοίας αἴτιοι, οὐδ' ἂν ἐπ' αὐτοῖς εἴη τὸ δι' ἄγνοιαν ἁμαρτάνειν, οὕτως δὲ οὐδεὶς ἂν εὐλόγως κολάζοιτο τῶν ἁμαρτανόντων, εἴ γε αἱ κολάσεις μὲν ἐπὶ τοῖς ἐφ' ἡμῖν, οὐδὲν δὲ τῶν ἁμαρτανομένων ἐφ' ἡμῖν, εἴ γε ἀκούσιον, πᾶν δὲ ἀκούσιον ἢ δι' ἄγνοιαν ἢ βίᾳ.

Ὅτι ὁ ἄνθρωπος τῶν ἀρετῶν χάριν, ἀλλ' οὐκ ἔμπαλιν. ι.

Εἰ ἐν τοῖς φύσει γινομένοις ἐστίν τι, οὗ χάριν τὰ οὕτω γινόμενα γίνεται, τὸ δὲ οὗ χάριν γίνεταί τινα τέλος ἐκείνων, ἐν τοῖς φύσει γινομένοις τέλος τί ἐστιν. ἀλλὰ μὴν τὸ τέλος τῶν τοῦ τέλους χάριν γινομένων ἄμεινον, ὥστε καὶ τῶν φύσει γινομένων τὰ τέλη τῶν ἐκείνων γινομένων χάριν ἀμείνω. ἔστι δὲ καὶ ὁ ἄνθρωπος τῶν φύσει γινομένων, ὥστε ἐστίν τι καὶ τούτῳ

6. ἔπειτα] ἐπεὶ τὰ vulg.

τέλος, καὶ τοῦτο τῶν ἐφ' οἷς τοῦτο βέλτιον. τέλος δὲ τοῦ ἀνθρώπου τὸ σπουδαῖον ἄνθρωπον γενέσθαι, τούτου χάριν ὁ ἄνθρωπος, τὸ δὲ σπουδαῖον γενέσθαι ἐστὶ τὸ ἔχειν τὰς ἀνθρώπου ἀρετάς. ἀλλὰ μὴν οὐχ οἷόν τε σχεῖν τῷ ἀνθρώπῳ τὰς ἀρετὰς, εἰ μὴ πρῶτον ἄνθρωπος γένοιτο ὁ ἄνθρωπος. ὁ ἄνθρωπος ἄρα τῆς τῶν ἀρετῶν κτήσεως χάριν, ἀλλ' οὐχ αἱ ἀρεταὶ τοῦ ἀνθρώπου. διὸ καὶ ἀμείνων ὁ κεκτημένος τὰς ἀρετὰς ἄνθρωπος τοῦ χωρὶς τούτων ἀνθρώπου. οὐ γὰρ αἱ ἀρεταὶ γίνονται. οὐ γὰρ ἡμεῖς αὐτὰς κτώμεθα ὡς χωρίον ἢ ἀνδράποδον ἢ οἰκίαν, ἀλλ' ἡ τῶν ἑκάστου ἀρετῶν γένεσις ἐν τῇ κτήσει αὐτῶν. εἰ δὲ ἡ γένεσις αὐτῶν ἐν τῇ κτήσει, καὶ τὸ εἶναι αὐταῖς ἐν τούτῳ, ἔστι δὲ τὸ τέλος ἡμῖν ἡ κτῆσις αὐτῶν, εἶεν ἂν καὶ αἱ ἀρεταὶ τέλη ἡμῶν καὶ τούτων χάριν ἡμεῖς. διὸ καὶ ἀμείνους ἡμῶν αἱ ἀρεταὶ, διότι καὶ τὸ τέλος ἡμῶν ἐν τῇ τῶν ἀρετῶν παρουσίᾳ τε καὶ κτήσει.

Ὅτι μὴ πολλαχῶς τὸ ἀκούσιον, ἐπεὶ καὶ βίᾳ καὶ δι' ἄγνοιαν. ιά.

Ὥσπερ οὐ λέγεται πολλαχῶς τὸ ζῶον, ἐπεὶ τὸ μέν ἐστιν αὐτοῦ λογικὸν τὸ δ' ἄλογον, ἀλλ' οὐδὲ ἡ κακία πολλαχῶς, ἐπεὶ ἡ μὲν καθ' ὑπερβολὴν ἡ δὲ κατὰ ἔνδειαν, οὕτως οὔτε τὸ ἀκού-

3. χάριν] fort. γὰρ χάριν. 5. τε σχεῖν] fort. τ' ἔχειν.
7. ὁ ἄνθρωπος om. Bagolinus. 25. οὔτε] fort. οὐδέ.

σιον πολλαχῶς, ἐπεὶ τὸ μὲν αὐτοῦ βίᾳ τὸ δὲ δι' ἄγνοιαν· μέρη γὰρ ἢ εἴδη τοῦ ἀκουσίου ταῦτα. εἰ δὲ μὴ πολλαχῶς τὸ ἀκούσιον, οὐδ' ἂν ὁ τόπος ἔτι διὰ τοῦτο διαβάλλοιτο ὁ ἀξιῶν, εἰ τὸ ἕτερον τῶν ἐναντίων πολλαχῶς, καὶ τὸ ἕτερον πολλαχῶς· οὐ πολλαχῶς δὲ τὸ ἑκούσιον τοῦ ἀκουσίου τοῦ ἐναντίου αὐτῷ πολλαχῶς λεγομένου. οὔτε γὰρ ἡ κακία πολλαχῶς, ἐπεὶ ἡ μέν ἐστιν ἐν ὑπερβολῇ ἡ δὲ ἐν ἐνδείᾳ. γένος γάρ τι ἡ κακία ἐπὶ εἴδεσιν τῇ τε ὑπερβολῇ καὶ τῇ ἐνδείᾳ, καὶ ὥσπερ κακία μὲν ἑκατέρα, καὶ ἡ ἐν ὑπερβολῇ καὶ ἡ ἐν ἐνδείᾳ· οὐδὲ γὰρ οἷόν τε ἅμα τὸν κακὸν κατ' ἄμφω κακὸν εἶναι, οὐ μέντοι καὶ ἀρετὴ ἤδη διπλῇ ἑκατέρᾳ τῶν κακιῶν ἰδία τις ἀντικειμένη· οὐ γὰρ αὔταρκες πρὸς ἀρετὴν τὸ μὴ εἶναι ἐν ὑπερβολῇ, ἢ πάλιν τὸ μὴ εἶναι ἐν ἐνδείᾳ, ἀλλὰ δεῖ εἰ ἀρετὴ ἔσοιτο ἐν μηδετέρῳ ἐκείνων εἶναι· οὕτω καὶ τὸ ἑκούσιον ἐν τῇ ἑκατέρου τῶν ἐν οἷς τῷ ἀκουσίῳ τὸ εἶναί ἐστιν, ἀντιθέσει ἅμα τὸ εἶναι ἔχει. δεῖ γὰρ τὸν ἑκουσίως τι ποιοῦντα ἐν αὐτῷ τε τὴν ἀρχὴν ἔχειν τῶν πραττομένων καὶ ἔτι εἰδέναι τὰ καθ' ἕκαστα, ὧν τὸ μὲν τοῦ βίᾳ ἀναιρετικόν ἐστι, τὸ δὲ τοῦ δι' ἄγνοιαν. διὸ ἅμα ἀμφοτέροις τοῖς τοῦ ἀκουσίου μέρεσιν ἀντίκειται τὸ ἑκούσιον ἐκείνων μηδὲ συνυπάρχειν ἤδη δυναμένων· οὐ γὰρ οἷόν τε τὸν βίᾳ τι ποιοῦντα ἢ πάσχοντα καὶ ἀγνοοῦντα τὰ καθ' ἕκαστα ἁμαρτάνειν· οὐδὲν γὰρ

8. fort. οὐδέ. .9 γένος] Bagolinus, Victorius, τινὸς vulg. 17. δεῖ] Bagolinus, Victorius, δὴ vulg. 24. ἀμφοτέροις] Victorius, ἀμφοτέρας vulg.

πρὸς τὸ ἀκουσίως ποιεῖν τοὺς βιαζομένους ὑπό τινων συντελεῖ ἡ ἄγνοια ἢ γνῶσις τῶν καθέκαστα. οὐκ ἀναιρεῖται δὲ ὁ τόπος οὐδὲ ἐπὶ τοῦ τὸ μὲν φιλεῖν πολλαχῶς λέγεσθαι, τὸ δὲ μισεῖν ἐναντίον ὂν αὐτῷ μηκέτι λέγεσθαι πολλαχῶς. εἰ μὲν γὰρ ἦν τὸ μισεῖν παντὶ τῷ φιλεῖν ἐναντίον, καὶ μὴ πολλαχῶς ἐλέγετο, ἀνῃρεῖτο ἂν ὁ τόπος· εἰ δὲ τὸ μισεῖν μόνῳ ἐστὶν ἐναντίον τῷ φιλεῖν τῷ κατὰ διάθεσιν, οὐκ ἔτι δὲ καὶ τῷ καταφιλεῖν, οὐ διαβάλλεται ὁ τόπος· τότε γὰρ διαβάλλοιτο ἄν, εἰ παντὶ τῷ σημαινομένῳ ὑπὸ τοῦ πολλαχῶς λεγομένου ὂν ἐναντίον τι μὴ εἴη καὶ αὐτὸ πολλαχῶς λεγόμενον. τῷ γὰρ λευκῷ πολλαχῶς λεγομένῳ τὸ μέλαν ἐναντίον πολλαχῶς λέγεται, ὅτι πᾶσι τοῖς σημαινομένοις ὑπὸ τοῦ λευκοῦ ἐναντίον ἐστίν· καὶ γὰρ τῷ ἐν χρώματι λευκῷ καὶ τῷ ἐν φωνῇ ἐναντίον τὸ μέλαν, ὡς εἴ γε μόνον ἦν τῷ ἑτέρῳ αὐτῶν ἐναντίον, οὐδ' αὐτὸ ἂν ἐλέγετο πολλαχῶς.

Λέξεώς τινος ἐξήγησις ἐκ τοῦ τρίτου τῶν Νικομαχείων Ἠθικῶν Ἀριστοτέλους. ιβ'.

Ἔοικεν δὴ τὸ βίαιον εἶναι, οὗ ἔξωθεν ἡ ἀρχὴ, μηδὲν συμβαλλομένου τοῦ βιασθέντος. ὅτι τὸ ἐν ᾗ μηδὲν συμβάλλε-

14. ἐναντίον] fort. ὂν add. 17. καὶ τῷ] Victorius, καὶ τὸ vulg. 20. Ἡ λέξις ἐκ τοῦ τρίτου τῶν νικομαχιῶν T. 23. ἔοικεν] Nicom. III, 1, p. 1110, b, 15. 25. ἐν ᾗ] Victorius, ἐν η vulg. ibid. p. 1110, 2.

ται ὁ πράττων ἢ ὁ πάσχων εἶπεν ἐν τοῖς ἔμπροσθεν ἀντὶ τοῦ ὁ βιασθεὶς, διὰ τοῦ νῦν εἰρημένου ἔδειξεν μεταλαβὼν καὶ μηκέτι εἰπὼν μηδὲν συμβαλλομένου τοῦ πράττοντος ἢ πάσχοντος, ἀλλ' ἀντὶ τούτων εἰπὼν τοῦ βιασθέντος. ποτὲ μὲν γὰρ πράττειν λέγομεν, ποτὲ δὲ πάσχειν· καὶ γὰρ βιασθεὶς ἔπραξεν καὶ βίᾳ ἔπαθεν λέγομεν. ἀρχὴν δ' ἂν λέγοι ἔξωθεν εἶναι ἐπὶ τῶν βιαζομένων τὴν ποιητικήν. ἡ μὲν γὰρ τελικὴ καὶ οὗ ἕνεκεν αἰτία οὖσα ἔξωθέν ἐστιν ἐπὶ πάντων τῶν πρασσομένων, εἴ γε πᾶς ὁ πράττων ἕνεκά του πράττει ὃ πράττει, ὅ ἐστιν ἐκτὸς αὐτοῦ. ἔτι τε οὐδ' ἂν εἴη ἐν τοῖς βίᾳ τι πράττουσιν ἢ πάσχουσιν ἡ ὡς τέλος αἰτία· οὐ γὰρ ὁ βιαζόμενος ὑπό τινος τέλος τι ἔχει προκείμενον αὐτῷ, οὗ χάριν ὑπὸ τοῦ βιαζομένου βιάζεται. τῷ μὲν γὰρ βιαζομένῳ τινὰ καὶ τοῦτο πράττοντι τέλος τι πρόκειται, καὶ διὰ τοῦτο τοῦτον βιάζεται, αὐτῷ δὲ οὐδέν. οἱ δὲ πάσχοντες τὰ βίαιά εἰσιν, ὧν ἔξωθέν ἐστιν ἡ ἀρχὴ ἡ ποιητικὴ, μηδὲν εἰς τὸ γινόμενον τοῦ πάσχοντος συμβαλλομένου τε καὶ συμπράττοντος, ὡς ἔδειξεν γινόμενον ἐπὶ τῶν πλεόντων, ὅταν ὑπὸ πνεύματός τινος ἐξωσθῶσι, καὶ ἐπὶ τῶν κυρίων ὄντων καὶ ἀγόντων τοὺς ἡττημένους, ὅπῃ ἂν αὐτοῖς δοκῇ. οὐκ εἴ τις δὲ βιαζόμενος ὑπό τινος κινήσαι

3. μεταλαβὼν] μεταβαλὼν vir doctus in exemplo bibl. univers. Monac. 12. πράττει ὃ] Victorius, πράττειν ὃ vulg. 14. ἡ] Victorius ἢ vulg. 24. ἐπὶ] ὑπὸ vulg.

τι τῶν ὀργανικῶν μορίων κίνησίν τινα, ἣ συντελεῖ πρὸς τὸ γινόμενον βίᾳ, οὗτος ἤδη συμβάλλοιτο ἂν πρὸς τὸ γινόμενον βίᾳ. οὐ γὰρ εἰ ἀπωσθεὶς ὑπό τινος κινήσας τὰ σκέλη ἐμπέσοι τινὶ ἢ καταβάλλοι τι, ἤδη ἂν λέγοιτο συντελεῖν πρὸς τὸ γινόμενον· ἀλλ εἰ μὲν κατὰ τὴν οἰκείαν ὁρμὴν καὶ πρόθεσιν ποιήσει τοῦτο, εἴη ἂν συντελῶν, εἰ δὲ κατὰ συνήθη τινὰ καὶ φυσικὴν μεταφορὰν τῶν σκελῶν κινηθείη, οὐκ ἔτι, ὅπερ εἶπεν καὶ Ἀριστοτέλης διὰ τοῦ καὶ γὰρ ἡ ἀρχὴ τοῦ κινεῖν τὰ ὀργανικὰ μέρη ἐν ταῖς τοιαύταις πράξεσιν ἐν αὐτῷ ἐστιν. ὁ γὰρ ἐκ τῆς νεὼς τὰ φορτία ταῖς αὑτοῦ χερσὶν ἐκβάλλων εἰς τὴν θάλασσαν διὰ τὸν κίνδυνον, οὐχ ὅτι κινεῖ τὰς χεῖρας ἑκὼν ποιεῖ, ἀλλ' ὅτι προελόμενος τοῦτο ποιῆσαι, οὕτως αὐτὸ ποιεῖ· οὐκ ἔτι δὲ οἱ διὰ ἡδονήν τι ποιοῦντες βίᾳ, ὅτι αὐτοὶ ποιοῦσιν ἃ ποιοῦσιν διὰ τὴν ἡδονὴν, ἀλλ' οὐκ ἔξωθεν τὸ ποιοῦν ἔχουσιν· τὸ γὰρ ἡδὺ ὡς τέλος καὶ σκοπὸς αἴτιον, ἀλλ' οὐχ ὡς τὸ ποιοῦν.

Ὅτι οἰκεία ἡ ἡδονὴ τῇ ἐνεργείᾳ, ἐφ' ᾗ γίνεται. ιγ'.

Ὅτι οἰκεία ἡ ἡδονὴ τῇ ἐνεργείᾳ, ἐφ' ᾗ γίνεται, καὶ οὐκ ἔστιν ἡ μὲν ἡδονὴ ὁμοειδὴς πᾶσα,

10. καί γὰρ] ibid. p. 1110, 15. 21. Περὶ ἡδονῆς T, conf. Victorius ad Ethic. Nicom. X, 5 pag. 575. (446 Zell).

κατὰ τὸν ἀριθμὸν μόνον ἄλλη ἄλλης διαφέρουσα, τὰ δὲ ποιητικὰ τῶν ἡδονῶν διαφέρει, ἀλλ' εἰσὶ καὶ αἱ ἡδοναὶ ὁμοίως ἀλλήλων διαφέρουσαι, ὥσπερ καὶ τὰ ποιητικὰ αὐτῶν, ἐναργῶς ἔδειξεν Ἀριστοτέλης διὰ τοῦ δεῖξαι τὰς οἰκείας ταῖς ἐνεργείαις, ἐφ' αἷς γίνονται, ἡδονὰς συναυξούσας τὰς ἐνεργείας, ἐφ' αἷς γίνονται. ἡ γὰρ ἐπὶ τῷ γεωμετρεῖν ἡδονὴ συναύξει τὰς κατὰ γεωμετρίαν ἐνεργείας, καὶ ἐπὶ τῷ κιθαρίζειν τὰς κατὰ τὴν κιθαριστικὴν, ὡς ἔχουσαι πρὸς αὐτὰς οἰκειότητα καὶ διαφέρουσαι ἀλλήλων κατὰ ταὐτὰ ταῖς ἐνεργείαις, ἐφ' αἷς γίνονται. εἰ γὰρ ἦσαν αἱ ἡδοναὶ αἱ αὐταὶ, οὐκ ἂν ἥδε μὲν τάσδε, ἥδε δὲ τάσδε τὰς ἐνεργείας συνηῦξεν· οἷς μὲν γὰρ ἀθροίζειν χρήματα πρόκειται, δι' ὧν ἐνεργειῶν ἡγοῦνται δύνασθαι τοῦτ' αὐτοῖς περιγίνεσθαι, ταύτας ἐνεργοῦσι, καὶ δι' ὧν πλεῖον, μᾶλλον, ὡς ὄντος τινὸς ἑνὸς καὶ τοῦ αὐτοῦ τῶν διαφόρων ἐνεργειῶν περιγινομένου. διὸ οἱ αὐτοὶ διὰ τῶν διαφόρων κτῶνται τὰ χρήματα, καὶ οὐδὲν μᾶλλον διὰ τῶνδε ἢ τῶνδε, ἅ ἐστι κτημάτων τε καὶ πλούτου περιποιητικά· ἐπὶ δὲ τῶν ἡδονῶν οὐχ οὕτως· οὐ γὰρ ὡς ἀπὸ πάντων τῶν ποιητικῶν ἡδονῆς τῆς αὐτῆς περιγινομένης ἡδονῆς, δι' ὧν μάλιστα γίνεται ταῦτα, ζητοῦσιν, ἀλλ' ὡς ἄλλων οὐσῶν τῶν ἐπὶ διαφόροις γινομένων ἐνεργείαις τὰς ἐπὶ ταῖσδε γινομένας

5. Ἀριστοτέλης] Ethic. Nicom. X, 5 p. 1175, 30. 11. ἐνεργείαις] ἡδοναῖς V.

αἱροῦνται, καὶ λυποῦνταί γε καὶ ἄχθονται ταῖς ἀπαγούσαις αὐτοὺς ἀπὸ τῶνδε τῶν ἐνεργειῶν ἐνεργείαις τε καὶ ἡδοναῖς, ὡς ἐμποδὼν γινομέναις ταῖς προκειμέναις αὐτοῖς ἡδοναῖς διὰ τοῦ τὰς ἐνεργείας ἐμποδίζειν, ἐφ' αἷς γίνονται. φθαρτικαὶ γὰρ ἀλλήλων, ὥσπερ αἱ ἐνέργειαι, ἐφ' αἷς αἱ ἡδοναὶ, οὕτω δὲ καὶ αἱ ἐπ' αὐταῖς ἡδοναί. καί τοι εἰ ἦσαν ὁμοειδεῖς αἱ ἡδοναὶ πᾶσαι, καὶ τὰς ἐνεργείας ᾑρούμεθα τῶν ἡδονῶν χάριν, ἦσαν ἂν αἱρετώταται ἐνέργειαι αἱ μάλιστα ποιοῦσαι τὴν ἡδονήν. εἰ δ' οὐκ ἀπὸ τῆς γινομένης ἡδονῆς ἡ τῶν ἐνεργειῶν τῶν ποιητικῶν αὐτῶν κρίσις, ἔμπαλιν δὲ ἀπὸ τῶν ἐνεργειῶν τὰς ἡδονὰς κρίνομεν, οὔτ' ἂν διὰ τὰς ἡδονὰς αἱ ἐνέργειαι τὸ αἱρετὸν ἔχοιεν, οὔτε ὁμοειδεῖς ἂν εἶεν ἀλλήλαις. ἔτι δὲ, εἰ ὃ ποιοῦμεν ἐφ' αἷς λυπούμεθα ἐνεργείαις (παυόμεθα γὰρ τοῦ ἐνεργεῖν αὐτὰς), τοῦτο ποιοῦμεν εἰς αὐτὰς, ὅταν ἡδώμεθά τισιν ἄλλαις ἐνεργείαις, δῆλον ὡς οἰκεῖαι ταῖς ἐνεργείαις αἱ γινόμεναι ἐπ' αὐταῖς ἡδοναί. ἔτι εἰ τοῖς μὲν σώφροσιν αἰσχραὶ ἐνέργειαι λύπην φέρουσιν, ἡδονὴν δὲ αἱ σωφρονικαί τε καὶ καλαὶ, τοῖς δὲ ἀκολάστοις ἔμπαλιν, οὐκ ἂν εἶεν αἱ ἀπὸ τῶν αἰσχρῶν ὁμοειδεῖς ταῖς ἀπὸ τῶν καλῶν. οὐχ ὅμοιον τὸ ἐπὶ τῶν χρημάτων· οὐ γὰρ τοῖς φρονίμοις τε καὶ σώφροσιν ἡ πορνοβοσκία πενίας αἰτία, τοῖς δὲ μο-

1. γε] scrib. τε. 9. ἂν] om. vulg. 12. αὐτῶν] fort. αὐτῆς.

χθηροῖς περιουσίας, ἀλλὰ καὶ τοῖς σώφροσι τῆς αὐτῆς εὐπορίας ἂν αἰτία γίνοιτο, εἰ φέροιεν αὐτὰς ἐνεργεῖν. ἐπὶ γὰρ τῶν ἡδονῶν οὐ μόνον αἱ αἰσχραὶ ἐνέργειαι φευκταὶ, ἀλλὰ καὶ πρὸς τῷ μηδεμίαν αὐτοῖς ἡδονὴν φέρειν καὶ λύπης αὐτοῖς εἰσιν αἴτιαι.

Πῶς σωθήσεται τὸ εἶναί τι μεταξὺ ἡδονῆς καὶ λύπης. ιδ'.

Πῶς, εἰ ἡδονὴ ἐνέργειά ἐστι τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος, ὡς εἴρηκεν ἐν τῷ ζ' τῶν Νικομαχείων, αἱ δὲ ἐμποδιζόμεναι λυπηραὶ, δυνήσεται χωρίζεσθαι τῆς ἡδονῆς ἡ ἀλυπία; ἐν ποίαις γὰρ ἐνεργείαις ἔσται; οὔτε γὰρ ἐν ταῖς ἀνεμποδίστοις, οὔτε ἐν ταῖς ἃς ἐνεργοῦμεν ἐμποδιζόμενοι. ἡ δὲ αὐτὴ ἀπορία ἕπεται καὶ τοῖς εἰρημένοις περὶ ἡδονῆς αὐτῷ ἐν τῷ τελευταίῳ, δι' ὧν λέγει αἰσθήσεως δὲ καὶ πάσης πρὸς τὸ αἰσθητὸν ἐνεργούσης, τελείως δὲ τῆς εὖ διακειμένης πρὸς τὸ κάλλιστον τῶν ὑπὸ τὴν αἴσθησιν· τοιοῦτον γὰρ μάλιστα εἶναι δοκεῖ ἡ τελεία ἐνέργεια (αὐτὴν δὲ

2. αἰτία γίνοιτο] αἴτιοι γίνοιντο vulg. 10. ζ] Peripateticorum more *H* inscripto. Nicom. Ethic. VII, 13, p. 1153, 14. 11. νικομαχίων vulg. δυνήσονται T. 12. χωρίζεσθαι] χωρήσεσθαι V, χωρήσεται T. 17. λέγει] Nicom. X, 4. καὶ] om. ut videtur V. 20. αἴσθησιν] κειμένων addit fortasse V. τοιούτων T.

λέγειν ἐνεργεῖν ἢ ἐν ᾧ ἐστι μηδὲν διαφερέτω), καθ' ἑκάστην δὲ βελτίστη ἐστὶν ἡ ἐνέργεια τοῦ ἄριστα διακειμένου πρὸς τὸ κράτιστον τῶν ὑφ' αὐτὴν, αὕτη δ' ἂν τελειοτάτη εἴη καὶ ἡδίστη· κατὰ πᾶσαν γὰρ αἴσθησίν ἐστιν ἡδονὴ, ὁμοίως δὲ καὶ διάνοιαν καὶ θεωρίαν, ἡδίστη δ' ἡ τελειοτάτη, τελειοτάτη δ' ἡ τοῦ εὖ ἔχοντος πρὸς τὸ σπουδαιότατον τῶν ὑφ' αὑτήν. καὶ γὰρ ἐκ τούτων καὶ τῶν τούτοις ἐφεξῆς λεγομένων ἡ αὐτὴ ἀπορία συνίσταταί τε καὶ μένει. ἀλλὰ μὴν δοκεῖ αὐτοῖς μέση τις εἶναι κατάστασις ἡδονῆς τε καὶ λύπης. ἢ πρῶτον μὲν, εἰ ἐν ταῖς ἐνεργείαις αἱ ἡδοναί τε καὶ λῦπαι ταῖς τῶν αἰσθήσεών τε καὶ ταῖς τῆς διανοίας τε καὶ θεωρίας, δῆλον ὡς ἐν ταῖς ἀνενεργησίαις ταῖς κατὰ ταῦτα ἐν οὐδετέρῳ τούτων ἐσόμεθα; ἔστιν δὲ ὅτε οὔτε κατὰ τὰς αἰσθήσεις οὔτε κατὰ θεωρίαν ἐνεργοῦμεν, ὡς ἔν τε τοῖς ὕπνοις καὶ ἐν ταῖς χωρὶς ὕπνων ἀναπαύσεσιν. ἔπειτα εἰ ἐν ταῖς βελτίσταις ἐνεργείαις τὸ ἥδιστον, βέλτισται δὲ ἐνέργειαι τῶν ἄριστα διακειμένων ἕξεων, ὅταν γίνωνται περὶ τὰ κράτιστα τῶν ὑπ' αὐτὰς, δῆλον ὡς εἰ μὴ οὕτως ἄμφω ἔχοι, οὐκ ἔτ' ἂν ἥδισται γίνοιντο αἱ ἐνέργειαι. ὀλίγης μὲν οὖν παραβάσεως καὶ ἀνέσεως τοῦ ἐν ἑκατέρῳ κρατίστου γινομένης

2. ἑκάστην] sic cod. M in Aristot.; reliqui ἕκαστον. 4. δ'] γὰρ Bagolinus. 8. εὖ ἔχοντος] περιέχοντος T. 13. ἢ . . μὲν εἰ] Bagolinus et Victorius, ἡ . . μένει vulg.

ἔτι ἂν μένοιεν ἡδεῖαι, εἰ καὶ μὴ ἥδισται· εἰ δ' ἔτι μᾶλλον ἀνεθεῖεν, δῆλον ὡς τὸ χωρὶς ἡδονῆς τε καὶ λύπης ἐνεργεῖσθαι, οἷαι αἱ τοῦ χρησίμου χάριν γινόμεναι ὄψεις τε καὶ ἀκοαὶ καὶ ὀσφρήσεις καὶ ἁφαὶ οἷον τοῦ φυλάξασθαί τι ἢ τοῦ γνωρίσαι δῆλαί εἰσιν οὔτε τὸ λυπηρὸν ἔχουσαι οὔτε τὸ ἡδὺ, ὡς αὐτὸς εἶπεν δηλῶν, ποῖαί εἰσιν ἐνέργειαι μέσαι, δι' ὧν προσέθηκεν, λέγων πῶς οὖν οὐδεὶς συνεχῶς ἥδεται ἢ κάμνει; πάντα γὰρ τὰ ἀνθρώπεια ἀδυνατεῖ συνεχῶς ἐνεργεῖν. οὐ γίνεται οὖν οὐδὲ ἡδονή· ἕπεται γὰρ τῇ ἐνεργείᾳ. ἔνια δὲ τέρπει καινὰ ὄντα, ὕστερον δὲ οὐχ ὁμοίως διὰ ταὐτό· τὸ μὲν γὰρ πρῶτον παρακέκληται ἡ διάνοια, καὶ διατεταμένως περὶ αὐτὰ ἐνεργεῖ, ὥσπερ κατὰ τὴν ὄψιν οἱ ἐμβλέποντες, μετέπειτα δ' οὐ γίνεται τοιαύτη ἡ ἐνέργεια, ἀλλὰ παρημελημένη, διὸ καὶ ἡ ἡδονὴ ἀμαυροῦται. ἐν γὰρ ταῖς ἀνέσεσί τε καὶ ἠμελημέναις ἐνεργείαις καὶ ἀμαυρώσεσιν τῆς ἡδονῆς τὸ χωρὶς ἡδονῆς ἄλυπόν ἐστι εὑρεῖν. ὅτι δέ τινων αἰσθανόμεθα οὔτε ἡδόμενοι οὔτε λυπούμενοι, λέγει καὶ ἐν τῷ β' περὶ ψυχῆς. περὶ γὰρ ὀσφρήσεως καὶ τῶν ὀσφρητῶν ἐν αὐτῷ λέγων εἶπεν, φαύ-

7. ὡς] ὅς· *T*. 8. λέγων[Eth. Nicom. X, 10, pag. 1175, 3. 14. παρακέκλιται vulg. conf. Victorius ad Eth. Nicom. pag. 573. 19. ἀνέσεσί τε καὶ ἠμελημέναις] τοιαύταις *T*, utrumque Bagolinus. 20. τὸ] τοῦ V. 23. περὶ ψυχῆς] II, 9.

λως γὰρ ἄνθρωπος ὀσμᾶται καὶ οὐδενὸς αἰσθάνεται τῶν ὀσφραντῶν ἄνευ τοῦ λυπηροῦ ἢ τοῦ ἡδέος, εἰ γὰρ φαύλως, διότι μόνων τῶν ἡδέων τε καὶ λυπηρῶν αἰσθάνεται, δῆλον ὡς ταῖς ἄλλαις αἰσθήσεσιν, αἷς οὐ φαύλως αἰσθανόμεθα, αἰσθανοίμεθ' ἂν καὶ οὔτε ἡδέων οὔτε λυπηρῶν. ἀλλ' εἰ καὶ τῶν στερήσεων τῶν αἰσθητῶν ἑκάστῃ αἰσθήσει τῶν οἰκείων αἰσθανόμεθα, δῆλον ὡς ἡ τούτων αἴσθησις οὔτε μεθ' ἡδονῆς οὔτε μετὰ λύπης γίνοιτο.

Ὅτι ἡ ἀφροσύνη τούτων ἔσται ἄγνοια, ὧν ἡ φρόνησις ἐπιστήμη. ιε'.

Εἰ ἡ φρόνησις ἐπιστήμη ἐστὶ ποιητέων τε καὶ οὐ ποιητέων, εἴη ἂν καὶ ἀφροσύνη ἄγνοια τῶν αὐτῶν, καὶ ἄφρονες οἱ τούτων τι ἀγνοοῦντες καὶ περὶ ταῦτα διεψευσμένοι. εἰ δὲ τοῦτο, οὐ πάντες οἱ ψευδόμενοί τι τῷ ἠπατῆσθαι ἄφρονες ἂν εἶεν· οὐ γὰρ πᾶσα γνῶσις ἢ ἀπάτη περὶ τῶν ποιητέων ἢ οὐ ποιητέων ἐστίν. οὔτε γὰρ ἡ περὶ τοῦ τὸν κόσμον εἶναι τοιοῦδέ τινος σχήματος γνῶσις ἢ ἀπάτη περὶ ποιητέων ἐστίν, οὔτε περὶ τοῦ γενητὸν ἢ ἀγένητον αὐτὸν εἶναι, ἢ πεπερασμένον ἢ ἄπειρον, ἢ ἕνα ἢ ἀπείρους, οὔτε τὸν τῶν ἄστρων ἀριθμὸν ἢ περιττὸν εἶναι ἢ ἄρτιον, οὔτε τὸ εἶναι τοῦ κόσμου τὸ μὲν ἄνω τὸ δὲ κάτω, οὐθ' ὅλως

21. περὶ] πρὸ T. 23. τὸν] fort. τοῦ τόν. 24. τὸ] fort. τοῦ.

τι τῶν εἰς γνῶσίν τε καὶ θεωρίαν συντελούντων μόνην. ἀλλ' εἴ ἐστιν ἡ περὶ ταῦτα ἐπιστήμη ἄλλης ἀρετῆς ἀλλ' οὐ φρονήσεως, ὁμοίως δὲ καὶ ἡ ἀπάτη περὶ αὐτὰ οὐκ ἀφροσύνης, ἀλλὰ κακία τις ἄλλη.

Πῶς εἰ ἡ λύπη κακὸν πᾶσα, οὐχὶ καὶ ἡ ἡδονὴ πᾶσα ἀγαθόν. ιϛ'.

Εἰ ἡ λύπη κακὸν πᾶσα, ἐναντίον δὲ τῇ λύπῃ ἡ ἡδονὴ, πῶς οὐχὶ καὶ αὐτὴ πᾶσα ἀγαθὸν ἢ πᾶσα κακὸν, εἴ γε τῷ κακῷ τὸ ἐναντίον ἀνάγκη ἢ ἀγαθὸν ἢ κακὸν εἶναι; ἢ εἰ μὲν μονοειδὴς ἦν πᾶσα ἡδονὴ, πᾶσα ἦν ἂν ἢ ἀγαθὸν ἢ κακόν; εἰ δὲ μὴ οὕτως ἔχει, ἀλλὰ συνδιαιρεῖται ταῖς ἐνεργείαις ἐφ' αἷς γίνεται (αἱ μὲν γὰρ ἐπὶ ταῖς ἀγαθαῖς ἐνεργείαις γινόμεναι ἀγαθαὶ, αἱ δὲ ἐπὶ ταῖς μοχθηραῖς κακαὶ, ὥσπερ καὶ αἱ ἐπιθυμίαι· καὶ γὰρ τῶν ἐπιθυμιῶν αἱ μὲν τῶν ἀγαθῶν ἀγαθαὶ, κακαὶ δὲ τῶν φαύλων), οὐδὲν κωλύσει τῇ λύπῃ οὔσῃ κακῷ ἐναντίας εἶναι τῶν ἡδονῶν τὰς μὲν ὡς ἀγαθὰς τὰς δὲ ὡς κακὰς, τὰς μὲν κατὰ λόγον τε καὶ ἐπὶ τοῖς ἀγαθοῖς γινομένας ὡς ἀγαθὰς, τὰς δὲ παρὰ τὸν ὀρθὸν γινομένας λόγον καὶ ἐπὶ τοῖς φαύλοις ὡς κακάς. ἦν γὰρ τῷ κακῷ τὸ ἐναντίον ἢ ἀγαθὸν ἢ κα-

3. δὲ] fort. del. 4. κακία τις ἄλλη] scrib. κακίας τινὸς ἄλλης. 6 et 8. κακὸν πᾶσα] malim πᾶσα κακόν. 18. δὲ] fort. δ' αἱ.

κόν, ὁ δὲ πόνος οὐ πᾶς κακόν· ὁ γὰρ τῶν καλῶν χάριν γινόμενος αἱρετός. ἢ χρὴ ὁμοίως καὶ τὴν ἡδονὴν ἀγαθὸν λέγειν καὶ τὴν λύπην κακόν; καὶ γὰρ ἡδονὴν εἴποι ἄν τις πᾶσαν ἀγαθὸν, ἀλλὰ τὴν μὲν καὶ ἁπλῶς καὶ τῇ οἰκείᾳ φύσει ἥ τίς ἐστιν ἡ τῶν σπουδαίων (τὰ γὰρ τοῖς σπουδαίοις ἀγαθὰ καὶ κακὰ τῇ αὑτῶν φύσει τοιαῦτα), τὴν δὲ τῷδε ἀγαθὸν τῷ οὕτως ἔχοντι, ἀλλ' οὐχ ἁπλῶς ἀγαθόν· τοιαῦται αἱ τῶν μοχθηρῶν ἡδοναί. ἐκείνοις γὰρ ἀγαθαὶ καὶ αἱρεταὶ οὐχ ἁπλῶς. καὶ λῦπαι δὴ αἱ μὲν ἐπὶ τοῖς ὄντως κακοῖς γινόμεναι ἁπλῶς ἂν εἶεν κακαὶ, αἱ δ' ἐπὶ τοῖς μὴ τοιούτοις ἐκείνοις κακαὶ, οὐ μὴν καὶ ἁπλῶς· ἔσται δέ ποτε καὶ ὁ ἀγαθὸς ἐν τούτῳ τῷ κακῷ, ὡς καὶ ἐν πενίᾳ καὶ νόσῳ· τὰ γὰρ ἐφ' οἷς ὁ σπουδαῖος λυπήσεται κακά.

Ὑπὸ τί τῶν ἀγαθῶν ἡ ἡδονὴ ἂν εἴη. ιζ'.

Ἐπεὶ τῶν ἀγαθῶν τὰ μὲν τίμια, τὰ δ' ἐπαινετὰ, τὰ δὲ δυνάμεις, τὰ δὲ ὠφέλιμα, ἐζητήθη ὑπὸ τί τούτων χρὴ εἶναι τὴν ἡδονὴν, ἢ εἰ μὲν πᾶσαι ἀγαθὸν καὶ πᾶσαι ὁμοειδεῖς αἱ ἡδοναὶ, περὶ πάσης τε χρὴ ζητεῖν καὶ ὑπὸ τί εἶεν τῶν ἀγαθῶν πᾶσαι. εἰ δὲ οὐ πᾶσαι ἀγαθὸν, ἀλλ' ἑπόμεναι ταῖς αἱρεταῖς ἐνεργείαις (οὐ γάρ ἐστιν ἡ ἡδονὴ αὐτὴ καθ' αὑτὴν, ἀλλ' ἐπί τινι ἐνεργείᾳ γίνεται, καὶ γίνεται κατ' οἰκειότητα τὴν

16. λυπήσεσθαι T. 20. Ἐπὶ T. 22. ἢ om. T.

πρὸς τὴν ἐνέργειαν. οὐ γάρ ἐστιν ἡ ἀπ' ἄλλης ἐνεργείας ἡδονὴ ἡ αὐτὴ τῇ ἀπ' ἄλλης· φθείρουσι γοῦν πολλάκις αἱ ἀπ' ἄλλων ἐνεργειῶν ἡδοναὶ τὰς ἀπ' ἄλλων. ὁ γὰρ χαίρων τῇ ἀπὸ τοῦ αὐλεῖν ἡδονῇ σφόδρα, κἂν τύχῃ τινὰ ἐνέργειαν ἡδέως ἐνεργῶν, ἀκούσας αὐλῶν καταλιπὼν τήν τε ἐνέργειαν τὴν ἐν ποσὶν καὶ τὴν ἡδονὴν τὴν ἐπ' αὐτῇ τῷ αὐλοῦντι προσέχει, ὡς τῇ ἀπὸ τοῦ αὐλεῖν ἡδονῇ χαίρων ἄλλῃ οὔσῃ τῆς ἐπὶ τῶν προτοῦ ἐνεργουμένων), εἰ δὲ ἄλλαι ἐπ' ἄλλαις καὶ διαφερούσαις ἐνεργείαις γινόμεναι, καί εἰσιν οἰκεῖαι ταῖς ἐνεργείαις, ἐφ' αἷς γίνονται, δῆλον ὡς συνδιαιροῖντο ἂν αὐταῖς, ὡς τῶν μὲν αἱρετῶν αἱρεταὶ εἶναι, φευκταὶ δὲ τῶν φευκτῶν. συνδιαιρούμεναι δὲ ἐκείναις δῆλον ὡς καὶ ὑπὸ τὸ εἶδος τῶν ἀγαθῶν εἶεν ἂν ἐκεῖνο, ὑφ' ὃ καὶ αἱ ἐνέργειαι αἷς εἰσιν οἰκεῖαι. εἰ μὲν γὰρ εἶεν αἱ ἐνέργειαι τῶν ἐπαινετῶν, ὧν εἰσιν αἱ κατ' ἀρετήν, ἔσονται καὶ αὐταὶ τοιαῦται, εἰ δὲ τῶν ὡς δυνάμεων εἶεν ἀγαθῶν, ὁποῖαί εἰσιν αἱ περὶ τροφήν τε καὶ ἀφροδίσια, καὶ αὐταὶ ἐν ταύτῃ τῇ χώρᾳ τῶν ἀγαθῶν ἔσονται.

Διὰ τί φορτικωτάτους εἶπεν τοὺς ἐν ἡδονῇ τὸ τέλος τιθεμένους ἐν τῷ ά τῶν Ἠθικῶν Νικομαχείων. ιή.

Ἢ διότι τὴν εὐδαιμονίαν ἐν ταῖς σωματικαῖς

14. φευκτὰς vulg. 15. δὲ om. *T.* 25. νικομαχίων vulg. Nicom. I. 3. 26. Ἢ] titulum, Διὰ . . Νικομαχείων repetit Bagolinus. διότι] Victorius, διά τι vulg.

ἀπολαύσεσι τίθενται, ἐν αἷς καὶ τὰ ἀνδράποδα καὶ τὰ βοσκήματα, εἰσὶ φορτικοί, διότι καθ' οὓς ἡ μόνη ἡδονὴ αἱρετὴ καὶ ὁ πόνος δι' αὑτὸν φευκτὸς, οὔτε τὸ καλὸν δι' αὑτὸ αἱρετὸν οὔτε τὸ αἰσχρὸν δι' αὑτὸ φευκτόν; ἔτι εἰ μόνη ἡ ἡδονὴ αἱρετὴ καὶ πάντα τὰ ἡδονῆς ποιητικὰ, ὥστε καὶ ἐκεῖνα ἔσται ἀγαθὰ, καὶ εἰ τὰ πόνου ποιητικὰ φευκτὰ, ἐστὶ δέ ποτε καλὰ πόνου ποιητικὰ, ἔσται καλά τινα φευκτὰ, ὁποῖαί εἰσιν καὶ αἱ κατ' ἀνδρείαν ἐνέργειαι. ἔτι καθ' οὓς μηδὲν τῇ αὑτοῦ φύσει καλόν ἐστιν μηδὲ αἰσχρὸν, φαίνεται δέ τινα τοιαῦτα διὰ τὰς προλήψεις τὰς τῶν ἀνθρώπων, δι' ἃς οὐκ ὂν τῇ αὑτοῦ φύσει τὸ αἰσχρὸν αἰσχρὸν ὡς κακὸν φυλασσόμεθα, εἴημεν ἂν ζημιούμενοι εἰς τὰς ἡδονὰς τὰ μέγιστα τῷ φυλασσόμενοι τὸ αἰσχρὸν ἀπέχεσθαι αὐτῶν, ὃ οὐδὲ ἓν τῶν ἀλόγων ποιεῖ, ὥστε εἴη ἡμῖν πρὸς κακοῦ τὸ λογικοῖς εἶναι. τὸ δὲ λέγειν, ὅτι μηδ' αὐτοὶ τὰς αἰσχρὰς ἡδονὰς ἀξιοῦμεν αἱρεῖσθαι, εἰ μὲν οὕτω καὶ διὰ τοῦτο λέγοιεν, διότι τὸ αἰσχρὸν δι' αὑτὸ φευκτόν ἐστι, καλῶς μὲν ἂν λέγοιεν, οὐκ ἔτι μέντοι φυλάσσοιεν τὸ μόνον τὸν πόνον εἶναι φευκτὸν δι' αὑτόν· εἰ δὲ μὴ διὰ τὸ αἰσχρὸν αὑτὸ, ἀλλ' ὅτι ἐπὶ τοῖς τοιούτοις αἱ ζημίαι τινὲς ὑπὸ τῶν νομοθετῶν ὁρίζονται, εἰ μὲν καλῶς, εἶεν ἂν τῇ αὑτῶν πάλιν φύσει τὰ αἰσχρὰ κακά· εἰ δὲ μὴ κα-

4. αὐτὸν vulg. 26. fort. εἴη.

λῶς, τοῦτ᾽ ἔστι τὸ λέγειν ζημίαν εἶναι τοῖς ἀνθρώποις τὸ λογικοῖς εἶναι, εἴ γε διὰ τὸν λόγον τὰ μὴ κακὰ κακὰ ὑπολαμβάνοντες ἀποστεροῦνται δι᾽ αὐτὰς τῶν ὡς ἀληθῶς ἀγαθῶν. τὸ δὲ λέγειν πᾶν ὃ αἱρούμεθα ὡς ἡδὺ ἡμᾶς αἱρεῖσθαι, καὶ τούτῳ χρῆσθαι εἰς πίστιν τοῦ τὴν ἡδονὴν εἶναι τὸ μέγιστον ἀγαθὸν, οὐκ ἀληθὲς, εἴ γε αἱρούμεθα ἕκαστον ὧν αἱρούμεθα ἢ ὡς καλὸν ἢ ὡς συμφέρον ἢ ὡς ἡδύ. τὸ δὲ λέγειν καὶ τὸ συμφέρον ἡδὺ εἶναι ψεῦδος· πολλάκις γὰρ φανερῶς αὐτὸ ὂν ἀηδὲς αἱρούμεθα, καὶ εἰ συμβέβηκεν δὲ καὶ τῷ καλῷ, ᾗ καλόν ἐστι, καὶ ἡδεῖ εἶναι, ἀλλ᾽ οὐ διότι ἡδὺ αὐτὸ αἱρεῖται. τὸ γοῦν αἰσχρὸν πολλάκις ὂν ἡδὺ ἀποστρεφόμεθα καὶ φεύγομεν εἰ δὲ τοῦτο διὰ τὸ αἰσχρὸν φεύγομεν, καὶ αἱροίμεθα ἂν διὰ τὸ καλὸν τὸ ἡδύ. ἀλλὰ καὶ τὸ λέγειν μηδὲν εἶναι τῇ αὑτοῦ φύσει καλὸν μηδὲ αἰσχρὸν, ἀλλὰ πρὸς ἰδίας προλήψεις λέγεσθαι ταῦτα, καὶ ἀπαιτεῖν διὰ λόγου τινὸς δειχθῆναι τὸ καλὸν αὐτοῖς, ὅμοιον τῷ ἀπαιτεῖν λόγον τοῦ εἶναί τι λευκόν· οὐδὲν γὰρ τῶν ἐναργῶν τῇ αὑτοῦ φύσει δεῖται τῆς ἐκ τῶν λόγων πίστεως, ἐναργὲς δὲ πᾶσιν τοῖς μὴ πεπηρωμένοις τὸ ὄμμα τοῦτο τῆς ψυχῆς, ᾧ ταῦτα γνωρίζεται, τὸ εἶναί τι καλὸν καὶ αἰσχρόν. ὅτι δὲ ἐκ φύσεως ἡμῖν τὸ γνωρίζειν τά τε αἰσχρὰ καὶ τὰ καλὰ, δῆλον τῷ ἐπὶ τοῖς αἰσχροῖς οὐ γινο-

14. ἡδὺ] ἡδὺ ὂ T. 24. ᾧ] Victorius, ὡς vulg. 25. δὲ] Victorius addita littera P. Bagolinus, om. vulg. 27. τῷ] Victorius, τὸ vulg.

μένοις μόνον, ἀλλὰ καὶ λεγομένοις ἐρυθραίνεσθαι ὥς τι πάσχοντας, καὶ τοῦτό ἐστιν ἰδεῖν καὶ ἐν τοῖς μικροῖς γινόμενον ἔτι παιδίοις· καὶ γὰρ ταῦτα ἐρυθριᾷ πολλάκις ὡς ἐπὶ αἰσχροῖς τισίν.

Ὅτι μὴ ὁμοειδεῖς αἱ ἡδοναί. ιθ'.

Τὰ ὁμοειδῆ ἀλλήλοις οὐκ ἔστιν ἀλλήλων φθαρτικά· οὔτε γὰρ λευκὸν ὑπὸ λευκοῦ καθὸ λευκὸν φθείρεται, οὔτε μέλαν ὑπὸ μέλανος, οὔτε θερμὸν ὑπὸ θερμοῦ, ἡδονὴ δὲ ὑπὸ ἡδονῆς ἐστι φθαρτική. αἱ γοῦν ἀπὸ τῶν σφόδρα σπουδαζομένων ἡδοναὶ φθείρουσιν τὰς ἀπὸ τῶν σπουδαζομένων ἔλαττον· ἐν γοῦν τοῖς θεάτροις ἡ ἀπὸ τοῦ ἀκούειν τινὸς κωμῳδοῦντος καλῶς φθείρει τὴν ἀπὸ τοῦ τραγηματίζειν. εἰ δὲ δή, ὅπερ ἐναντία λύπη ποιεῖ τῇ ἡδονῇ, τοῦτο ποιεῖ ἡ ἀπό τινος ἄλλου ἡδονή, οὐκ ἂν εἴη ὁμοειδὴς αὐτῇ, ὡς τῷ ἀριθμῷ διαφέρειν μόνον. ἔτι αἱ ἡδοναὶ οἰκεῖαι ταῖς ἐνεργείαις, ἐφ' αἷς γίνονται, τέλη οὖσαι αὐτῶν τῶν κατ' εἶδος διαφερουσῶν ἀλλήλων ἐνεργειῶν. εἶεν οὖν ἂν καὶ αἱ ἡδοναὶ ἕτεραι τῷ εἴδει ἀλλήλων. ἔτι εἰ τὴν τοῦ ἀκολάστου ἡδονὴν μὴ οἷόν τε ἡσθῆναι τὸν σώφρονα, μηδὲ τὴν τοῦ σώφρονος τὸν ἀκόλαστον, οὐκ ἂν εἶεν ὁμοειδεῖς ἀλλήλαις αἱ ἡδοναὶ πᾶσαι. ἀλλὰ μὴν τὸ πρῶτον, τὸ ἄρα δεύτερον.

21. οὖν] om. T.

Ὅτι μὴ χρὴ πανταχοῦ τὸ χρήσιμον ζητεῖν. κ΄.

Ὁ ἐν πάσῃ πράξει καὶ παντὶ μαθήματι τὸ χρήσιμον ἀπαιτῶν καὶ μηδὲν ἀξιῶν μανθάνειν ἢ ποιεῖν, ὃ μή ἐστι χρήσιμον, οὗτος ἀναιρεῖ τὸ εἶναί τι δι' αὑτὸ ἀγαθόν τε καὶ αἱρετόν, εἴ γε τὸ μὲν χρήσιμον ἄλλου τινὸς χάριν γίνεται, πρὸς ὃ χρήσιμόν ἐστι, τὸ δὲ ἄλλου τινὸς γινόμενον χάριν παρ' ἐκείνου τὸ αἱρετὸν ἔχον ἔχοι ἂν παρ' ἐκείνου καὶ τὸ ἀγαθὸν εἶναι, πᾶν δὲ χρήσιμόν ἐστι τὸ ἀγαθοῦ τινος ποιητικὸν καὶ γινόμενον, διότι ἐκείνου ἐστὶ ποιητικόν. ἀλλ' εἰ τὸ δι' αὑτὸ ἀγαθόν τε καὶ αἱρετὸν μᾶλλον ἀγαθὸν τοῦ παρ' ἄλλου τὸ ἀγαθὸν ἔχοντος, ὁ τὸ χρήσιμον ἐν πᾶσι ἀπαιτῶν ἀναιρεῖ τὸ εἶναί τι ἀγαθὸν κυρίως τε καὶ καθ' αὑτό. ἔτι ὁ τὸ χρήσιμον μόνον ἀγαθὸν εἶναι λέγων καὶ αἱρετὸν ἀναιρεῖ τὸ εἶναί τι χρήσιμον. εἰ γὰρ τὸ χρήσιμον ὡς ἀγαθοῦ ποιητικόν ἐστιν αἱρετὸν καὶ τὸ εἶναι ἀγαθὸν ἔχει παρὰ τοῦ γινομένου πρὸς αὑτοῦ, μηδὲν δέ ἐστι τοιοῦτο καθ' οὓς μόνον τὸ χρήσιμον αἱρετόν ἐστιν, οὐκ ἔσται τὸ χρήσιμον ἀναιρουμένου τοῦ δι' ὃ γινόμενον ὑπ' αὐτοῦ τὸ χρήσιμον τὸ αἱρετὸν ἔχει. εἰ γὰρ εἴη τὸ χρήσιμον χρήσιμον, διότι χρησίμου τινός ἐστιν ἀγαθοῦ ποιητικόν, ἔσται πᾶν τὸ ὑπὸ τοῦ χρησίμου γινόμενον χρήσιμον, ὃ τῷ

21. οὓς] ὃ V. τὸ χρήσιμον om. T. 23. ὑπ'] ἐπ' vulg.

εἶναι χρήσιμον ἐπ' ἄλλο πάλιν ἕξει τὴν ἀναφοράν. οὕτως δὲ ἐπ' ἄπειρον προελεύσεται, ἀεὶ μὲν τοῦ χρησίμου, διότι ποιεῖ τι, ὄντος χρησίμου, παντὸς δὲ τοῦ ὑπὸ τοῦ χρησίμου γινομένου ὄντος καὶ αὐτοῦ χρησίμου, τούτου δ' οὕτως ἔχοντος οὐδ' ἂν τὸ χρήσιμον ἔτι μένοι χρήσιμον, οὐκ ὄντος ἐσχάτου τινὸς, ὃ τῷ δι' αὑτὸ αἱρετόν τε καὶ ἀγαθὸν εἶναι καὶ τοῖς εἰς αὐτὸ συντελοῦσιν καὶ οὖσι πρὸς αὐτὸ χρησίμοις τὸ εἶναι τοιούτοις παρεῖχεν. ὡς γὰρ μὴ ὄντος αἱρετοῦ τοῦ γινομένου οὐδὲ τὸ πρὸς τούτου χρήσιμον ἂν τὸ αἱρετὸν, οὕτως δὲ οὐδὲν τῶν πρὸς χρήσιμόν τι χρησίμων ἔχοι ἂν τὸ αἱρετὸν τῷ μηδὲν τῶν γινομένων ὑπ' αὐτῶν αἱρετὸν εἶναι δι' αὑτό. εἰ δὲ ἄτοπον τὸ ἀναιρεῖν τό γε εἶναί τι ἀγαθὸν (ἀναιρεῖται γὰρ κατὰ τοὺς λέγοντας μόνον δεῖν σπουδάζεσθαι τὸ χρήσιμον, ὡς δέδεικται), ἄτοπον δὲ καὶ τὸ λέγειν μηδὲν εἶναι χρήσιμον, ὃ καὶ αὐτὸ ἀναιροῦσιν οἱ τὸ χρήσιμον μόνον σπουδάζεσθαι λέγοντες, ἄτοπος ἂν ἥδε ἡ δόξα εἴη. πρὸς δὲ τούτοις εἰ τὰ μὲν χρήσιμα ἡμῖν συναίρεται πρὸς τὰς ἐνδείας τε καὶ ἐνοχλήσεις καὶ περιστάσεις τὰς κατὰ τὸν βίον, τέλος δὲ οὐ τὸ μὴ ἐνοχλεῖσθαι, ἀλλὰ τὸ μηδὲν ἐνοχλουμένους ἐνεργεῖν τινας ἐνεργείας, αἳ οἰκεῖαί τε τοῖς ἀνθρώποις καὶ ἐλευθέρων ἐνέργειαι· ἀνδραπόδων γὰρ τὸ πάντα ποιήσαντας πρὸς τὸ

11. ἂν τὸ fort. ἂν εἴη. 12. δὲ om. T. 14. δὲ] δὴ T. 15. τό γε] fort. τὸ vel τό τε. 20, εἰ] delendum, nisi apodosis excidit. 21. συναίρεται] συναναιρεῖται T. 23. μὴ] om. vulg.

μὴ ἐνοχλεῖσθαι ἐν παιδιᾷ τοῦ λοιποῦ εἶναι κατὰ μηδεμίαν ἐνέργειαν σπουδῆς ἀξίαν ἐνεργοῦντας. ὡς γὰρ ἄτοπον τὰς τῶν θεῶν ἐνεργείας ἢ πρὸς τὸ χρήσιμον αὐτοῖς γίνεσθαι λέγειν τοῖς μηδενὸς τοιούτου δεομένοις, ἀλλ' ἔξω πάσης ἐνδείας καὶ παντὸς πάθους οὖσιν, ἢ ἐν παιδιᾷ τὸ τέλος αὐτοῖς τίθεσθαι, οὕτως ἄτοπον καὶ τὸ τοῖς ἀνθρώποις λέγειν τέλος εἶναι τῶν σπουδαίων ἐνεργειῶν καὶ παντὸς τοῦ βίου παιδιάν. καὶ γὰρ εἰ πάντες τῶν ἄλλων ἁπάντων ζώων διαφέρομεν τῷ ἐπιστήμης τε εἶναι δεκτικοὶ καὶ αἴσθησιν ἀληθείας ἔχειν, δῆλον ὡς καὶ τὸ τέλος ἂν εἴη ἡμῖν ἐν ταῖς κατ' αὐτὰ ἐνεργείαις ταῖς γινομέναις καθ' ὅ ἐσμεν ἄνθρωποι, ἐσμὲν δὲ ἄνθρωποι μάλιστα, καθ' ἃ διαφέρομεν των ἄλλων ζώων ἁπάντων, ταῦτα δ' ἦν ἐπιστήμη τε καὶ ἀλήθεια, ἃ οὔτε ἐν παιδιᾷ κεῖται, οὔτε ἐν τοῖς διὰ τὸ χρήσιμον αἱρετοῖς.

Περὶ αἰδοῦς. κά.

Εἴρηκεν μὲν καὶ ἐν τῷ β' τῶν Νικομαχείων, ὅτι πάθος ἐστὶν, ἀλλ' οὐχ ἕξις οὐδὲ ἀρετὴ, λέγει δὲ καὶ ἐν τῷ δ', καὶ δείκνυσί γε ὅτι πάθος διά τε τοῦ ὁρισμοῦ τῆς αἰδοῦς καὶ διὰ τῶν τοῖς αἰδουμένοις συμβαινόντων. ἀλλ' ἐκεῖ μὲν ἐπαινετὸν

1. παιδιᾷ] Victorius, παιδείᾳ vulg. et sic ter in seqq. 11. τε] γε vulg. 16. ἃ οὔτε] οὔτε ἃ T, οὔτε V. 17. ἐν τοῖς om. T. 20. τῷ β] II, 7 pag. 1108, 30. 22. τῷ δ] IV, 15.

αὐτὸ πάθος εἶπεν, ἐνταῦθα δὲ τοῖς μὲν νέοις φησὶν εἶναι αἱρετὸν αὐτὸ, διότι τῆς ἡλικίας ἐχούσης εὐεμπτώτως πρὸς τὰ ἁμαρτήματα ἡ αἰδὼς πολλοῖς αὐτῶν ἐμποδὼν γίνεται, τοῖς δὲ κατὰ τὴν ἡλικίαν προβεβηκόσιν ἀλλότριον λοιπὸν αὐτό φησιν εἶναι τῷ εἶναι μὲν τὴν αἰδὼ φόβον ἀδοξίας, τὸν δὲ φόβον τῆς ἀδοξίας ἢ ἐπὶ γεγονόσιν αἰσχροῖς ἢ ἐπὶ μέλλουσι γίνεσθαι ἢ ἐπὶ δοκοῦσιν, ὧν οὐκ ἔτι οἱ προβεβηκότες κατὰ τὴν ἡλικίαν καὶ τὰς ἀρετὰς ἔχοντες πρακτικοί. ῥᾴδιον γὰρ αὐτοῖς φυλάττεσθαι καὶ ὅσα οὐκ ἔστι μὲν αἰσχρὰ, δοκεῖ δὲ γίνεσθαι καὶ αὐτὰ ἀδοξίας αἴτια. ἄξιον δὴ περὶ τούτου διαλαβεῖν καὶ μάλιστα, ἐπεὶ σύνισμεν αὐτοῖς ἤδη ταύτην τὴν ἡλικίαν γεγονόσιν αἰδομένοις πολλὰ καὶ πολλάκις. εἰ μὲν οὖν ἦν λεγόμενον τὸ δεῖν καταφρονεῖν τῆς ἀδοξίας, οὐκ ἂν ἡμῖν ἔδει λόγων. ἐπεὶ δ' οὐ τοῦτ' ἔστι τὸ λεγόμενον, ἀλλὰ κεῖται μὲν, ὅτι δεῖ φυλάττεσθαι τὴν ἀδοξίαν, εἴ γε ἡ δόξα καὶ τιμὴ μέγιστον τῶν ἐκτὸς ἀγαθῶν, λέγεται δὲ ὅτι μηκέτι ἐν ἀδοξίᾳ γίνονται οἱ μήτε ποιοῦντές τι αἰσχρὸν μήτε ποιήσαντες, λέγοιμεν ἄν τι πρὸς τὰ εἰρημένα, ἐφ' οἷς σύνισμεν αὐτοὶ αὑτοῖς αἰδουμένοις. οὐ γὰρ ἔοικεν ἡ ἀδοξία ἐπὶ τοῖς πραττομένοις μὴ καλῶς γίνεσθαι μόνοις, ἀλλὰ καὶ τοῖς ὑποπτευομένοις καὶ τοῖς διαβληθῆναι δυναμένοις, ἃ μάλιστα ἰσχύει παρὰ

6. τὴν] διὰ τὴν T. 14. τὴν om. vulg. 23. αὐτοὶ] Victorius, αὐτοῖς vulg.

τοῖς ἀγνοοῦσιν. εἰ δὲ γίνεταί τις καὶ ἐπὶ τοῖς τοιούτοις ἀδοξία, οὐκ ἀποκέκλεισται ὁ μηδὲν αἰσχρὸν ποιήσας τοῦ ἐν ἀδοξίᾳ δύνασθαι γενέσθαι, ἣν ἀδοξίαν εἰ δεῖ φοβεῖσθαι, ἢ οὐδὲν ἔλαττον ἐκ διαβολῶν ἢ ἐκ πράξεων γίνεται, ὁ δὲ τῆς ἀδοξίας φόβος αἰδὼς, οὐκ ἀλλότριον τοῦτο τὸ πάθος οὐδὲ τῶν ἐπιεικῶν εἴη ἂν καὶ κατὰ τὴν ἡλικίαν προβεβηκότων, οὐδὲ κατ' αὐτὸν τὸν Ἀριστέλη λέγοντα, εἴ γε δεῖ μὲν φυλάττεσθαι καὶ φοβεῖσθαι τὴν ἀδοξίαν, τοῦτο δέ ἐστιν αἰδώς. ἔτι τοῖς καλῶς τε καὶ σεμνῶς βιοῦσιν τῷ πάντα τὰ αἰσχρὰ παρ' αὐτοῖς διαβεβλῆσθαι μείζων ὁ τῆς ἐπ' αὐτοῖς ἀδοξίας φόβος, καὶ μειζόνως αὐτὸν φυλάττονται, διὸ καὶ συμβέβηκε τούτοις αἰδεῖσθαι μάλιστα, οἷς σφόδρα ἐστὶ τὰ αἰσχρὰ μισητά· ἡ γὰρ αἰδὼς οὐκ ἔοικεν ἁπλῶς εἶναι φόβος ἀδοξίας, ἀλλὰ πολὺ πρότερον ἀλλοτριότης πρὸς τὰ αἰσχρὰ, δι' ἣν οἱ οὕτως ἔχοντες φοβοῦνται τὴν ἐπ' αὐτοῖς ἀδοξίαν. εἰ δέ ἐστι τοιοῦτον ἡ αἰδὼς, οὐκ ἔτ' ἂν οὐδὲ πάθος ἁπλῶς εἴη, ἀλλ' ἕξις τις καὶ διάθεσις, ᾗ τὸ προειρημένον ἕπεται πάθος. τῶν γοῦν κατὰ τὴν ἡλικίαν προβεβηκότων τοὺς μὲν οὐ φυλασσομένους τὰ αἰσχρὰ οὐδ' ὅλως ἂν ἴδοι τις αἰδουμένους. διὰ γὰρ συνήθειαν τῶν πραττομένων αὐτοῖς καταπεφρονήκασιν τῆς ἐπ' αὐτοῖς ἀδοξίας, οἱ δὲ καθαρεύοντες ἀπὸ τῶν τοιούτων μᾶλλον αἰδοῦνται τότε, ὅσῳ

4. εἰ δεῖ] ἔδει T. 6. τοῦτο τὸ πάθος] τοῦτο πάθος T. τοῦ πάθους V, id si probum, fort. οὐδεὶς legendum.

πεπείκασι καὶ αὐτοὺς αἰσχρότερον εἶναι τοῖς ταύτην τὴν ἡλικίαν γεγονόσιν τὴν ἐπὶ τοῖς αἰσχροῖς ἀδοξίαν ἢ τοῖς νέοις.

Ὅτι ἀντακολουθοῦσιν αἱ ἀρεταί. κβ'.

Ὅτι ἀντακολουθοῦσιν αἱ ἠθικαὶ ἀρεταὶ, δεικτέον καὶ ἀπὸ τῆς προαιρέσεως. εἰ γὰρ ἡ ἀρετὴ μάλιστα τῇ προαιρέσει κρίνεται, ἡ δὲ ὀρθὴ προαίρεσις ἐκ φρονήσεως ἕπεται· τὸ γὰρ βουλεύεσθαι τῆς φρονήσεως καὶ ἠθικῆς ἀρετῆς, εἴ γε δεῖ μὲν τῷ καλῶς βουλευομένῳ τὸν σκοπὸν ὀρθὸν κεῖσθαι, εἰς ὃν περὶ τῶν συντελούντων εἰς αὐτὴν βουλεύεται, ὁρίζεται δὲ ὁ σκοπὸς ὑπὸ τῆς ἠθικῆς ἀρετῆς· οὗ γὰρ ἐφιέμεθα, περὶ τούτου βουλευόμεθα, ἡ δὲ τῶν προσηκόντων ἔφεσις ἀπὸ τῆς ἠθικῆς ἀρετῆς, ὥσπερ εἶπεν Ἀριστοτέλης, οὐκ ἔστιν ἡ προαίρεσις ὀρθὴ ἄνευ φρονήσεως οὐδ' ἄνευ ἀρετῆς· ἡ μὲν γὰρ τὸ τέλος, ἡ δὲ τὰ πρὸς τὸ τέλος ποιεῖ πράττειν. ἔτι εἰ ἀνάγκη μὲν ἡντινοῦν ἀρετὴν ἠθικὴν ἔχοντα φρόνησιν ἔχειν, εἴ γέ ἐστιν ἠθικὴ ἀρετὴ πρακτικὴ τῶν ὡρισμένων φρονήσει τε καὶ τῷ ὀρθῷ λόγῳ, ἀνάγκη δὲ καὶ τὸν φρόνησιν ἔχοντα ἔχειν ἠθικὴν ἀρετὴν, εἴ γε οἰκεῖον τῇ φρονήσει τὸ ζητεῖν πῶς οἷόν τε τυχεῖν τοῦ δέοντος σκοποῦ, ὃν τῆς ἠθικῆς ἀρετῆς ὁρίσαι· αὐτὴ γὰρ τῆς ὀρεκτικῆς δυνάμεως ἀρετή·

4. vid. Alexander περὶ ψυχῆς fol. 155. Victorius. 8. ἕπετο vulg.

ταύτῃ γὰρ φρόνησίς τε καὶ δεινότης διαφέρουσιν, ᾗ ἡ μὲν φρόνησις τῶν πρὸς τὸν ὀρθὸν σκοπὸν φερόντων ἐστὶν εὑρετική τε καὶ ζητητική, ἡ δὲ δεινότης τῶν πρὸς τὸν τυχόντα.

Πῶς εἰ ἡ ἡδονή ἐστι κατὰ Ἀριστοτέλη ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος, οὐκ ἔσται καὶ ἡ εὐδαιμονία κατ' αὐτὸν ἡδονή. κγ'.

Εἰ οὖν ἐστιν ἡ κατὰ φύσιν ἑκάστῳ ἐνέργεια ἀνεμπόδιστος ἡδονὴ, ταύτης δὲ πάντα ἐφίεται, διὰ τοῦτο ἤδη καὶ τέλος ἡ ἡδονὴ καὶ τὸ ζῆν οὕτως. παρ' οὗ γὰρ καὶ τὸ ἀνεμποδίστως, ἐκεῖνο αἴτιον τοῦ ζῆ[ν] οὕτως. εἰ μὲν οὖν ἡδονὴ τοῦ κατ' ἀρετὴν ἀνεμποδίστως ἐνεργεῖν αἰτία, ἐν ἐκείνῃ ἂν ἦν τὸ κυριώτατον ἀγαθόν· εἰ δὲ μὴ ἡδονὴ, ἄλλο δέ τι, ἐκεῖνο ἂν ἦν τοῦ τοιούτου βίου, ὥστ' εἰ τοῦ οὕτως ἐνεργεῖν τοῖς ἀνθρώποις αἰτία μάλιστα ἡ ἀρετή· συντελεῖν γάρ τι δόξει πρὸς τὸ ἀνεμποδίστως καὶ τὰ ἀπὸ τῆς τύχης, ἐκείνη ἂν τὴν αἰτίαν ἔχοι μάλιστα ἐν τοῖς ἀνθρώποις τοῦ τοιούτου βίου. διὸ εἰ τὸ εὐδαιμονεῖν τῷ ἀνθρώπῳ τεθείη ἐν ταῖς κατὰ φύσιν αὐτῷ, καθ' ἣν ἄνθρωπός ἐστι, κεῖσθαι ἐνεργείαις, εἰ ἀνεμποδίστως γίνοιντο, ἡ ἀρετὴ ἂν καὶ μάλιστα

5. εἰ ἡ] εἰ Victorius, ἡ vulg. 9. οὖν om. Bagolinus. 14. ἐν] fort. ἦν, ἐν.

γίνοιτο τῆς εὐδαιμονίας αἰτία, καὶ τοῦ τὰς οἰκείας ἐνεργεῖν ἐνεργείας τοῦ ἀνθρώπου οὖσα αἰτία καὶ τοῦ ἀνεμποδίστως. ἔτι εἰ ἡ ἡδονὴ ἐνέργεια ὡς ἑπομένη τῇ τοῦτον γινομένῃ τὸν τρόπον ἐνεργείᾳ, ὡς ἔδειξεν ἐν τῷ τελευταίῳ τῶν Ἠθικῶν, ἑπομένη δὲ ἡδονὴ τῇ τοῦτον γινομένῃ τὸν τρόπον ἐνεργείᾳ, σημεῖον ἂν μᾶλλον εἴη τοῦ παρεῖναι τὸ εὐδαιμονεῖν τοῖς οὕτως ἐνεργοῦσιν, ἀλλ' οὐκ εὐδαιμονία· ἐνέργεια γὰρ ἡ ἡδονὴ λέγεται ὑπ' Ἀριστοτέλους, οὐχ ὡς αὐτὴ κατὰ τὸν οἰκεῖον λόγον οὖσα ἐνέργεια, ἀλλ' ὡς ἐπ' ἐνεργείᾳ τὸ εἶναι ἔχουσα καὶ μὴ δυναμένη χωρὶς ταύτης γίνεσθαι. διὸ ὡς τὸ ἐνέργεια εἶναι ἀνεμπόδιστος ἔχει, οὕτως ἂν ἔχοι καὶ τὸ εἶναι εὐδαιμονία· ἐνέργεια δέ ἐστιν ἀνεμπόδιστος τῷ τοιαύτῃ παρακολουθεῖν ἐνεργείᾳ, καὶ εὐδαιμονία ἐστὶ τῷ παρακολουθεῖν τῇ εὐδαιμονίᾳ καὶ εἶναι σημεῖον τῆς παρουσίας αὐτῆς. ὅσον δὲ πρὸς τὸ ἀνεμποδίστως ἐνεργεῖν δεόμεθα πρὸς τὰς ἀρετὰς, καθ' ἃς τὰς τοιαύτας δεῖ ἐνεργεῖν ἐνεργείας, τοσοῦτον ἀπολείπεται καὶ ἡ κατ' ἀρετὴν ἐνέργεια τοῦ τὸ πλεῖον ἔχειν ἐν αὐτῇ. ὅτι μὲν οὖν ἀνδραποδῶδες τὸ τὴν εὐδαιμονίαν τίθεσθαι ἐν ταῖς σωματικαῖς ἡδοναῖς καὶ τῷ ἀπολαυστικῷ βίῳ, ἱκανῶς αὐτὸς ἐνεδείξατο διὰ τοῦ τά τε ἀνδράποδα καὶ τὰ βοσκήματα τὸν τοιοῦτον βίον κρίνειν, καὶ ἔτι διὰ τοῦ Σαρδαναπάλου. ὅτι δὲ μηδὲ ἐν ταῖς

3. εἰ om. T. 22. οὖν om. T. 25. αὐτὸς ἐνεδείξατο] Eth. Nicom. I, 2.

κατὰ ψυχὴν ἐνεργείαις αἱ ἐνέργειαι χάριν τῆς ἡδονῆς, ἀλλ' ἡ ἡδονὴ τῶν ἐνεργειῶν, δῆλον. εἰ γὰρ καὶ ὅτι μάλιστα ἡδεῖαι αἱ κατ' ἀρετὴν ἐνέργειαι, ἀλλ' οὐ τῆς ἡδονῆς ἕνεκα σπουδάζονται, ἀλλ' ἔμπαλιν. τὰς μὲν γὰρ κατ' ἀρετὴν ἐνεργείας αἱρούμεθα, κἂν λύπης καὶ πόνων αἰτίαι γίνωνταί ποτε, ὡς ἐπὶ τῶν κατὰ τὴν ἀνδρείαν ἐνεργειῶν γίνεται, ἡδονὰς δὲ αἰσχρὰς οὐδέποτε αἱρεῖσθαι εὔλογον, ὥστε εἰ αἱ μὲν κατ' ἀρετὴν ἐνέργειαι αἱρεταὶ, κἂν μετὰ λύπης ὦσιν, ὃ ἐναντίον ἐστὶ τῇ ἡδονῇ, αἱ δὲ ἡδοναὶ οὐδέποτε αἱρεταὶ μετὰ τοῦ ἐναντίου τῇ ἀρετῇ τε καὶ τῷ καλῷ, δῆλον ὡς τὰς ἡδονὰς διὰ τὰς ἐν ταῖς κατ' ἀρετὴν γινομένας ἐνεργείαις αἱρούμεθα, καὶ διὰ τὰς τοιαύτας ἐνεργείας. μάλιστα δ' ἂν διακριθείη τοῦτο, εἰ τῇ φύσει ἐπακολουθήσαντες κατανοήσαιμέν τε καὶ λάβοιμεν, πότερον ποτέρου χάριν ἡ φύσις ἡμῖν εὐθὺς γινομένοις ἔδωκεν τὴν ἐνέργειαν διὰ τὴν ἡδονὴν ἢ τὴν ἡδονὴν διὰ τὰς ἐνεργείας. ἀλλὰ μὴν γνώριμον τὸ τὴν ἡδονὴν τοῖς ζώοις διὰ τὰς ἐνεργείας ὑπὸ τῆς φύσεως δεδόσθαι, εἰ μέλλοι σώζεσθαι· ἀδύνατον γὰρ αὐτοῖς μὴ τρεφομένοις ζῆν. διὸ τὴν ἐπὶ ταῖς τροφαῖς ἡδονὴν ἔχομεν παρ' αὐτῆς, δι' ἣν ἡδονὴν ζητοῦμέν τε τὴν τροφὴν μὴ παροῦσαν καὶ παρούσῃ χρώμεθα, τὴν ἀπὸ τῶν βελτιόνων ἀσχολίαν γινομένην ποτὲ διὰ ταύτης παραμυθούμενοι. παντάπασιν γὰρ ἄτοπον τὸ λέγειν τρέφεσθαι ἡμᾶς μὴ ὡς σωθησο-

13. διὰ τὰς om. T.

μένους διὰ τούτου, ἀλλ' ὑπὲρ τῆς ἡδονῆς τῆς ἐπ' αὐτῷ. ἀλλὰ καὶ τὴν ἐπιγινομένην τοῖς ἀφροδισίοις ἡδονὴν, εἴ τις φυσικῶς ἐξετάζοι, οὐκ ἄλλου χάριν εὑρήσει παρεσπαρμένην ἢ τῆς τεκνοποιΐας, ὅπως ὑπὸ τῆς ἡδονῆς παραπεμπόμενα τὰ ζῶα μὴ ὀκνῇ πρὸς τὸν συνδυασμὸν, ὃς αἴτιος τῆς κατ' εἶδος τοῖς ζώοις ἀϊδιότητος, δι' ἣν καὶ αὐτὸν συμβαίνει τὸν κόσμον ὅμοιον ἀεὶ μένειν ἑαυτῷ. εἰ δὲ φανερῶς ἐπὶ τούτων αἱ ἡδοναὶ τοῖς ζώοις γίνονται τῶν ἐνεργειῶν χάριν, καὶ ἐπὶ τῶν ἄλλων ἐνεργειῶν τῶν κατὰ φύσιν οὕτως ἔχειν εὔλογον. ὅτι δὲ ἐφ' ὧν συνυπάρχει τό τε καλὸν καὶ ἡ ἡδονὴ, οὐ τὸ καλὸν τῆς ἡδονῆς χάριν αἱρετὸν, ἀλλ' ἡ ἡδονὴ τοῦ καλοῦ, δῆλον ὡς ἐμνήσθημεν ἤδη ἐκ τοῦ, εἰ ἦν τῆς ἡδονῆς χάριν αἱρετὸν τὸ καλὸν, ὡς ἐκείνης μὲν οὔσης τέλους τε καὶ δι' αὐτὴν αἱρετοῦ, ὡς ποιητικοῦ δὲ τῆς ἡδονῆς τοῦ καλοῦ τὸ αἱρετὸν ἔχοντος, ὁμοίως τῷ καλῷ τὸ αἰσχρὸν γίνεσθαι, ἐπεὶ καὶ τοῦτο ποιητικὸν ἡδονῆς. οἷς γὰρ τὸ αἱρετὸν ὡς ποιητικοῖς, τούτοις τὸ γινόμενον ὑπ' αὐτῶν τῆς αἱρέσεως μέτρον. ἢ γὰρ οὐ χρὴ λέγειν γίνεσθαί τινας καὶ ἐπ' αἰσχραῖς πράξεσιν ἡδονὰς, ἀλλ' ἐπὶ μόναις ταῖς καλαῖς, ἢ εἰ μὴ τοῦτο ἀληθὲς, αἱρετὸν ἔσται καὶ τὸ αἰσχρὸν ὁμοίως τῷ καλῷ, εἰ ἡ γινομένη ὑπ' αὐτῶν ἡδονὴ τῆς αἱρέσεως αὐτῶν

13. καλὸν καὶ ἡ ἡδονή] quae sequuntur usque ad finem, repetuntur infra IV, 26. 16. μὲν οὔσης] Victorius, μενούσης vulg. 18. ἔχοντος] ἔχοντες vulg.

αἰτία. εἰ δὲ τοῦτο ἄτοπον, προξενοῦν ἡμῖν πᾶσαν πρᾶξιν αἰσχρὰν ὡς οὐδὲν ἔλαττον τῆς καλῆς αἱρετήν, εἰ καὶ μᾶλλον αὐτὴ καὶ πλείοσιν παρασκευάζει τὰς ἡδονάς, οὐδ' ἂν τὸ καλὸν εἴη διὰ τὴν ἡδονὴν αἱρετὸν ὡς ἐκείνης ποιητικόν. εἰ δὲ δεῖ μὲν εἶναι καὶ ἢ διὰ τὴν ἡδονὴν τὸ καλὸν αἱρετόν, ἢ διὰ τὸ καλὸν τὴν ἡδονήν, μή ἐστι δὲ τὸ καλὸν διὰ τὴν ἡδονήν, εἴη ἂν ἡδονὴ τὸ αἱρετὸν παρὰ τοῦ καλοῦ λαμβάνουσα. οὐ γὰρ δὴ ταὐτὸν οἷόν τε λέγειν εἶναι τὸ καλόν τε καὶ τὴν ἡδονήν, ἐφ' ὧν συνυπάρχει τε καὶ ἅμα ἐστὶν ἀλλήλοις. εἰ γὰρ εἴη ταὐτὸν αὐτοῖς τὸ εἶναι, καὶ ἀντιστρέφειν αὐτὰ ἀλλήλοις ἀνάγκη, ὡς πᾶν τὸ καλὸν ἐν τῷ καλὸν εἶναι καὶ τὸ ἡδὺ εἶναι ἔχειν, καὶ πᾶν τὸ ἡδὺ ἅμα τε ἡδὺ εἶναι καὶ καλόν. εἰ δὲ ψεῦδος τὸ λέγειν πᾶσαν ἡδονὴν εἶναι καλὸν τῷ μηδὲν ἔλαττον ὁρᾶν τὰς ἡδονὰς γινομένας ἐπ' αἰσχραῖς ἐνεργείαις, οὐδ' ἂν ἐπὶ ταῖς καλαῖς ἐνεργείαις ἡδοναὶ γινόμεναι αἱ αὐταὶ εἶεν ταῖς ἐφ' αἷς γίνονται ἐνεργείαις. τὸ γὰρ ὁμοῦ μὲν λέγειν τὰς ἡδονὰς μόνας εἶναι δι' αὑτὰς αἱρετάς, τῶν δ' ἄλλων αἱρετῶν ἕκαστον ἐφ' ὅσον εἰς ἡδονήν τι συντελεῖ, ἐπὶ τοσοῦτον καὶ τὸ αἱρετὸν ἔχειν· ὁμοῦ δὲ τὸ μὲν καλὸν αἱρετὸν εἶναι λέγειν ὡς ποιητικὸν ἡδονῆς, μηκέτι δὲ καὶ τὸ αἰσχρὸν φάσκειν αἱρετὸν γίνεσθαι διὰ τὴν γινομένην ἡδονὴν ὑπ' αὐτοῦ, οὐχ ὁμολογούμενα

3. εἰ] ἢ T. 8. ἡδονὴ] ἡ ἡδονὴ infra. 12. καὶ] om. infra. 21. εἶναι μόνας infra. 22. αἱρετῶν] αἱρετὸν infra, item Bagolinus.

λεγόντων ἐστὶν, ἀλλ' ἀπιθάνως ἀρνουμένων οἷς συγχωροῦσι διὰ τῶν αἱρέσεων οὕτως ἔχειν. οὐδεὶς γὰρ μὴ τοῦτον παρεσκευασμένος τὸν τρόπον οὕτως ἀτόπου προΐσταται δόξης. τὸ γὰρ λέγειν τὰς μὲν ἐπὶ ταῖς καλαῖς ἐνεργείαις γινομένας ἡδονὰς εἰλικρινεῖς τε εἶναι καὶ ἀμίκτους ταῖς ἐναντίαις λύπαις, καὶ διὰ τοῦτο καὶ τὰς ποιητικὰς αὐτῶν ἐνεργείας ἔχειν τὸ αἱρετὸν, τὰς δὲ ἐπὶ ταῖς αἰσχραῖς ὀλίγον ἐχούσας τὸ τερπνὸν πολλὰ ἔχειν καὶ πλείω τὰ λυποῦντα, διὸ μηδὲ τὰς ἐνεργείας εἶναι τὰς τοιαύτας αἱρετὰς οὔσας ποιητικὰς λύπης μᾶλλον ἢ ἡδονῆς, πῶς οὐ συνδιαιρούντων ἐπὶ ταῖς ἐνεργείαις ἐφ' αἷς γίνονται τὰς ἡδονὰς, καὶ οὐχ' ὁμοειδεῖς φυλασσόντων; εἰ γὰρ αἱ μὲν ἐπὶ τοῖς καλοῖς τοιαῦται, αἱ δ' ἐπὶ τοῖς αἰσχροῖς τοιαῦται, εἴη ἂν τὰ καλὰ καὶ τὰ αἰσχρὰ αἴτια τῆς τῶν ἡδονῶν διαφορᾶς. οὐ γὰρ ἀπὸ τῶν ἡδονῶν ταῖς ἐνεργείαις ἐστὶ τὸ αἱρετὸν, ἀλλ' ἀπὸ τῶν ἐνεργειῶν ταῖς ἡδοναῖς, καὶ εἶεν ἂν ἄλλαι μὲν τῷ εἴδει αἱ ἀπὸ τῶν καλῶν, ἄλλαι δὲ αἱ ἀπὸ τῶν αἰσχρῶν, εἴ γε πᾶσαι μὲν αἱ ἀπὸ τῶν καλῶν καθαραί τε καὶ ἄμικτοι καὶ μηδεμιᾶς μετανοίας ἢ λύπης αἴτιαι εἰδοποιούμεναι ταῖς τοιαύταις ἐνεργείαις, πᾶσαι δὲ αἱ ἀπὸ τῶν αἰσχρῶν μικταί τε καὶ ἐν μεταμελείᾳ. οὕτω δὲ ἐχουσῶν

1. ἐστὶν om. T, et infra. 12. πῶς οὐ συνδιαιρούντων] ὁπωσοῦν διαιρούντων T. 13. ἐπὶ] infra, ἐστὶ vulg. 19. ἡδοναῖς] αἵς γε διὰ ταύτας καὶ τὸ εἶναι τοιαύταις add. infra. 25. μικταί] λυπηραί T.

τῶν ἡδονῶν πρὸς τὰς ἐνεργείας πρόδηλον, ὅτι μὴ παρὰ τῶν ἡδονῶν ταῖς ἐνεργείαις τὸ αἱρετὸν, ἀλλὰ παρὰ τῶν ἐνεργειῶν ταῖς ἡδοναῖς, ταῖς μὲν τὸ αἱρετὸν, ταῖς δὲ τὸ φευκτὸν, εἴ γε φευκταὶ αἱ πλεῖον τοῦ ἥδοντος τὸ λυποῦν ἔχουσαι, τοιαῦται δὲ πᾶσαι αἱ ἐπὶ ταῖς αἰσχραῖς ἐνεργείαις.

Πῶς αἱ ἀρεταὶ δι' αὑτὰς αἱρεταί. κδ'.

Καὶ πῶς τις ἂν τὰς ἀρετὰς καὶ τὰς κατ' αὐτὰς ἐνεργείας δι' αὑτὰς αἱρετὰς εἶναι λέγοι, εἴ γέ εἰσιν ἡμῖν αἱρεταὶ διὰ τὴν τῶν ἀμέτρων παθῶν ἀποσκευήν; εἰ γὰρ τὴν μὲν ἀνδρίαν αἱρούμεθα, ὅπως μετρεῖν δυνώμεθα τούς τε φόβους καὶ τὰ θάῤῥη, τὴν δὲ σωφροσύνην, ὅπως τὰς δι' ἀφῆς λύπας τε καὶ ἡδονὰς, αἱρούμεθα δὲ καὶ τῶν ἄλλων ἀρετῶν ἑκάστην ἢ ἐπὶ παθῶν τινων μέτρον ἢ ἐπὶ πράξεων· τὴν μὲν γὰρ ἐλευθεριότητα καὶ μεγαλοπρέπειαν ἐπὶ τῷ μετρεῖν δύνασθαι τὰς πράξεις, αἳ διὰ δόσεώς τε καὶ λήψεως χρημάτων, ἐνεργοῦμεν, τὴν δὲ μεγαλοψυχίαν τε καὶ φιλοτιμίαν ἐπὶ τῇ συμμέτρῳ καὶ κατ' ἀξίαν τῶν τιμῶν αἱρέσει, τήν τε πραότητα ἐπὶ τῷ περὶ τὰς ὀργὰς συμμέτρῳ, αἱρούμεθα δὲ καὶ τὴν δικαιοσύνην, διότι ἐστὶ σωστικὴ τῆς οὔσης ἡμῖν κατὰ φύσιν κοινωνίας, εἴ γέ ἐσμεν φύσει κοινωνικοί τε καὶ πολιτικοί· ὡς γὰρ οὐ δι' αὐτὴν

12. δυνώμεθα om. T. 16. μέτρον] Victorius, μέτρων vulg. 18. αἳ om. T. 21. τήν τε] fort. τὴν δέ.

αἱρετὴ ἡ οἰκοδομικὴ, ὅτι ἐστὶν αἱρετὰ τὰ γινόμενα ἀπ' αὐτῆς, οὐδὲ ἡ παλαιστικὴ δι' αὑτήν ἐστιν αἱρετὴ διὰ τὸ τοῦ καλῶς παλαίειν εἶναι ποιητικὴ, οὐδὲ τῶν ἀρετῶν εἴη τις ἂν δι' αὑτὴν αἱρετὴ, εἰ τὸ αἱρετόν ἐστιν ἐν αὐταῖς παρὰ τῶν γινομένων δι' αὐτάς. ἢ εἰ μὲν ἦν ἄλλο μὲν τὸ δι' ὅ φαμεν ἑκάστην τῶν ἀρετῶν εἶναι αἱρετὴν, ἄλλο δὲ αὐτὴ ἡ ἀρετὴ, εὐλόγως ἀνῃρεῖτο τὸ εἶναι αὐτῶν ἑκάστην δι' αὑτὴν αἱρετήν· εἰ δέ ἐστιν ἑκάστη τῶν ἀρετῶν τῷ εἶναι ἐν τούτῳ δι' ὅ ἐστιν αἱρετὴ, εἴη ἂν εὐλόγως λεγόμενον τὸ εἶναι τὰς ἀρετὰς δι' αὑτὰς αἱρετάς; ὡς γὰρ εἰ ἦν οἰκοδομικὴ οἰκία, δι' ἥν ἐστιν αἱρετὴ, ἦν ἂν δι' αὑτὴν αἱρετὴ, οὕτω καὶ τῶν ἀρετῶν ἑκάστη, εἴ ἐστιν ἡ αὐτὴ τούτῳ δι' ὅ ἐστιν αἱρετὴ, εἴη ἂν δι' αὑτὴν αἱρετὴ, καὶ ἔτι μᾶλλον καὶ φανερώτερον, εἰ ἕκαστον τῶν κατ' αὐτὰς ἔχοι τὸ αἱρετὴν ἐπ' αὐτῷ, καὶ μὴ διὰ τὴν ἐπ' ἄλλο τι ἀναφορὰν, ὡς ἡ οἰκία, δι' ἣν ἡ οἰκοδομικὴ ἔχει τὸ αἱρετόν· διὰ γὰρ τὴν γινομένην ἀπ' αὐτῆς σκέπην χειμῶνός τε καὶ θέρους. ὅτι δὲ αἱ ἀρεταὶ αἱ αὐταὶ τούτοις δι' ἃ αἱρετὰς αὐτὰς εἶναί φαμεν, δῆλον ἐκ τοῦ εἶναι μὲν αὐτὰς μεσότητας παθῶν τε καὶ πράξεων, τὴν μὲν ἀνδρίαν φόβου τε καὶ θάῤῥους, τὴν δὲ σωφροσύνην λύπης τε καὶ ἡδονῆς τῶν δι' ἁφῆς, τὴν δὲ ἐλευθεριότητα δόσεως καὶ λήψεως χρημάτων, ὁ δ' αὐτὸς καὶ ἐπὶ τῶν ἄλλων λόγος,

10. τῷ] Victorius, τὸ vulg. 17. ἐπ' αὐτῷ] fort. ἐφ' αὐτῷ. 21. δι' ἃ] διὸ vulg.

ὥστε εἰ ἐν τούτοις τὸ εἶναι αὐταῖς, δι' ἃ εἰσιν αἱρεταὶ, εἶεν [δ'] ἂν δι' αὑτὰς αἱρεταὶ, καὶ ἔτι μᾶλλον δι' αὑτὰς, ὅτι μὴ δι' ἄλλο τι ἡμῖν αἱρεταὶ αἱ μεσότητες αἱ περὶ φόβους τε καὶ θάῤῥη, ἀλλὰ δι' αὑτὴν ἑκάστη. τὸ γὰρ ἐν αὑτῷ καὶ τῇ αὑτοῦ φύσει τὸ αἱρετὸν ἔχον, τοῦτο δι' αὑτὸ αἱρετὸν, τοιαῦται δὲ αἱ μεσότητες αἱ περὶ τὰς κατὰ φύσιν ἡμῖν πράξεις. τούτων δὲ οὕτως ἐχόντων, εἰ μὲν τοῖς ἀνθρώποις ἡ σωτηρία τῆς τε πολιτικῆς κοινωνίας καὶ τῆς οἰκονομικῆς μὴ δι' αὑτὴν αἱρετὴ, ἀλλὰ δι' ἄλλο τι, οὐδ' ἂν ἡ δικαιοσύνη οὖσα μεσότης τούτων ἐν οἷς ἐστι σωτηρία τῶν προειρημένων, εἴη ἂν δι' αὑτὴν αἱρετὴ, καθ' οὓς τοῦτό ἐστιν ἡ δικαιοσύνη. εἰ δέ ἐστιν ἡ κοινωνία καὶ ἡ σωτηρία ταύτης δι' αὑτὴν τοῖς ἀνθρώποις αἱρετὴ, εἴη ἂν καὶ ἡ δικαιοσύνη δεικνυμένη δι' αὑτὴν αἱρετὴ καθό ἐστι μεσότης καὶ ἰσότης, τουτέστιν ἐν ταῖς νομαῖς καὶ τοῦ ἐν τοῖς συναλλάγμασιν ἴσου, ἐν οἷς ἡ σωτηρία τῆς πολιτικῆς τε καὶ πρώτης κοινωνίας. ἀλλὰ μὴν ὅτι δι' αὑτὸ τοῖς ἀνθρώποις αἱρετὸν ἡ κοινωνία, γνῶναι πρόχειρον ἀπό τε τοῦ κατὰ φύσιν αὐτοῖς εἶναι τὴν κοινωνίαν, οὗ σημεῖον φανερώτατον τὸ τούτῳ μάλιστα τῶν ἄλλων ζώων τὸν ἄνθρωπον διαφέρειν, ὃ μόνον ἐστὶν αὐτῷ χρήσιμον ἐν τῇ πρὸς ἀλλήλους κοινωνίᾳ· ἴδιον μὲν γὰρ ὁ λόγος αὐτοῦ, τούτου δὲ χρεία πρὸς μήνυσιν τοῖς πλησίον τῶν ἰδίων νοημάτων τε καὶ παθῶν. ἐναργὲς

2. δ' del. 18. νόμοις vulg. legibus Bagolinus.

δὲ τοῦτο καὶ ἐκ τοῦ μηδὲ ἐπ' ὀλίγον δύνασθαι ζῆν ἄνθρωπον μόνον γενόμενον. διότι δὲ ἐν κοινωνίᾳ τῷ ἀνθρώπῳ τὸ εἶναι καὶ ὁ λόγος τούτου χάριν, ἀρίστη δὲ καὶ τελειοτάτη τῶν κατὰ λόγον γινομένων κοινωνιῶν ἡ πολιτική, ἀπὸ δὲ τῶν ἀρίστων ἡ τῶν κατὰ φύσιν ἑκάστῳ κρίσις, εἴη ἂν ὁ ἄνθρωπος λογικὸν, οὕτω δὲ καὶ πολιτικὸν, καὶ τὸ σώζειν δὲ τὴν τοιαύτην κοινωνίαν εἴη ἂν αὐτῷ μάλιστα κατὰ φύσιν τε καὶ αἱρετὸν δι' αὐτὸ, τοιοῦτον δὲ ἡ δικαιοσύνη.

Ἐπιδρομὴ, πόθεν ἡ τῶν ἀρετῶν εὕρεσίς τε καὶ σύστασις. κέ.

Ἐπεὶ ἡ εὐδαιμονία τοῖς ἀνθρώποις σκοπὸς, καὶ δεῖ πάντα πράττειν, ὅπως ταύτην κτησαίμεθα ὡς τέλος τε καὶ μέγιστον τῶν ἡμετέρων ἀγαθῶν, ἀδύνατον δὲ τὸ πράττειν τινὰ ὡς εἴς τι συντελοῦντα ἢ ὅλως γνωρίζειν τὰ δι' ὧν οἷόν τε τυχεῖν τινος σκοποῦ, ἀγνοουμένου τοῦ σκοποῦ· ἀρχὴ γὰρ τῆς εὑρέσεως τῶν εἰς τὸν σκοπὸν συντελούντων καὶ τῶν ἐκείνου χάριν γινομένων πράξεων γνῶσις τοῦ σκοποῦ, διὸ καὶ τῆς ἠθικῆς φιλοσοφίας ἀρχὴ τὸ γνῶναι, τί ποτέ ἐστιν εὐδαιμονία, ἧς χάριν ἡμᾶς δεῖ πάντα πράττειν, ἐζητήσαμεν τί ποτ' ἐστὶν εὐδαιμονία, καὶ εὑρόντες ἑκάστου τῶν ὄντων τὸ ἀγαθὸν ὂν ἐν τῇ οἰκείᾳ

8. εἴη ἂν om. T. 10. αὐτὸ] αὐτὸν vulg.

ἐνεργείᾳ τῇ καθ' ὅ ἐστιν αὐτῷ τὸ εἶναι τούτῳ ὅ ἐστιν, εἰ εὖ γίνοιτο· ἐπί τε γὰρ τῶν φύσει συνεστώτων τοῦτον ἔχει τὸν τρόπον, ἀλλὰ καὶ ἐπὶ τῶν κατὰ τέχνην, εἴ γε ἡ τέχνη μιμεῖται τὴν φύσιν· τοῦ τε γὰρ ἵππου τὸ ἀγαθὸν τοιοῦτον, εἴ γέ ἐστιν μὲν οἰκεῖον ἔργον αὐτῷ, καθὸ ἵππος ἐστὶ, τὸ τρέχειν, ἀγαθὸν δὲ αὐτῷ τὸ εὖ τρέχειν, ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ κυνός· εἴτε γὰρ τὸ φυλάττειν, εἴτε τὸ θηρᾶν ἔργον κυνὸς, εἴτε τῶν μὲν τοῦτο, τῶν δὲ ἐκεῖνο, καὶ τὸ ἀγαθὸν αὐτοῖς ἐν τῷ εὖ ταῦτα ποιεῖν· ἀλλὰ καὶ τῷ οἰκοδόμῳ τὸ ἀγαθὸν καὶ τὸ τέλος ἐν τῷ εὖ οἰκοδομεῖν, ἐπεὶ καὶ ἔργον τὸ οἰκοδομεῖν αὐτῷ, καὶ ἐπεὶ ἐφ' ἑκάστῳ τὸ τέλος τῇ ἐνεργείᾳ καὶ τῷ ἔργῳ παρὰ τῆς οἰκείας ἀρετῆς παραγίνεται, ἑκάστου τὸ τέλος ἔσται ἐν τῷ τὸ οἰκεῖον ἔργον ποιεῖν κατ' ἀρετήν. εἰ δὲ τοῦτο, εἴη ἂν καὶ τὸ τοῦ ἀνθρώπου ἀγαθόν τε καὶ τέλος ἐν τῷ κατ' ἀρετὴν καὶ οἰκεῖον τὰς καθὸ ἄνθρωπός ἐστιν ἐνεργείας ἐνεργεῖν. ἀλλὰ μὴν οἰκεῖαι ἐνέργειαι ἀνθρώπου αἱ γινόμεναι κατὰ ψυχὴν λογικήν. τὸ γὰρ ἀνθρώπου εἶναί ἐστιν ἐν τῷ ζῆν τε καὶ κατὰ λογικὴν ψυχὴν ἐνεργεῖν· εἰ δὲ τοῦτο, εἴη ἂν καὶ τὸ τέλος αὐτῷ ἐν τῷ κατ' ἀρετὴν ψυχῆς λογικῆς ἐνεργεῖν, ὥστε εἴη ἂν καὶ ἡ εὐδαιμονία, ἐπειδὴ αὐτὴ τὸ τοῦ ἀνθρώπου ἀγαθόν τε καὶ τέλος, ἐνέργεια κατ' ἀρετὴν ψυχῆς λογικῆς, προσκει-

15. παραγίνεται] Victorius, περιγίνεται vulg. 21. fort. τῷ γὰρ ἀνθρώπῳ. 25. καὶ om. T.

μένου τοῦ τε ἐν βίῳ τελείῳ· οὐδὲν γὰρ τέλειον ἐν ἀτελεῖ, καὶ ἔτι τοῦ ἐν προηγουμένοις, διὰ τὸ δεῖσθαι ὀργάνων τὰς προηγουμένας τε καὶ βουλητὰς ἐνεργείας. ὄντος δὲ τούτου σκοποῦ, δῆλον ἐκ τῆς εὑρέσεως αὐτοῦ καὶ γνώσεως τὸ δεῖσθαι πρὸς τὴν κτῆσιν τῆς εὐδαιμονίας τῶν τῆς λογικῆς ψυχῆς ἀρετῶν, ζητοῦντες δὲ τίνες εἰσὶν, εὐλόγως πρῶτον ἤλθομεν ἐπὶ τὸ ἰδεῖν, τίς ποτ' ἐστὶν ἡ λογικὴ ψυχὴ, ἐπεὶ τὴν ταύτης ζητοῦμεν ἀρετήν. διττὴ δὲ ἡ λογικὴ δύναμις εὑρέθη, ἡ μέν τις ἄλογος μὲν καθ' αὑτὴν, λογικὴ δὲ τῷ ἐπιδέχεσθαί τε δύνασθαι λόγον καὶ ὑπὸ λόγον ῥυθμίζεσθαι· τοιαύτη γάρ ἐστιν ἡ ἐν ἡμῖν ὀρεκτικὴ ψυχὴ, ἡ δέ τίς ἐστι λογικὴ τῷ αὐτὴν λόγον ἔχειν ἐν αὑτῇ, καί ἐστιν ἑκατέρας τῶν προειρημένων δυνάμεων οἰκεία τις ἐνέργεια καὶ ἀρετὴ, καθ' ἣν τὸ εὖ ἐν τῇ οἰκείᾳ ἐνεργείᾳ γίνεται, τῆς μὲν ὀρεκτικῆς αἵ τε πράξεις καὶ αἱ κατὰ πάθη κινήσεις, ἀρεταὶ δὲ ἃς ἠθικὰς καλοῦμεν ἀπὸ τοῦ διὰ ἐθῶν τινων ἐγγίνεσθαι, τῆς δὲ διανοητικῆς ἐνέργειαι μὲν αἱ γνώσεις τῆς φύσεως τῶν γενητῶν καὶ ὅλως τῶν ἐνδεχομένων ἄλλως ἔχειν, ἀρετὴ δὲ καθ' ἣν ἡ γνῶσις τῆς ἐν τούτοις ἀληθείας, τῆς δὲ νοητικῆς ἐνέργειαι μὲν ἡ γνῶσις τῶν ἀϊδίων οὐσιῶν, ἀρετὴ δὲ καθ' ἣν ἡ τούτων

3. βουλητὰς] consultae Bagolinus, βουλευτάς? 12. λόγον] Victorius, λόγου vulg. 23. ἀρετὴ] Victorius, ἀρετὴν vulg. 24. ἐνέργειαι] Victorius, ἐνέργεια Bagolinus, ἐνεργείας vulg.

ἀληθὴς γίνεται γνῶσις. οὕτω δὲ τῶν ἀρετῶν διῃρημένων, τίς ἐστιν ἑκάστη, καὶ τί ἔργον αὐτῆς, καὶ τίς ἡ εἰς εὐδαιμονίαν συντέλεια ἀπὸ τῶν ἔργων τε καὶ ἐνεργειῶν τῶν ἑκατέρας τῆς λογικῆς δυνάμεως εὑρίσκεται. ἔργον τοίνυν τῆς μὲν ὀρεκτικῆς δυνάμεως αἱ πράξεις αἱ περὶ ἡδονάς τε καὶ λύπας, τὰς μὲν αἱρουμένης τε καὶ διωκούσης, τὰς δὲ ἀποστρεφομένης, καὶ ἐπεὶ πέφυκεν ἐν τοῖς τοιούτοις πᾶσιν, ἐν οἷς ἐστιν ὑπερβολή τε καὶ ἔλλειψις, ἡ μὲν ἀμετρία φθαρτικὴ εἶναι τοῦ ἐν ἑκάστοις αὐτῶν εὖ, τοιοῦτον δὲ ἥ τε ὑπερβολή τε καὶ ἡ ἔλλειψις, ἡ δὲ συμμετρία σωστικὸν μὲν τοῦ εὖ καὶ ποιητικὸν, ὡς δῆλον ἐπί τε τῶν γυμνασίων καὶ τῶν τροφῶν· καὶ γὰρ αἱ τῶν γυμνασίων ὑπερβολαί τε καὶ ἔνδειαι τῆς εὐεξίας, ἥ τίς ἐστιν ἀρετὴ τοῦ σώματος, φθαρτικὰ, ἡ δὲ συμμετρία αὐτῶν καὶ ἡ μεσότης καὶ ποιητικὰ αὐτῆς καὶ τηρητικὰ, ὅ ἐστι τὸ ἐν τούτοις εὖ. ἀλλὰ καὶ τῶν σιτίων πάλιν αἱ μὲν ὑπερβολαὶ καὶ ἔνδειαι τῆς ὑγείας εἰσὶ φθαρτικαὶ, αἱ δὲ συμμετρίαι ποιητικαί τε καὶ τηρητικαί· οὕτω δὲ καὶ ἐπὶ τῶν παθῶν ἔχει καὶ τῶν περὶ ταῦτα πράξεων, αἱ μὲν ὑπερβολαὶ αὐτῶν καὶ ἔνδειαι τοῦ εὖ τοῦ ἐν τούτοις εἰσὶ φθαρτικαὶ, αἱ δὲ συμμετρίαι ποιητικαί τε καὶ τηρητικαὶ, καὶ ἐπεί ἐστι τὸ εὖ ἐν πᾶσιν ἡ οἰκεία ἀρετὴ καὶ πᾶν τὸ γινόμενον κατ᾽ ἀρετὴν συμβαίνει τὰς περὶ ταῦτα ἀρετὰς συνίστασθαι συμ-

2. τί] fort. τί τό   27. ταῦτα] ταύτας vulg.

μετρίᾳ πράξεων τε καὶ παθῶν· ἥτε γὰρ σωφροσύνη φθείρεται μὲν ὑπό τε τῆς τῶν ἡδονῶν ὑπερβολῆς [τε] καὶ ἐνδείας τούτων, περὶ ἃς πέφυκεν ἀρετὴ μὲν γίνεσθαι σωφροσύνη, κακία δὲ ἀκολασία τε καὶ ἀναισθησία, σώζεται δὲ καὶ συνίσταται ὑπὸ τῆς τῶν αὐτῶν τούτων μεσότητός τε καὶ συμμετρίας· ἀλλὰ καὶ ἡ ἀνδρία συνίσταται μὲν ἐκ τῆς περὶ φόβους τε καὶ θάῤῥη μεσότητός τε καὶ συμμετρίας, ὑπὸ δὲ τῆς ὑπερβολῆς τε καὶ ἐνδείας τῶν αὐτῶν τούτων φθείρεται· ὡς δὲ ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τῶν λοιπῶν ἔχει, ὥστε εἰ τὸ ἐν τούτοις εὖ ἐν μεσότητί ἐστι παθῶν τε καὶ πράξεων, τὸ δὲ εὖ ἐν ἑκάστῳ κατὰ τὴν οἰκείαν ἀρετὴν, εἶεν ἂν καὶ αἱ περὶ ταῦτα ἀρεται ἐν μεσότητι τῶν προειρημένων, οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυχεν τοῦ ἐν τούτοις μέσου λαμβανομένου, ἀλλ' ὡς δέδεικται ὡρισμένου κατὰ τὸν ἐκ φρονήσεώς τε καὶ ὀρθὸν λόγον, καὶ εἴη ἂν τὸ κατὰ τὴν ὀρεκτικὴν ψυχὴν εὐδαιμονίας μέρος κείμενον ἐν ταῖς ἀπὸ τῶν ἀρετῶν περὶ τὰ πάθη τε καὶ τὰς πράξεις εὖ γινομέναις ἐνεργείαις. ἔτι δὲ, εἰ τοῦ ἀνθρώπου ἀρετή ἐστιν, ἀφ' ἧς ἀγαθὸς ἄνθρωπος γίνεται· καὶ γὰρ ἐπὶ τῶν ἄλλων ἁπάντων ἕκαστον ἀγαθόν ἐστί τε καὶ γίνεται κατὰ τὴν ἀρετὴν ἑαυτοῦ, ἀγαθὸς δὲ ἄνθρωπος γίνεταί τε καί ἐστιν ὁ μήτε ἐν τοῖς πάθεσιν ἄμετρος, μήτε ἐν ταῖς περὶ ταῦτα πράξεσιν, εἴη ἂν καὶ ἐκ

3. τε del. 17. δέδεικται] ἔτυχεν T.

τούτου δεικνύμενον τὸ τὴν ἀρετὴν τὴν ἠθικὴν ἐν μεσότητι εἶναι τῶν προειρημένων. αἱ γὰρ ἐνέργειαι αἱ περὶ πάθη τε καὶ τὰς πράξεις, ὅταν διὰ τῶν ἐθῶν παιδαγωγηθῶσιν οὕτως, ὡς τοὺς ἐθιζομένους ἥδεσθαι μὲν ἐπὶ ταῖς ἐνεργείαις ταῖς καλαῖς, ἄχθεσθαι δὲ ἐπὶ ταῖς ἐναντίαις, ὃ γίνεται ἐν τῇ αἱρέσει τε καὶ εὑρέσει τοῦ ἐν αὐτοῖς μέσου, τῆς ἀρετῆς εἰσι ποιητικαί. διὸ καὶ λέγομεν τὰς ἠθικὰς ἀρετὰς ἕξεις ἐν μεσότητι οὔσας παθῶν τε καὶ πράξεων ὡρισμένας τῷ ὀρθῷ λόγῳ.

Καὶ τοιαύτη μὲν περὶ ταῦτα ἡ σύστασις τῶν ἠθικῶν ἀρετῶν. τῆς δὲ διανοητικῆς τε καὶ οὕτω λογικῆς ψυχῆς, ἐπεὶ ἡ μέν ἐστι περὶ τὴν γνῶσιν τῶν ἀϊδίων τε καὶ ἀεὶ ὁμοίως ἐχόντων, ἡ δὲ περὶ τὴν τῶν ἐνδεχομένων καὶ ἄλλως ἔχειν, ὧν τὸ πρῶτον ἐπιστημονικὸν, τὸ δὲ δεύτερον λογιστικόν τε καλοῦμεν καὶ βουλευτικὸν, ἔσται καὶ περὶ ἑκατέραν ἐνέργειαν τῶν εἰρημένων τό τε εὖ καὶ τὸ κατ' ἀρετήν. ἐστὶ δὲ ἀρετὴ γνώσεως ἀλήθεια, ἡ δὲ καθ' ἑκατέραν δύναμιν τῆς λογικῆς ψυχῆς ἀρετὴ ἐπὶ τὴν τῆς ἀληθείας γνῶσιν ἔσται τῶν θεωρουμένων ὑπ' αὐτῆς, ἡ μὲν περὶ τὰ βουλευτά τε καὶ ἐνδεχόμενα ἄλλως ἔχειν ἑπομένη τῇ ὀρθῇ ὀρέξει· ἡ γὰρ εὕρεσίς τε καὶ γνῶσις τῶν συντελούντων πρὸς τὰ ὀρεκτὰ τῇ ὀρθῇ ὀρέξει αἱρετή· τὴν τοιαύτην ἕξιν τε καὶ ἀρετὴν καλοῦμεν φρόνησιν· ἡ γὰρ φρόνησις εὑρετικὴ τῶν πρὸς τὸν

3. αἱ om. T.

ὀρθὸν σκοπὸν συντελουσῶν πράξεων, διὸ καὶ τὴν φρόνησιν πρακτικὴν ἀρετήν φαμεν, ἐπεὶ ἡ γνῶσις αὐτὴ περὶ τῶν εἰς ὀρθότητα πράξεων συντελούντων. ἡ δὲ περὶ τὴν γνῶσιν τῶν ἀϊδίων ἐνεργοῦσα ἔχει μὲν τὸ εὖ ἐν τῇ τῶν ἐν τούτοις ἀληθῶν εὑρέσει τε καὶ γνώσει οὖσα θεωρητικὴ, ἀλλ' οὐ πρακτική· οὐδὲν γὰρ τῶν ἐν τούτοις ἀληθῶν εἰς πρᾶξίν τινα τὴν ἀναφορὰν ἔχει, διό ἐστιν αὐτοῖς τέλος ἡ γνῶσις τῶν ἐν τοῖς ἀϊδίοις ἀληθῶν, καί ἐστιν ἐν τούτοις τὸ μὲν εὖ τε καὶ ἀγαθὸν ἀληθὲς, τὸ ψεῦδος δὲ τὸ ἐν αὐτοῖς κακὸν, ἣν ἀρετὴν ἐπιστήμην καλοῦμεν οὖσαν ἕξιν ἀποδεικτικήν. καὶ ἐπεὶ ἡ ἀπόδειξις διά τινων πρώτων τοῦ δεικνυμένου καὶ οἰκείων καὶ ἀληθῶν καὶ οὐκ ἐπ' ἄπειρον ἐν αὐτοῖς τὸ πρῶτον, ἀλλ' ἔστιν τι καὶ κυρίως ἐν αὐτοῖς πρῶτον, ἡ τοῦ οὕτως πρώτου γνῶσίς τε καὶ εὕρεσις νοῦς καλεῖται, σοφία δὲ ἡ ἄμφω ἔχουσα τήν τε τῶν ἀρχῶν εὕρεσιν καὶ τὴν διὰ τῶν ἀρχῶν τῶν μετ' αὐτὰς εὕρεσίν τε καὶ δεῖξιν, ὥστε εἶεν ἂν πάλιν αἱ διανοητικαὶ ἀρεταὶ, οὖσαι τοῦ εὖ τοῦ ἐν ταῖς προειρημέναις ἐνεργείαις εὑρετικαί τε καὶ ζητητικαὶ, τὸ κυριώτατον τῆς εἰς εὐδαιμονίαν συντελείας ἔχουσαι τῷ τῶν κυριωτάτων δυνάμεων τῆς λογικῆς ψυχῆς τὰς ἐνεργείας τὸ εὖ παρὰ τούτων ἔχειν. εἴη ἂν οὖν ἡ ἀρετὴ τὴν μὲν ἀρχὴν λαμβάνουσα ἀπὸ τῆς εἰς εὐδαιμονίαν συντελείας, τὸ δὲ εἶναι ἔχουσα ἐν ταῖς καθ' ἑκα-

11. ἀληθὲς] καὶ ἀληθὲς T.

τέραν λογικὴν δύναμιν ψυχῆς ἐνεργείας, τοῦ εὖ τοῦ ἐν ταύταις οὖσα αἱρετική τε καὶ ἀποδεικτική.

Ὅτι οὐ τὸ καλὸν τῆς ἡδονῆς χάριν αἱρετόν, ἀλλ' ἡ ἡδονὴ τοῦ καλοῦ. κϛ'.

Ὅτι οὐ τὸ καλὸν τῆς ἡδονῆς χάριν αἱρετόν, ἀλλ' ἡ ἡδονὴ τοῦ καλοῦ, δῆλον ἐκ τοῦ, εἰ ἦν τῆς ἡδονῆς χάριν αἱρετὸν τὸ καλόν, ὡς ἐκείνης μὲν οὔσης τέλους τε καὶ δι' αὑτὴν αἱρετοῦ, ὡς ποιητικοῦ δὲ τῆς ἡδονῆς τοῦ καλοῦ τὸ αἱρετὸν ἔχοντος, ὁμοίως τῷ καλῷ τὸ αἰσχρὸν αἱρετὸν γίνεσθαι, ἐπεὶ καὶ τοῦτο ποιητικὸν ἡδονῆς. οἷς γὰρ τὸ αἱρετὸν ὡς ποιητικοῖς, τούτοις τὸ γινόμενον ὑπ' αὐτῶν τῆς αἱρέσεως μέτρον. ἢ γὰρ οὐ χρὴ λέγειν γίνεσθαί τινας καὶ ἐπ' αἰσχραῖς πράξεσιν ἡδονάς, ἀλλ' ἐπὶ μόναις ταῖς καλαῖς, ἢ εἰ μὴ τοῦτο ἀληθές, αἱρετὸν ἔσται καὶ τὸ αἰσχρὸν ὁμοίως τῷ καλῷ, εἰ ἡ γινομένη ὑπ' αὐτῶν ἡδονὴ τῆς αἱρέσεως αὐτῶν αἰτία. εἰ δὲ τοῦτο ἄτοπον, προξενοῦν ἡμῖν πᾶσαν πρᾶξιν αἰσχρὰν ὡς οὐδὲν ἔλαττον τῆς καλῆς αἱρετόν, εἰ καὶ μᾶλλον αὐτὴ καὶ πλείοσιν παρασκευάζει τὰς ἡδονάς, οὐδ' ἂν τὸ καλὸν εἴη διὰ τὴν ἡδονὴν αἱρετὸν ὡς ἐκείνης ποιητικόν. εἰ δὲ δεῖ μὲν εἶναι ἢ διὰ

4. integrum caput iisdem verbis conceptum supra IV, 23 legitur. 6. ὅτι om. T. 7. τοῦ] τούτου V. 14. μέτρον] Victorius, μέτριον vulg. 18. εἰ ἡ] ἢ εἰ vulg. 21. εἰ καὶ] ἢ καὶ μᾶλλον T. 22. παρασκευάζοι vulg. 23. οὐδ' ἂν] οὐδὲν vulg.

τὴν ἡδονὴν τὸ καλὸν αἱρετὸν, ἢ διὰ τὸ καλὸν τὴν ἡδονὴν, μή ἐστι δὲ τὸ καλὸν διὰ τὴν ἡδονὴν, εἴη ἂν ἡ ἡδονὴ τὸ αἱρετὸν παρὰ τοῦ καλοῦ λαμβάνουσα. οὐ γὰρ δὴ ταὐτὸν οἷόν τε λέγειν εἶναι τὸ καλόν τε καὶ τὴν ἡδονὴν, ἐφ' ὧν συνυπάρχει τε, καὶ ἅμα ἐστὶν ἀλλήλοις. εἰ γὰρ εἴη ταὐτὸν αὐτοῖς τὸ εἶναι, ἀντιστρέφειν αὐτὰ ἀλλήλοις ἀνάγκη, ὡς πᾶν τὸ καλὸν ἐν τῷ καλὸν εἶναι καὶ τὸ ἡδὺ εἶναι ἔχειν, καὶ πᾶν τὸ ἡδὺ ἅμα τε ἡδὺ εἶναι καὶ καλόν. εἰ δὲ ψεῦδος τὸ λέγειν, πᾶσαν ἡδονὴν εἶναι καλὸν τῷ μηδὲν ἔλαττον ὁρᾶν τὰς ἡδονὰς γινομένας ἐπ' αἰσχραῖς ἐνεργείαις, οὐδ' ἂν ἐπὶ ταῖς καλαῖς ἐνεργείαις ἡδοναὶ γινόμεναι αἱ αὐταὶ εἶεν ταῖς ἐφ' αἷς γίνονται ἐνεργείαις. τὸ γὰρ ὁμοῦ μὲν λέγειν τὰς ἡδονὰς εἶναι μόνας δι' αὑτὰς αἱρετὰς, τῶν δ' ἄλλων αἱρετὸν ἕκαστον ἐφ' ὅσον εἰς ἡδονήν τι συντελεῖ, ἐπὶ τοσοῦτον καὶ τὸ αἱρετὸν ἔχειν, ὁμοῦ δὲ τὸ μὲν καλὸν αἱρετὸν εἶναι λέγειν ὡς ποιητικὸν ἡδονῆς, μηκέτι δὲ καὶ τὸ αἰσχρὸν φάσκειν αἱρετὸν γίνεσθαι διὰ τὴν γινομένην ἡδονὴν ὑπ' αὐτοῦ, οὐχ ὁμολογούμενα λεγόντων, ἀλλ' ἀπιθάνως ἀρνουμένων, οἷς συγχωροῦσι, διὰ τῶν αἱρέσεων οὕτως ἔχειν. οὐδεὶς γὰρ μὴ τοῦτον παρεσκευασμένος τὸν τρόπον οὕτως ἀτόπου προΐσταται δόξης· τὸ γὰρ λέγειν τὰς μὲν ἐπὶ ταῖς καλαῖς ἐνεργείαις γινομένας ἡδονὰς εἰλικρινεῖς τε

8. πᾶν τὸ] πᾶν τε vulg. 18. συντελεῖν vulg.

εἶναι καὶ ἀμίκτους ταῖς ἐναντίαις λύπαις, καὶ διὰ τοῦτο καὶ τὰς ποιητικὰς αὐτῶν ἐνεργείας ἔχειν τὸ αἱρετὸν, τὰς δ᾽ ἐπὶ ταῖς αἰσχραῖς ὀλίγον ἐχούσας τὸ τερπνὸν πολλὰ ἔχειν καὶ πλείω τὰ λυποῦντα, διὸ μηδὲ τὰς ἐνεργείας εἶναι τὰς τοιαύτας αἱρετὰς οὔσας ποιητικὰς λύπης μᾶλλον ἢ ἡδονῆς, πῶς οὐ συνδιαιρούντων ἐπὶ ταῖς ἐνεργείαις ἐφ᾽ αἷς γίνονται τὰς ἡδονὰς καὶ οὐχ ὁμοειδεῖς φυλασσόντων; εἰ γὰρ αἱ μὲν ἐπὶ τοῖς καλοῖς τοιαῦται, αἱ δὲ ἐπὶ τοῖς αἰσχροῖς τοιαῦται, εἴη ἂν τὰ καλὰ καὶ τὰ αἰσχρὰ τῆς τῶν ἡδονῶν διαφορᾶς αἰτία· οὐ γὰρ ἀπὸ τῶν ἡδονῶν ταῖς ἐνεργείαις ἐστὶ τὸ αἱρετὸν, ἀλλ᾽ ἀπὸ τῶν ἐνεργειῶν ταῖς ἡδοναῖς, αἷς γε διὰ ταύτας καὶ τὸ εἶναι τοιαύταις, καὶ εἶεν ἂν ἄλλαι μὲν τῷ εἴδει αἱ ἀπὸ τῶν καλῶν, ἄλλαι δὲ αἱ ἀπὸ τῶν αἰσχρῶν, εἴ γε πᾶσαι μὲν αἱ ἀπὸ τῶν καλῶν καθαραί τε καὶ ἄμικτοι καὶ μηδεμιᾶς μετανοίας ἢ λύπης αἴτιαι εἰδοποιούμεναι ταῖς τοιαύταις ἐνεργείαις, πᾶσαι δὲ αἱ ἀπὸ τῶν αἰσχρῶν μικταί τε καὶ ἐν μεταμελείᾳ. οὕτω δὲ ἐχουσῶν τῶν ἡδονῶν πρὸς τὰς ἐνεργείας πρόδηλον, ὅτι μὴ παρὰ τῶν ἡδονῶν ταῖς ἐνεργείαις τὸ αἱρετὸν, ἀλλὰ παρὰ τῶν ἐνεργειῶν ταῖς ἡδοναῖς ταῖς μὲν τὸ αἱρετὸν, ταῖς δὲ τὸ φευκτὸν, εἴ γε φευκταὶ αἱ πλεῖον τοῦ ἥδοντος τὸ λυποῦν ἔχουσαι, τοιαῦται δὲ πᾶσαι αἱ ἐπὶ ταῖς αἰσχραῖς ἐνέργειαι.

Διὰ τί αἱ ἠθικαὶ ἀρεταὶ μεσότητες. κζ'

Ἢ ὅτι πᾶσα ἀρετή, οὗ ἂν ᾖ ἀρετή, αὐτό τε εὖ ἔχον ἀποτελεῖ καὶ τὸ ἔργον αὐτοῦ εὖ ἀποδίδωσιν; ἥτε γὰρ τοῦ ὀφθαλμοῦ ἀρετὴ τόν τε ὀφθαλμὸν σπουδαῖον ποιεῖ καὶ τὸ ἔργον αὐτοῦ, τῇ γὰρ τοῦ ὀφθαλμοῦ ἀρετῇ εὖ ὁρῶμεν. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων μορίων τοῦ σώματος. ἀλλὰ καὶ ἡ τοῦ ἵππου ἀρετὴ ἵππον τε σπουδαῖον ποιεῖ καὶ ἀγαθὸν δραμεῖν καὶ ἐνεγκεῖν ἐπιβάτην καὶ μεῖναι τοὺς πολεμίους· ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ζώων ἄλλων ἑκάστου. ἀλλὰ καὶ ἐπὶ τῶν τεχνῶν τε καὶ ἐπιστημῶν οὕτως ἔχει· τῇ γὰρ τῆς γυμναστικῆς ἀρετῇ τό τε σῶμα τῶν ἀνθρώπων εὖ ἔχον γίνεται, καὶ τὰς οἰκείας ἐνεργείας εὖ ἀποδίδωσιν. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ ἰατρικῆς· τῇ γὰρ ταύτης ἀρετῇ ὑγιαίνομέν τε τὰ σώματα καὶ τὰς ὑγιεινὰς ἐνεργείας ἐνεργοῦμεν. ὅμοιος ὁ λόγος καὶ ἐπὶ οἰκοδομικῆς καὶ πλαστικῆς καὶ ἐπὶ τεκτονικῆς καὶ ἐπὶ πασῶν τῶν τεχνῶν. ὄντος δὲ ἀληθοῦς τοῦ πᾶσαν ἀρετήν, οὗ ἂν ᾖ ἀρετή, αὐτὸ εὖ ἔχον ἀποτελεῖν καὶ τὸ ἔργον αὐτοῦ εὖ ἀποδιδόναι, δῆλον ὡς καὶ τοῦ ἀνθρώπου ἡ ἀρετὴ εἴη ἄν, ἀφ' ἧς αὐτός τε ὁ ἄνθρωπος εὖ ἕξει καὶ τὸ ἔργον τὸ οἰκεῖον ὡς ὅτι ἄριστον ἀποδίδωσι. τί

2. Ἤ] *Διὰ . . . μεσότητες*; repetens praeponit Bagolinus. αὐτό τε] Victorius addito P, Bagolinus, τό τε vulg. vid. Arist. Ethic. II, 5 init. 10. καὶ ἐπὶ τῶν ζώων ἄλλων ἑκάστου ἀλλὰ] om. T, ex V male supra haec verba post ὁ δ' αὐτὸς λόγος notata sunt, conf. Victor. ad Arist. Ethic. p. 91. nos cum Bagolino suo loco restituimus.

λοι' οὖν ἐστι τοιοῦτον, ἐφεξῆς ἰδεῖν· τὸ γὰρ εὑρεθὲν εἴη ἂν ἡ ἀρετή. ἐπεὶ τοίνυν ὁρῶμεν ἐν παντὶ ποσῷ καὶ πρόσθεσιν καὶ ἀφαίρεσιν δεχομένῳ τὸ μὲν ὑπερβάλλον καὶ τὸ ἐλλεῖπον ὂν αὐτοῖς φευκτέα ὄντα, τὸ δ' ἴσον καὶ τὸ σύμμετρον καὶ τὸ μέσον αἱρετά τε καὶ ἐν αὐτῷ τὴν οἰκείαν ἀρετὴν ἔχοντα· ἐπί τε γὰρ τῆς τῶν σωμάτων εὐεξίας τε καὶ ἀρετῆς τοῦ σώματος τὰ μὲν ὑπερβάλλοντα καὶ ἐνδέοντα γυμνάσια καὶ γενέσθαι κωλύει τὴν εὐεξίαν καὶ φθείρει γενομένην, τὰ δὲ σύμμετρά τε καὶ μέσα καὶ σώζει καὶ ποιεῖ· ἀλλὰ καὶ τὴν ὑγείαν τὰ μὲν ὑπερβάλλοντά τε καὶ ἐνδέοντα σιτία διαφθείρει, σώζει δὲ οὖσαν, καὶ μὴ οὖσαν ποιεῖ τὰ μέσα τε καὶ σύμμετρα· ἀλλὰ καὶ ἐπὶ πλαστικῆς ἰδεῖν ἐστιν ἐν τῇ φυλακῇ τῆς ὑπερβολῆς τε καὶ ἐλλείψεως ὂν τὸ γινόμενον κατ' ἀρετὴν ὑπ' αὐτῆς. ὡς δὲ ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τῶν ἄλλων πάντων ἔχει. ἐστὶν δὲ καὶ ἡ ἠθικὴ ἀρετὴ περὶ πάθη τε καὶ πράξεις, ἃ καὶ πρόσθεσιν καὶ ἀφαίρεσιν δέχεται. δῆλον οὖν ὡς εἴη ἂν κατὰ τὰ αὐτὰ καὶ ἡ περὶ τὰ αὐτὰ ἀρετὴ ἐν μεσότητι τούτων. ὥσπερ δὲ ἐπὶ τῶν ἄλλων τὸ μέσον ὡρίζετο ὑπὸ τοῦ κατὰ τὴν τέχνην λόγου, οὕτω καὶ ἐπὶ τῶν παθῶν τε καὶ τῶν πράξεων εἴη ἂν ὁριζόμενον τὸ μέσον τε καὶ σύμμετρον ὑπὸ φρονήσεώς τε καὶ τοῦ ὀρθοῦ λόγου, καθ'

6. αὐτῷ] Victorius, qui et τῷ εὖ coniecerat, Bagolinus, τῷ vulg. 10. γενομένην] γινομένην vulg. 18. καὶ om. T. 19. ἃ] Victorius, ὃ vulg. 21. Fort. κατὰ ταῦτα καὶ περὶ ταῦτα.

ὃν ὁρισθέντα τε καὶ πραττόμενα ἐν τῷ εὖ τὸ ἄκρον ἔχοι. διὸ καί φαμεν εἶναι λόγον τῆς ἠθικῆς ἀρετῆς ἕξιν προαιρετικὴν τῆς μεσότητος τῆς πρὸς ἡμᾶς, τῆς περὶ τὰ πάθη τε καὶ τὰς πράξεις, τῆς ὡρισμένης τῷ ὀρθῷ λόγῳ, τοῦ ἐν τοῖς ἄκροις εὖ τε καὶ καλοῦ τυγχάνουσαν. ὅτι δὲ οὕτως ἔχει, δῆλον ἑκάστην τῶν ἠθικῶν ἀρετῶν προχειριζομένοις. ἥ τε γὰρ ἀνδρία τὰς ὑπερβολὰς τοῦ τε θάῤῥους καὶ τῶν φόβων, ὁμοίως δὲ καὶ τὰς ἐλλείψεις φυλασσομένη τοῦ εὖ τούτοις ἐντυγχάνει· τῶν δὲ περὶ τὰς ὑπερβολάς τε τούτων καὶ τὰς ἐνδείας ἕξεων ἡ μέν ἐστι θρασύτης, ἡ δὲ δειλία, κακία οὖσα αὐτῶν ἑκατέρα. ἀλλὰ καὶ ἡ σωφροσύνη τοῦ αὐτοῦ περὶ τὰς σωματικάς τε καὶ δι' ἁφῆς γινομένας ἡδονάς τε καὶ λύπας τυγχάνει, φυλαττομένη μὲν τὰς κατὰ ταῦτα ὑπερβολάς τε καὶ ἐνδείας, αἱρουμένη δέ τι κατὰ τὸν ὀρθὸν λόγον μέσον ἐν αὐταῖς, τῶν δὲ ἐν ταῖς ὑπερβολαῖς τούτων καὶ ἐνδείαις ἕξεων ἡ μὲν κατὰ τὴν ὑπερβολὴν ἀσωτία, ἡ δὲ κατὰ τὴν ἔνδειαν ἀναισθησία. ὁμοίως δὲ ταῖς ἕξεσι ταύταις ἔχουσι καὶ περὶ τὰς ἄλλας πράξεις καὶ τὰ ἐν αὐταῖς πάθη αἵ τε ἀρεταὶ μεσότητες οὖσαι καὶ αἱ κατὰ τὰς ὑπερβολάς τε καὶ τὰς ἐνδείας κακίαι.

1. ἐν τῷ εὖ τὸ] τὸ ἐν τῷ εὖ vulg. 2. ἔχοι vulg. 3. προαιρετικὴν] Victorius, διαιρετικὴν διὰ vulg. 7. ἔχοι vulg. 11. φυλασσομένη] Victorius, φυλασσομένης vulg. ἐντυγχάνει] fort. τυγχάνει. Victorius, Bagolinus ἐν τούτοις τυγχάνει. 13. ἕξεων] ἐξ ὧν T. 17. κατὰ ταῦτα] κατ' αὐτὰ T. 20. ἕξεων] ἐξ ὧν T.

Τῶν δὲ οὐ φασκόντων τὰς ἀρετὰς εἶναι μεσότητας ἢ δι' ἄγνοιαν τῶν εἰρημένων ἢ διὰ φιλοτιμίαν τοῦ καὶ πρὸς τοῦτο δοκεῖν τι λέγειν οἱ μὲν οὐ φάσκοντες δύνασθαι μεσότητα τὴν ἀρετὴν εἶναι διὰ τὸ δεῖν μὲν τὸ μέσον ὁρίζεσθαι τοῖς ἄκροις καὶ ἀπὸ τούτων ἴσον ἀφεστάναι, μὴ εἶναι δὲ μήτε ἐν τοῖς πάθεσι μήτε ἐν ταῖς πράξεσι μήτε τὰς ὑπερβολὰς μήτε τὰς ἐνδείας ὡρισμένας· οὔτε γὰρ ἡ τοῦ θαῤῥεῖν ἀμετρία μέχρι τίνος πρόεισιν, ἐστὶν ὡρισμένον, οὔτε ἡ τοῦ φοβεῖσθαι. πρὸς δὴ τούτους λέγοιτο ἄν, ὅτι μὴ ἐνόησαν τὸ ἐν τῷ ὁρισμῷ προσκείμενον τῇ μεσότητι, ἐστὶ δὲ τοῦτο τὸ πρὸς ἡμᾶς, καί τοι σαφῶς αὐτὸ διορίσαντος Ἀριστοτέλους καὶ δείξαντος, ὅτι τὸ μὲν πρὸς τὸ πρᾶγμα μέσον δεῖται τοῦ τῶν ἄκρων ὅρου, εἴ γε τὸ οὕτω μέσον ἴσον ἀπέχει τῶν ἄκρων, τὸ δὲ πρὸς ἡμᾶς μέσον οὔτε ἓν [ἦν] καὶ τὸ αὐτὸ πᾶσιν, οὔτε εὑρίσκεται ἐν τῇ ἴσῃ τῶν ἄκρων ἀποστάσει. τοὐναντίον γὰρ ἡ εὕρεσις τοῦ οὕτω μέσου γνωρίμου γεγονότος ἐποίει καὶ τὰς ἐφ' ἑκάτερα ἐκβάσεις τοῦ μέσου. ὡς γὰρ ἐπὶ τῶν τεχνῶν ὁρισθὲν τὸ καθ' ἕκαστον τῶν εἰρημένων μέσον τε καὶ σύμμετρον τῷ τῆς τέχνης λόγῳ τὰς ἐκτροπὰς καὶ παραβάσεις δείκνυσιν τὰς ἐφ' ἑκάτερα τοῦ μέσου, οὕτω δὲ

3. τοῦ] Victorius, τῷ vulg. τοῦτο] τούτῳ vulg. 5. μὲν τὸ] μὲν τὸν vulg. 11. τούτους] Victorius, τούτοις vulg. 14. Ἀριστοτέλους] Ethic. II, 5 et 6. 18. ἓν] Victorius addito P. Bagolinus. εὖ vulg. vid. Arist. pag. 1106, 30. ἦν del.

ἔχει καὶ ἐπὶ τῶν παθῶν τε καὶ πράξεων. ὁρισθὲν γὰρ τὸ κατ' αὐτὴν σύμμετρον ἑκάστῳ ὑπὸ τῆς φρονήσεως καὶ τοῦ κατ' αὐτὴν λόγου πάσας τὰς τούτου παραβάσεις ποιεῖ γνωρίμους, οὐδὲν δεομένη τῆς προσόδου τῆς ἐπὶ τὰ πέρατα αὐτῶν, ἀλλ' αὐτόθεν κωλύουσα αὐτὰς τῷ ταῖς πρώταις αὐτῶν ἐκτροπαῖς ἐνίστασθαι ταῖς γινομέναις παρὰ τὸ μέσον τε καὶ σύμμετρον.

Ἀλλὰ καὶ ὁ λέγων μὴ εἶναι τὴν ἀρετὴν μέσην δύο κακιῶν τῶν ἑκατέρωθεν αὐτῆς· μὴ γὰρ ἕπεσθαι αὐτῇ κακίαν ἐναντίαν τῷ τὸ μὲν μέσον μηδετέρου τῶν ἐφ' ἑκάτερα τῶν ἄκρων πλεῖστον ἀφεστάναι, ἐναντία δὲ εἶναι τὰ ἐν τῷ αὐτῷ γένει πλεῖστον ἀλλήλων διεστῶτα, οὐδὲ οὗτος εἴη ἂν κινῶν τι τῶν κειμένων. εἰ μὲν γὰρ ἦν ἡ ἀρετὴ αὐτὰ τὰ μέσα πάθη καὶ αὐταὶ αἱ μέσαι πράξεις, ἔλεγον ἄν τι· νῦν δ' οὐ ταῦτα ἡ ἀρετή, ἀλλὰ περὶ ταῦτα. τὸ δὲ εἶναι αὐτῇ ἀρετῇ ἐν τῷ ὡρίσθαι τῷ ὀρθῷ λόγῳ καὶ συμμετρίᾳ τὸ εἶναι ἔχειν, ταῖς δὲ ὑπερβολαῖς καὶ ἐνδείαις τὸ κακίαις εἶναι παρά τε τοῦ ἡμαρτημένου λόγου καὶ τῆς ἀσυμμετρίας, καθ' ὅσον ἡ μὲν κατὰ τὸν ὀρθὸν λόγον ἃ πράττει πράττει, καί ἐστιν ἐν συμμετρίᾳ, ἡ δὲ κατὰ τὸν ἡμαρτημένον λόγον, καὶ ἐν ἀσυμμετρίᾳ ἡ ἐναντίωσις αὐταῖς, ἐπεὶ κατά γε αὐτὰ τὰ πάθη καὶ τὰς πράξεις καὶ τὸ ἐν τούτοις ποσὸν αἱ ἔνδειαι ταῖς ὑπερβολαῖς εἴρηνται ὑπ' αὐτοῦ εἶναι ἐναντίαι.

2. ἑκάστῳ] fort. ἕκαστον. 16. ἔλεγον] fort. ἔλεγεν. 18. αὐτῇ ἀρετῇ] αὕτη ἀρετή vulg. fort. αὐτῇ del. 23. ἐν om. T. 25. αὐτὰ τὰ] τὰ αὐτὰ Bagolinus.

Καὶ ὁ λέγων δὲ μὴ εἶναι τὴν ἀρετὴν μεσότητα, δεήσει γὰρ τὸν τὴν ἀρετὴν ἔχοντα τῷ μέσῳ εὖ μετιέναι, ἀλλ' οὐ τὸ ἄκρως, οὐδ' οὗτος μὲν δὴ νοήσας τὰ εἰρημένα λέγει. εἴρηται γάρ, ὅτι ἐστὶν ἡ περὶ τὰ πάθη καὶ τὰς πράξεις μεσότης κατὰ τὸν προειρημένον τρόπον ἐν τῷ εὖ ἀκρότης. ἄκρως γὰρ εὖ ἔχει τὸ γινόμενον ἐν ἐκείνοις [ἃ] μέσως τε καὶ συμμέτρως· οὐδὲν γὰρ κωλύει τὸ ἄκρον τινῶν ἐν μεσότητι ἄκρον τινῶν εἶναι. διο ἄτοπος καὶ ὁ λέγων, εἰ ἡ ἀρετὴ ἀκρότης ἐστὶ ψυχῆς λογικῆς, μὴ δύνασθαι αὐτὴν εἶναι μεσότητα τῷ μὴ οἷόν τε ταὐτὸν εἶναι ἅμα ἄκρον τε καὶ μέσον. εἰ μὲν γὰρ τοῦ αὐτοῦ τις ἠξίου, ἔλεγον ἄν τι· ἐπεὶ δὲ οὐ τοῦτο λέγεται, εἶεν ἂν αἰτιώμενοι τὰ ἀναίτια.

Ἀλλ' οὐδὲ ὁ λέγων, εἰ ἡ ἀρετὴ μέση δύο κακιῶν, εἴη ἂν καὶ συγκειμένη ἐκ τούτων τῷ τὰ μέσα τῶν ἐναντίων ἐκ τῆς μίξεως τῶν ἐναντίων ἔχειν τὴν σύστασιν, ὡς ἐπὶ χρωμάτων καὶ ὀσμῶν καὶ χυμῶν αὐτὸς ἐν τῷ περὶ αἰσθήσεως εἴρηκεν, οὐδ' οὗτος δὴ ἅπτεταί τινος τῶν κειμένων. οὐ γὰρ εἰ τὰ προειρημένα τοιαῦτα, ἤδη καὶ πάντα μέσα ἐναντίων τινῶν ἐκ τῆς ἐκείνων μίξεως τὸ εἶναι ἔχει. οὐδὲν γὰρ τὸ κατὰ ποσότητά τινα μέσον ἐκ τῶν ἐναντίων ἔχει τὴν σύστασιν, ἀλλὰ

3. τὸ ἄκρως] τῷ ἄκρῳ Victorius, fort. οὐ τῷ μέσῳ τὸ εὖ μετιέναι, ἀλλὰ τῷ ἄκρῳ. οὐδ'] ἀλλ' T. μὲν] μὴ vulg. 7. ἃ om. Bagolinus. 9. μεσότητι ἄκρων vulg. 20. αὐτὸς] οἷς T. ἐν τῷ περὶ αἰσθήσεως] cap. 4.

πᾶν τοὐναντίον ἐν τῇ πρὸς τὰ ἄκρα ἀποστάσει τὸ εἶναι αὐτοῖς μέσοις. ἐπί τε γὰρ τῶν κατὰ τὰς τέχνας γινομένων τὸ μέσον τε καὶ σύμμετρον οὐκ ἐκ τῆς συνθέσεως τοῦ τε ὑπερβάλλοντος καὶ τοῦ ἐνδέοντος, ἀλλ' ἐν τῇ φυγῇ τούτων. οὐ γὰρ ἐκ μίξεως τῶν ὑπερβαλλόντων καὶ ἐνδεόντων γυμνασίων εὐεξία, καί τοι οὖσα ἐν μεσότητι αὐτῶν· ἀλλ' οὐδὲ ἡ ὑγεία τοῦτον γίνεται τὸν τρόπον· ἀλλ' οὐδὲ ἡ πλαστικὴ τὰς ὑπερβολὰς καὶ τὰς ἐνδείας συντίθησιν. οὐδὲ τὸ κέντρον δὲ τοῦ κύκλου ἐκ μίξεως τούτων ἐστὶν ὧν ἀφέστηκεν πλεῖστον, ἀλλ' οὐδὲ τὰ μεταξὺ τῶν τε ἀγαθῶν καὶ τῶν κακῶν ἐξ ἐκείνων μέμικται. ἀλλ' οὐδὲ τὸν προκόπτοντα συγκεῖσθαι ἐκ κακίας τε καὶ ἀρετῆς φήσαι τις ἄν.

Οὐδὲ ἐκεῖνο ὑγιὲς τὸ λέγειν, εἰ μεσότης ἡ ἀρετὴ, δεήσει ἀπὸ τῆς ἐνδείας εἰς τὴν ὑπερβολὴν προϊόντα πρῶτον ἐν ἀρετῇ γενέσθαι. εἰ μὲν γὰρ ἦν τὰ μέσα πάθη καὶ αἱ μέσαι πράξεις αἱ ἀρεταὶ, ἴσως ἄν τι ἦν λεγόμενον· εἰ δ' ἐστὶν ἀρετὴ ἐν τῷ ὡρίσθαι ταῦτα τῷ ὀρθῷ λόγῳ, οὐ πάντως ὁ ἐν μέσῳ πάθει τινὶ γινόμενος ἤδη γίνεται ἐν αὐτῷ ὡς κατὰ τὸν ὀρθὸν λόγον αὐτὸ πάσχειν ἢ τὴν μέσην πρᾶξιν πράττειν ὁμοίως. οὐδὲ ἄλλως δὲ τοῦτο τοῦτον ἐπὶ πάντων συμβαίνει τὸν τρόπον· οὐ γὰρ ἐκ τοῦ διὰ ὑπερβολήν τινος τῶν μερῶν αἴσχους εἰς τὸ κατ' ἔνδειάν τε καὶ ἔλλειψιν μεταβάλλον πρῶτον γίνεται κάλλος.

Ἄτοπον δὲ καὶ τὸ λέγειν, καθ' οὓς μεσότητες

αἱ ἀρεταὶ, κατὰ τούτους γίνεσθαι καὶ κακίας μέρος ἀρετήν· τῆς γὰρ θρασύτητος εἰ τὸ ὑπερβάλλον ἀφαιρεθείη, τὸ καταλειπόμενον αὐτῆς μέρος ἀνδρία ἂν εἴη· ἀλλὰ καὶ τῆς ἀνδρίας εἰ ἀφαιρεθείη μέρος τι, καθὸ τῆς δειλίας ὑπερέχει, γίνεσθαι τὸ καταλειπόμενον αὐτῆς μέρος δειλίαν. ἱκανῶς γὰρ περὶ τούτων καὶ αὐτὸς εἶπεν, δεικνὺς ὅτι πᾶν τὸ τῆς κακίας μέρος κακία, καὶ πᾶν ἀρετὴ τὸ τῆς ἀρετῆς. ἢ γὰρ οὐ ταῦτα ἦν τὰ λυόμενα διὰ τῆς λέξεως τῆς: *οὐ πᾶσα δὲ ἐπιδέχεται πρᾶξις, οὐδὲ πᾶν πάθος τὴν μεσότητα· ἔνια γὰρ εὐθὺς ὠνόμασται συνειλημμένα μετὰ τῆς φαυλότητος, οἷον ἐπιχαιρεκακία ἀναισχυντία φθόνος, καὶ ἐπὶ τῶν πράξεων μοιχεία κλοπὴ ἀνδροφονία. πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα λέγεται τῷ φαῦλα εἶναι, ἀλλ' οὐ καὶ ὑπερβολαὶ αὐτῶν ἀλλ' οὐδὲ ἐλλείψεις. οὐκ ἔστιν οὖν οὐδέποτε περὶ αὐτὰ κατορθοῦν, ἀλλ' ἀεὶ ἁμαρτάνειν, οὐδέ ἐστι τὸ εὖ ἢ μὴ εὖ περί τε τὰ τοιαῦτα ἐν τῷ ἣν δεῖ καὶ ὅτε καὶ ὡς μοιχεύειν, ἀλλ' ἁπλῶς ποιεῖν ὁτιοῦν τούτων ἁμαρτάνειν ἐστίν.* ὅμοιον οὖν

1. αἱ ἀρεταὶ] Victorius, αἱρεταὶ vulg. 2. εἰ] Victorius, εἰς vulg. 10. λυόμενα] vulg. λεγόμενα Victorius; fort. τὰ del. vid. Ethic. II, 6 pag. 1107. 8. 17. φαῦλα] αὐτὰ φαῦλα V. fort ex Aristot. οὐ καὶ] οὐχ αἱ Victorius addito P ex Arist. 18. ἀλλ' οὐδὲ] οὐδὲ αἱ V. ex Aristotele. 20. ἁμαρτάνειν] Victorius, ἁμαρτάνει vulg. ἢ] Victorius, εἰ vulg. 21. ἣν] ἦν vulg. 23. οὖν om. T.

καὶ τὸ ἀξιοῦν περὶ τὸ ἀδικεῖν καὶ δειλαίνειν καὶ ἀκολασταίνειν μεσότητα εἶναι καὶ ὑπερβολὴν καὶ ἔλλειψιν· ἔσται γὰρ οὕτω γε ὑπερβολῆς καὶ ἐλλείψεως μεσότης καὶ ὑπερβολῆς ὑπερβολὴ καὶ ἔλλειψις ἐλλείψεως. ὥσπερ δὲ σωφροσύνης καὶ ἀνδρίας οὐκ ἔστιν ὑπερβολὴ καὶ ἔλλειψις διὰ τὸ μέσον εἶναί πως ἄκρον, οὕτως οὐδὲ ἐκείνων μεσότης οὐδὲ ὑπερβολὴ οὐδὲ ἔλλειψις, ἀλλ' ὡς ἂν πράττηται ἁμαρτάνεται. ὅλως γὰρ οὔτε ἐλλείψεως καὶ ὑπερβολῆς μεσότης ἐστὶν, οὔτε μεσότητος ὑπερβολὴ καὶ ἔλλειψις. διὰ γὰρ τούτων οὐ μόνον τὴν προειρημένην λέλυκεν ἀπορίαν, ἀλλὰ καὶ πάντα τὰ πρὸς τὴν δόξαν ἀπορεῖσθαι δυνάμενα.

Πότερον ἢ ὡς γένος ἢ ὡς ὅλον τῶν ἀρετῶν ἡ ἀρετή. κη'.

Ἐπεὶ τοῖς μὲν ὡς γένος τῶν ἀρετῶν τὴν ἀρετὴν κατηγορεῖσθαι λέγουσιν εἵπετο ἄτοπον τὸ μιᾶς ἀναιρουμένης ἀναιρεῖσθαι πάσας· τῆς γὰρ φρονήσεως ἀναιρεθείσης οὐδ' ἄλλην οἷόν τε ἔχειν ἀρετὴν, οὐχ οὕτω δὲ τὸ γένος ἔχειν πρὸς

2. εἶναι μεσότητα Aristotelis libri. 8. τό] sic pro τὸ τό plures Aristot. libri. 10. οὐδὲ] καὶ Aristot. libri. 11. ὑπερβολῆς καὶ ἐλλείψεως Arist. libri. 17. vide supra IV, 8.

τὰ εἴδη, ὡς ἑνὸς εἴδους ἀναιρέσει συναναιρεῖσθαι αὐτό τε καὶ τἆλλα εἴδη· τοῖς δὲ τὸ ὡς ὅλων μερῶν εἵπετο τὸ μὲν ὅλον τῶν μὴ ὁμοιομερῶν αὐτῷ μερῶν μὴ κατηγορεῖσθαι συνωνύμως· οὐ γὰρ κατὰ τῆς κεφαλῆς τοῦ ἀνδριάντος ὁ ἀνδριὰς καὶ ὁ λόγος αὐτοῦ· οὐσῶν δέ γε τῶν ἀρετῶν διαφερουσῶν ἀλλήλων ἡ ἀρετὴ κατὰ πασῶν συνωνύμως κατηγορεῖται. ἢ εἰ τὸ ὅλον τὸ ὁμοιομερὲς τῶν μερῶν συνωνύμως κατηγορεῖται, πᾶσαι δὲ αἱ ἀρεταὶ ὅμοιαι ἀλλήλαις, εἴ γε ἣν ἂν λάβῃς ὡς τελειῶν, ὁμοίως ἐκ πασῶν σύγκειται, εἴη ἂν ὡς ὁμοιομερὴς ὅλη κατηγορουμένη ἑκάστης συνωνύμως; ὁ γὰρ ἔχων τὴν τελείαν ἀρετὴν ὁμοίως πάσας ἔχει, ἔχων δὲ ὁμοίως πάσας λέγεταί ποτε μὲν κατ' ἀνδρίαν, ποτὲ δὲ κατὰ σωφροσύνην ἐνεργεῖν τῷ περὶ ἃ ἰδίως ἐστὶν ἡ σωφροσύνη, περὶ ταῦτα πάσαις ὁμοίως ἐνεργεῖν. ὡς γὰρ ἐν τοῖς σώμασιν τοῖς ἐκ διαφερόντων μιγνυμένοις τινῶν τὸ μιχθὲν ὁμοιομερὲς παντὶ γίνεται, οὕτω καὶ ἐπὶ τῶν ἕξεών τε καὶ τῶν ἀρετῶν γίνεται. αἱ γὰρ διαφέρουσαι ἀλλήλων ἀρεταὶ τῷ τὴν μὲν αὐτῶν περὶ τάδε τινὰ εἶναι, τὴν δὲ δὴ περὶ τάδε, ὡς ἔχον ἐπὶ τῶν φυσικῶν ἀρετῶν ὁρῶμεν· αὗται γὰρ ἐν τῇ τελειώσει, ἣ γίνεται ἐν τῇ ἑκάστῃ αὐτῶν πρὸς τὰς ἄλλας μίξεις, τὸ πᾶν

3. τὸ μὲν ὅλον] τῶν μὲν ὅλων T. 11. τελειῶν] ut perfectis ipsis Bagolinus, fort. τελεία. σύγκειται] δέδεικται V. 22. τάδε] τήνδε T. δὴ] δὲ T.

ὁμοιομερὲς ποιοῦσιν, ὡς γίνεσθαι μὲν δοκεῖν καθ' ἑκάστην αὐτῶν ἐνέργειαν, ὅταν περὶ ταῦτα γίνηται, περὶ ἃ ἦν τῇ ἀτελεῖ τε καὶ φυσικῇ ἀνδρίᾳ φέρ' εἰπεῖν τὸ εἶναι· οὐ μὴν κατ' ἐκείνην μόνην ἐνεργεῖ περὶ αὐτά, ὧν διὰ τὴν τοιαύτην μίξιν ὁμοίων οἰσῶν ἀλλήλαις εἰκότως ἡ ἀρετὴ συνωνύμως κατηγορεῖται· ταύτας γὰρ καὶ κυρίως ἀρετάς φαμεν.

Ἄλλης λέξεως ἐξήγησις ἐκ τοῦ γ' τῶν Νικομαχείων Ἠθικῶν Ἀριστοτέλους, δι' ἧς δείκνυται, ὅτι καὶ αἱ κακίαι ταῖς ἀρεταῖς ὁμοίως ἐφ' ἡμῖν. κθ'.

Εἰ δέ τις λέγοι ὅτι πάντες ἐφίενται τοῦ φαινομένου ἀγαθοῦ, τῆς δὲ φαντασίας οὐ κύριοι, ἀλλ' οἷός ποθ' ἕκαστός ἐστι, τοιοῦτο καὶ τὸ τέλος φαίνεται αὐτῷ. εἰ μὲν οὖν ἕκαστος τῆς ἕξεως αὐτῷ ἐστί πως αἴτιος, καὶ τῆς φαντασίας ἔσται πως αὐτὸς αἴτιος· εἰ δὲ μηδεὶς αὐτῷ αἴτιος τοῦ κακὰ ποιεῖν, ἀλλ' ἢ δι' ἄγνοιαν τοῦ τέλους ταῦτα πράττει, διὰ τούτων οἰόμενος αὐτῷ τὸ ἄριστον ἔσεσθαι. ἡ δὲ

9. ἐκ τοῦ γ] Ethic. Nicom. III, 7, pag. 1114, 31. 15. κύριοι ὑπάρχουσιν V. οἷος] ὁποῖος Aristot. libri. 19. μηδεὶς] sic et plures Arist. libri, meliores μὴ, οὐθείς. αὐτῷ] αὐτοῦ vulg. 20. ἀλλ' ἢ] ἀλλὰ Arist.

τοῦ τέλους ἔφεσις οὐκ αὐθαίρετος, ἀλλὰ φῦναι δεῖ ὥσπερ ὄψιν ἔχοντα, ᾗ κρίνει καλῶς καὶ τὸ κατ' ἀλήθειαν ἀγαθὸν αἱρήσεται, καὶ ἔστιν εὐφυὴς ᾧ τοῦτο καλῶς πέφυκεν· τὸ γὰρ μέγιστον καὶ κάλλιστον, καὶ ὃ παρ' ἑτέρων μὴ οἷόν τε λαβεῖν μηδὲ μαθεῖν, ἀλλ' οἷον ἔφυ τοιοῦτον ἕξει, καὶ εὖ καὶ τὸ καλῶς τοῦτο πεφυκέναι ἡ τελεία καὶ ἀληθινὴ εἴη ἂν εὐφυΐα.

Ἢ τὸ μὲν πάντα ἐφίεσθαι τοῦ φαινομένου αὐτοῖς ἀγαθοῦ ἀληθὲς, οὐκ ἀληθὲς δὲ τὸ τῆς φαντασίας μὴ κυρίους ἡμᾶς πως εἶναι; οἷος μὲν γάρ ποτε ἕκαστός ἐστι, τοιοῦτον αὐτῷ καὶ τὸ τέλος φαίνεται, τῆς δὲ ἕξεως καθ' ἣν ἕκαστος ἡμῶν ἐστι τοιοῦτος, αὐτοῖς ἐσμεν συναίτιοι, εἴ γε ἐκ μὲν τῶν ἐνεργειῶν αἱ ἕξεις, αἱ δὲ ἐνέργειαι ἐφ' ἡμῖν. εἰ γὰρ ἀκούσιον τό τε βίᾳ καὶ διὰ τὴν τῶν καθ' ἕκαστα ἄγνοιαν γινόμενον· δέδεικται γὰρ ὅτι ἀγνοοῦντες ἃ πράττουσί τε καὶ ἁμαρτάνουσιν ὡς ἀγνοίας αὐτοὶ αἴτιοι, ταῦτα οὔτε ἀκούσια οὔτε τὴν ἀρχὴν δι' ἄγνοιαν γίνεται. διὰ ταύτην γοῦν τὴν αἰτίαν οὐδὲ τὰ περὶ τὰς μέθας ἁμαρτανόμενα ἀκούσια, καίτοι ὑπὸ ἀγνοούντων γίνεται, ἀλλ' ἐπεὶ αὐτοῖς οἱ μεθύοντες αἴτιοι τῆς ἀγνοίας τῆς παρὰ τὴν μέθην οὐκ ἐν

2. ᾗ] ᾗ εἰ V, ἢ εἰ T. 4. ᾧ] ὡς T. 6. ἑτέρου Aristot. 8. τὸ εὖ Arist. καὶ τὸ om. T. 19. ἃ om. T. Fort. δέδεικται δὲ ὅτι ἀγνοοῦντες ἃ πράττουσι, πράττουσί τε. 25. παρὰ] fort. περὶ et sic infra.

τοῖς ἀκουσίοις ἁμαρτανομένοις ταῦτα τίθεται. Πιττακὸς γοῦν ὁ Μιτυληναῖος διπλᾶ ἐπιτίμια ὥρισεν τῶν παρὰ τὴν μέθην ἁμαρτανομένων. ἃ γὰρ αἰτίαν ἔχει τῶν ἁμαρτανομένων [ἑκούσιόν τε καὶ ἐφ' ἡμῖν], εἴη ἂν ταῦτα καὶ αὐτὰ ἑκούσιά τε καὶ ἐφ' ἡμῖν. ὡς δὲ τῶν παρὰ τὴν μέθην ἀγνοουμένων οἱ μεθύοντες αἴτιοι, οὕτω καὶ τῶν δι' ἄγνοιαν τῶν καλῶν τε καὶ αἰσχρῶν ἁμαρτανομένων οἱ ἀγνοοῦντες αἴτιοι, εἴ γε ἐφ' ἡμῖν ἡ γνῶσις τῶν βελτιόνων τε καὶ χειρόνων. οἱ γὰρ δι' ἀμέλειαν ἀγνοοῦντες τά τε ὑπὸ τῶν νόμων ὡρισμένα καὶ τὰ ὑπὸ τῶν ἐπαινουμένων ἀνδρῶν γινόμενα τῆς ἀγνοίας αὐτοῖς αἴτιοι, εἴ γε τὸ ἀμελεῖν ἐφ' ἡμῖν. ἡ γὰρ τῶν καλῶν τε καὶ συμφερόντων ἄγνοια καθόλου οὐ τοῦ ἀκουσίου, ἀλλὰ τῆς μοχθηρίας αἰτία. ἐφ' οἷς γὰρ οἱ ψόγοι τε καὶ αἱ κολάσεις, ταῦτα ἑκούσια, ἐπὶ δὲ τῇ τῶν τοιούτων ἀγνοίᾳ ἀφίενταί τε καὶ ζημιοῦνται. οὔτ' οὖν ταῦτα τῶν ἀγνοουμένων ἀκούσια, οὔτε τῶν βίᾳ γίνεσθαι λεγομένων ἐν ἡμῖν ἡ ἀρχή. ὁ γὰρ ὑφ' ἡδονῆς βιαζόμενός τε καὶ ἡττώμενος, ἐν αὑτῷ τὴν ἀρχὴν ἔχων τοῦ ἐπὶ ταῦτα κινεῖσθαι, διὰ τὴν ἡδονὴν ποιεῖ, οὐκ ἔξωθεν τῆς τοιαύτης βίας τὴν αἰτίαν ζητήσας, ὡς καὶ διὰ τῆς τῶν καθ' ἕκαστα ἐνεργείας ἐθίσας αὐτὸν ἡττᾶσθαι τῆς ἡδονῆς, εἴ γε βίᾳ γίνεται ὧν ἡ ἀρχὴ καὶ ἡ αἰτία ἔξω-

4. ἑκούσιόν τε καὶ ἐφ' ἡμῖν abundant et om. Bagolinus.
5. ἑκούσια] Bagolinus, ἀκούσια vulg.

θεν, μηδὲν μὲν ἡμῶν πρὸς τὰ δι' αὐτὴν γινόμενα συντελούντων, ὁ δὲ ἐν αὑτῷ γε τὴν ἀρχὴν τοῦ πράττειν ἔχων ἃ πράττει τε καὶ τοῦ βουλεύεσθαι περὶ αὐτῶν ἐξουσίαν ἔχων, οὗτος οὐκ ἔχει τῶν οὕτως ἁμαρτανομένων βίαιον αἰτίαν. ὄντος δὴ ὡς ἐῤῥέθη ἀκουσίου τοῦ προειρημένου τὸ ἑκούσιον γίνεται, οὗ ἡ ἀρχὴ ἐν ἡμῖν εἰδόσι τὰ καθ' ἕκαστα, περὶ ἃ ἡ πρᾶξις. οὔτε γὰρ ὁ τὴν ἀρχήν τε καὶ αἰτίαν τῶν πραττομένων ἔχων ἐν αὑτῷ βίᾳ ταῦτα πράττει, οὔτε ὁ εἰδὼς τὰ καθ' ἕκαστα, περὶ ἃ καὶ δι' ὧν ἡ πρᾶξις, δι' ἄγνοιαν αὐτὰ ποιεῖ, ὥστε εἰ ἀκούσια τὰ ἢ βίᾳ ἢ δι' ἄγνοιαν, ὧν δὲ πραττομένων ἡ ἀρχή τε ἐν ἡμῖν καὶ γνωρίζεται τὰ καθ' ἕκαστα, ταῦτα οὔτε βίᾳ οὔτε δι' ἄγνοιαν, οὐδ' ἂν ἀκούσια εἴη, εἰ δὲ μὴ τοῦτο, ἑκούσια. διὸ καὶ τὰ διὰ θυμόν τε καὶ ἐπιθυμίαν πραττόμενα ἑκούσια· ἐν ἡμῖν γὰρ ἡ ἀρχὴ τῶν τοῦτον γινομένων τὸν τρόπον. προσέτι τε εἰ τὰ διὰ ταῦτα γινόμενα ἀκούσια, οὐδὲν ἂν οὔτε τῶν ἀλόγων ζώων οὔτε τῶν παιδίων ἑκουσίως τι ποιοῖ· διὰ γάρ τι τούτων τὰ γινόμενα ὑπ' αὐτῶν γίνεται πάντα. ἔτι τε πολλὰ καὶ τῶν καλῶν διὰ ταῦτα γίνεται· ἔτι δ' εἰ ἄτοπον ἀκούσια λέγειν τὰ γινόμενα κατὰ λόγον τε καὶ εὐλόγως, κατὰ λόγον δὲ ὀρεγόμεθά τινων καὶ ὀργιζόμεθά τισιν, οὐκ ἂν εἴη ἀκούσια τὰ γινόμενα διὰ ταῦτα.

1. μὲν om. T. 10. τὰ] Victorius, τὰς vulg. 22. ὑπ'] ὑφ' vulg.

ὄντων δὴ πάντων τῶν οὕτω γινομένων ἑκουσίων, τῶν ἑκουσίων ταῦτα τὸ ἐφ᾽ ἡμῖν ἔχει, ὅσα ἐστὶ προαιρετά τε καὶ κατὰ προαίρεσιν γινόμενα, πᾶν τε τὸ κατὰ προαίρεσιν γινόμενον μετὰ λόγου τε καὶ προαιρέσεως γίνεται, διὸ καὶ δοκεῖ ἡ προαίρεσις εἶναι ἑκούσιον προβεβουλευμένον· περὶ γὰρ τὰ βουλευτὰ ἡ προαίρεσις, βουλευτὰ δέ ἐστιν περὶ ὧν ἔστι βουλή τε καὶ τὸ βουλεύεσθαι, βουλεύεται δὲ οὐδὲν ζῶον ἄλλο παρὰ τὸν ἄνθρωπον, βουλευόμεθα δὲ οὔτε περὶ τῶν ἀϊδίων καὶ ἀεὶ ὁμοίως ἐχόντων, οὔτε περὶ τῶν γινομένων μὲν, ἀεὶ δὲ γινομένων ὁμοίως τε καὶ κατὰ τάξιν ὡρισμένην, ὧν εἰσιν ἀνατολαί τε καὶ δύσεις καὶ τροπαὶ, ἀλλ᾽ οὐδὲ περὶ τῶν ἄλλοτε ἄλλως ἐχόντων καὶ γινομένων, οἷον αὐχμῶν τε καὶ ὄμβρων, ἀλλ᾽ οὐδὲ περὶ τῶν γινομένων ἀπὸ τύχης, ἀλλ᾽ οὐδὲ περὶ τῶν ὑπ᾽ ἀνθρώπων γινομένων ἁπάντων· οὐδεὶς γὰρ τῶν Ἀθήνησιν ὄντων βουλεύεται, πῶς ἂν Σκύθαι ἄριστα πολιτεύοιντο· περὶ γὰρ τούτων βουλευόμεθα, ἃ οἷά τέ ἐστιν δι᾽ ἡμῶν γίνεσθαι· ἔστι γὰρ ἡ βουλὴ περὶ τῶν ἡμῖν τοῖς βουλευομένοις πρακτῶν. οἱ γὰρ βουλευόμενοι βουλεύονται περὶ τῶν δι᾽ αὑτοὺς πρακτῶν, ἔστι δὲ τοιαῦτα, ἃ ἄλλοτε ἄλλως οἷοί τε ποιεῖν ἐσμεν τῷ μὴ ἔχειν ὡρισμένα τὰ ἐφ᾽ οἷς γίνεται, τοιαῦτα δὲ περὶ ὧν δοξάζομεν. ἔτι γίνεται ἡ βουλὴ οὐ περὶ τῶν τελῶν, ἀλλὰ περὶ τῶν πρὸς τὰ τέλη. ὧν γὰρ τὰ τέλη βουλευτά ἐστιν, ὄντων πρακτῶν τούτων, ἐστὶ βουλευτὰ τὰ ἄγοντα ἐπ᾽ αὐτά· βουλευόμεθα γὰρ,

δι' ὧν δυνησόμεθα αὐτῶν τυχεῖν. ὄντων δὴ τῶν βουλευτῶν τοιούτων τὸ προαιρετόν ἐστι τὸ ἐκ τῶν βουλευτῶν προκριθὲν ὡς μᾶλλον τῶν ἄλλων συντελοῦν τε καὶ ἄγον πρὸς τὸ προκείμενον τέλος, αἵ εἰσιν αἱ κατὰ τὰ προκριθέντα ἐκ τῶν βουλευτῶν γινόμεναι πράξεις προαιρεταὶ, αἳ γίνονται μετὰ ὀρέξεως τοῦ προκριθέντος. οὐ γὰρ αὐτάρκης ἡ κρίσις πρὸς τὴν πρᾶξιν τῶν κριθέντων, ἀλλὰ δεῖ καὶ ὀρέξεως, διὸ καὶ ἡ προαίρεσις εἶναι λέγεται ἡ ὄρεξις βουλευτική. ὄντων δὲ τῶν κατὰ προαίρεσιν γινομένων ἑκουσίων τε καὶ ἐφ' ἡμῖν, κειμένου δὲ καὶ τοῦ τὰς ἕξεις τὰς περὶ τὰ πρακτὰ ἐκ τῶν ἐνεργειῶν τῶν περὶ αὐτὰ γίνεσθαι κατὰ προαίρεσιν ἐνεργουμένων, εἴη ἂν διὰ τούτων κείμενον καὶ τὸ τὰς ἕξεις τὰς περὶ τὰ πρακτὰ ἑκουσίους τε εἶναι καὶ ἐφ' ἡμῖν. ὡς γὰρ τὰς κατὰ τέχνας ἕξεις ἐκ τῶν κατ' αὐτὰς ἐνεργειῶν κτώμεθα, οὕτω δὲ καὶ τὰς κατὰ τὰς ἀρετὰς ἕξεις κτώμεθα· ἐθιζόμενοι γὰρ τὰ καλὰ πράττειν ἐν ἕξει γινόμεθα τοῦ πράττειν αὐτὰ, ὡς καὶ τὰ τεκτονικὰ οἱ σπουδάζοντες γενέσθαι τέκτονες. ὥσπερ δ' ἐπὶ τῶν τεχνῶν ἄλλος μὲν ἄλλου ἀμείνων πέφυκεν πρὸς τὸ τὴν ἕξιν κτήσασθαι τῆς προκειμένης τέχνης, οὐ μὴν τῶν κατὰ φύσιν ἐχόντων πεπήρωταί τις πρὸς τὴν ἀνάληψίν τε καὶ κτῆσιν αὐτῆς, οὕτως ἔχει πολὺ μᾶλλον ἐπὶ τῶν ἀρετῶν, ὅσῳ καὶ κατὰ φύσιν

19. κτώμεθα] Victorius, ἐκτώμεθα vulg. γὰρ om. T.

τοῖς ἀνθρώποις μᾶλλον ἡ τῶν ἀρετῶν κτῆσις τῆς τῶν τεχνῶν. εἰ δὲ ἡ τῶν ἀρετῶν, δῆλον ὡς καὶ ἡ τῶν κακιῶν, εἴ γε διὰ μὲν τῶν ἀντικειμένων ἐθῶν αἱ κακίαι ταῖς ἀρεταῖς συνίστανται, οἷς δὲ τὰ ἀντικείμενα, ἐπ' αὐτοῖς [ἐπ'] ἐκείνοις καὶ τὰ οἷς ἐκεῖνα ἀντίκειται, ὥστε ἀληθὲς συνημμένον τὸ λέγον, εἰ ἕκαστος τῆς ἕξεως ἑαυτῷ ἐστί πως αἴτιος, καὶ τῆς φαντασίας ἔσται πως αὐτὸς αἴτιος, εἰ ἀληθὲς δὲ καὶ τὸ ἕκαστον τῆς ἕξεως αἴτιον εἶναί πως ἑαυτῷ, ἀληθὲς ἔσται καὶ τὸ τῆς φαντασίας τῆς γινομένης περί τε τῶν ἀγαθῶν καὶ τῶν κακῶν ἕκαστον εἶναί πως αἴτιον ἑαυτῷ. τούτου δὲ τοῦτον ἔχοντος τὸν τρόπον καὶ τοῖς κακοῖς τῆς τοιαύτης ἕξεως ἑαυτοῖς πως οὖσιν αἰτίοις, ἕπεται τὸ ἐπ' αὐτοῖς εἶναί πως καὶ τὰ ἀγαθὰ αὐτοῖς κακοὶ φαίνεσθαι· οὐ γὰρ εἰ ἀγνοοῦντες τὸ τέλος οἱ κακοὶ τὰ κακὰ πράττουσιν, ἤδη καὶ δι' ἄγνοιαν αὐτὰ πράττουσιν. ἐδείχθη γὰρ ἡ τούτων ἄγνοια ἑκούσιος οὖσα, οἷς τοῦ ἀγνοεῖν αὐτοῖς αἴτιοι. τὸ γὰρ οἴεσθαι τεύξεσθαί τε καὶ διὰ τοῦ τὰ φαῦλα πράττειν τοῦ τέλους παρ' αὐτοῖς, εἴ γε ἐπ' αὐτοῖς τὸ γνῶναι τὰ ἀγαθὰ καὶ τὸ πράττειν, δι' ὧν ταῦτα περιγίνεται. φῦναι μὲν γὰρ δεῖ πως τὸν μέλλοντα ἀρετὴν ἢ κακίαν δέχεσθαι, εἴ γε μὴ πᾶν ζῶόν ἐστι τούτων δεκτικὸν, ἀλλ' ἄνθρωπος μόνον· οὐ μὴν εἰ ποίας φύσεως δεῖ τῷ ταῦτα ἕξοντι

5. ἐπ' del. 9. εἰ om. T. 20. οἷς] fort. οἵ. 27. εἰ] om. vulg.

ζώῳ, ἤδη δεῖ καὶ ἔχειν αὐτὸν φύσει τὸ ὄμμα τοῦτο, ᾧ κρίνει τὰ κρινόμενα καλῶς καὶ τὸ κατ᾽ ἀλήθειαν ἀγαθὸν αἱρήσεται, ὅπερ ἐστὶν ἀρετή. οὐ γὰρ ὁμοίως αἵ τε αἰσθήσεις καὶ αἱ ἀρεταὶ φύσει, ἀλλ᾽ αἱ μὲν αἰσθήσεις αὐταὶ φύσει, ἡ δὲ ἀρετὴ οὐκ αὐτὴ φύσει, ἀλλ᾽ ἡ μὲν τοῦ δέξασθαι δύναμις αὐτὴν φύσει, αὐτὴ δὲ οὐ φύσει. διὸ μᾶλλον ἡ ἀρετὴ ὁμοίως φύσει ταῖς τέχναις, οὐ ταῖς αἰσθήσεσιν· ὡς γὰρ τῶν τεχνῶν τὸ μὲν εἶναι δεκτικοῖς ἡμῖν αὐτῶν ὑπάρχει φύσει, οὐδεὶς δὲ γίνεται τεχνίτης φύσει, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει. διὸ καὶ τὴν μὲν αἰσθητικὴν ὄψιν, εἰ μὴ φύσει τις ἔχοι, οὐδ᾽ ἂν κτήσαιτο αὐτήν ποτε, ἐπὶ δὲ τῆς κατὰ τὴν ἀρετὴν ὄψεως οὐ φῦναι ἔχοντα δεῖ τήνδε τὴν ὄψιν, ἀλλὰ φῦναι δεῖ δέξασθαι δύνασθαι αὐτὴν, τὸ δὲ ἔχειν αὐτοὺς παρ᾽ αὐτῶν πειρᾶσθαι λαμβάνειν, καί ἐστιν εὐφυὴς οὐχ ὁ ἤδη τὴν ἀρετὴν ἔχων καὶ τὸ ὄμμα τοῦτο, ἀλλ᾽ ὁ ῥᾷον ἄλλου λαβεῖν αὐτὴν δυνάμενος, ὃν τρόπον καὶ ἐπὶ τῶν τεχνῶν ἔχον ἐδείχθη.

8. ὁμοίως] fort. ἔχει addendum, vel ὁμοία scrib. 16. αὐτοὺς] αὐτὴν T. 17. λαμβάνειν] λαμβάνει vulg.

Πῶς εἰ ἐκ τῶν ἐναντίων τὰ ἐναντία γίνεται, οὐκ ἔσται ἐκ μὲν δικαιοσύνης ἀδικία, ἐκ δὲ ἀδικίας δικαιοσύνη, καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν τε καὶ κακιῶν ὁ αὐτὸς λόγος. λ'.

Ἢ καὶ ταῦτα οὕτω γίνεται; ὁ γὰρ δίκαιος γινόμενος ἤτοι ἐξ ἀδικίας μεταβάλλει εἰς δικαιοσύνην, ἥ ἐστιν ἐναντία τῇ δικαιοσύνῃ ἕξις καὶ ἐκ τῆς μεταξὺ καταστάσεως, καὶ τὰ ἐκ τῶν μεταξὺ δὲ μεταβάλλοντα εἰς τὸ ἕτερον ἄκρον ὡς ἐξ ἐναντίου τοῦ μεταξὺ μεταβάλλει; τῷ γὰρ τὸ μεταξὺ τῶν ἀμφοτέρων πως μετέχειν τῶν ἄκρων καὶ τοῦ μηδετέρου ὁλοκλήρως οἷον ἐναντίον ἐστὶ τῶν ὧν ἐστι μεταξὺ, καὶ ὅταν εἰς τὸ ἕτερον αὐτῶν μεταβάλλῃ, ὡς ἐξ ἐναντίου αὐτοῦ μεταβάλλει τῷ ἐκ τούτων μεταβάλλειν, ἃ ὄντα τῶν μεταξὺ ἐκώλυεν αὐτὸ ἤδη εἶναι ἐν τούτῳ εἰς ὃ μεταβάλλει. εἰ δὲ πᾶν τὸ μεταβάλλον εἴς τινα ἕξιν ἐκ τῆς στερήσεως τῆς ἕξεως ἐκείνης μεταβάλλει, ἐναντίον δὲ ἡ τοιαύτη στέρησις τῇ ἕξει εἰς ἣν μεταβολὴ, καὶ ἡ δικαιοσύνη ἂν καὶ ἡ ἀδικία ἐξ ἐναντίων γίγνοιτο· ἐκ γὰρ τῶν στερήσεων. τό τε γὰρ δίκαιον γινόμενον ἐν στερήσει τοῦ δικαίου ἦν, καὶ τὸ ἄδικον ὁμοίως τοῦ ἀδίκου, εἰ μὲν οὖν ἡ ὕλη, ἐξ ἧς ἡ κυρίως γένεσις, αὕτη δέ ἐστιν ἡ τῶν

6. Ἢ] titulum *Πῶς . . . λόγος* repetens praeponit Bagolinus. 8. *ἥ*] *ἤ* vulg. 13. *τοῦ*] *τὰ* T. 16. *ἃ ὄντα*] *ἰδόντα* T. 20. *μεταβολὴ*] aut *ἡ μεταβολὴ* aut *μεταβάλλει*.

οὐσιῶν, καθ' αὐτὴν ἣν ὑφεστῶσα ἄνευ τοῦ εἶναι σὺν εἴδει τινὶ, τὰ ἁπλῶς ἂν γινόμενα κυρίως ἐκ τῆς ὕλης ἂν ἐγίνετο καὶ ἐκ τῆς στερήσεως, τῆς μὲν ὕλης ὡς ὑποκειμένου τε καὶ ὑπομένοντος, τῆς δὲ στερήσεως ὡς ἐναντίου τῇ ἕξει, εἰς ἣν ἡ μεταβολή. ἐπεὶ δὲ ἀδύνατον εἶναι τὴν ὕλην ἐν ὑποστάσει χωρὶς εἴδους τινός· οὐ γὰρ οἷόν τε ὕλην τινὰ χωρὶς εἴδους εἶναί τινος· τῷ γὰρ λόγῳ χωριστὴ τῶν εἰδῶν καὶ τῷ παρὰ μέρος δέχεσθαι τὰ ἐναντία, ἐπεὶ ἥ γε ὑπόστασις αὐτῆς ἀεὶ μετά τινος τούτων, εἰς ἃ μεταβάλλει παρὰ μέρος, ὅταν εἴς τι εἶδος μεταβάλλῃ, δῆλον μὲν ὅτι ἐν στερήσει οὖσα αὐτοῦ εἰς αὐτὸ μεταβάλλει. ἐπεὶ δὲ ἡ οὖσα ἐν στερήσει τούτου, εἰς ὃ μεταβάλλει, ἐν ἄλλῳ τινὶ εἴδει ἐστὶ, δηλονότι τούτῳ εἰς ὃ μεταβάλλει, ἐναντίον εἶδος ἔχει, καθὸ καὶ αὐτῷ ἡ μεταβολὴ αὐτὴ γίνεται. ἐν ᾧ γὰρ ἀδύνατον μένειν μεταβάλλουσα, εἰς ὃ μεταβάλλει, κατὰ τοῦτο μεταβάλλει τε καὶ ἀμείβει τὸ εἶδος. τοιαῦτα δὲ τὰ ἐναντία εἴδη, ἐφ' οἷς ἐστί τε καὶ εἶναι δύναται τὸ ὄν τινων ἐν στερήσει, καὶ διὰ τοῦτο προηγουμένως μὲν ἐκ τῆς στερήσεως καὶ τῆς ὡς στερήσεως ἐναντιώσεως ἡ κυρίως γένεσις ἤδη δὲ καὶ ἐκ τῶν ἐναντίων εἰδῶν, ἐφ' οἷς οὖσα πρὸ τῆς εἰς τὰ ἐναντία αὐτοῖς μεταβολῆς, οὐ δύναται μὴ μεταβάλλουσα ἐξ

1. κατ' αὐτὴν vulg. 7. οὐ γὰρ . . τινὸς om. T. 9. χωριστὴ] χωριστὰ V. χωρὶς τῆς T. τῷ] τὸ V.

αὐτῶν μεταβάλλειν εἰς τὸ εἶδος, εἰς ὃ μεταβάλλει. ὅταν μὲν οὖν ὦσιν αἱ ἕξεις εὐμετάβολοι καὶ ἐναντιότητες εἰς ἀλλήλας καὶ ἐκ τῶν ἐναντίων εἰδῶν, ἡ μεταβολὴ γίνεται τοῖς εἴς τι μεταβάλλουσιν ὥσπερ καὶ ἐκ τῆς στερήσεως τοῦ εἰς ὃ μεταβάλλει. ὅταν δὲ ᾖ τὰ ἐναντία τοιαῦτα, ὡς μόνιμά τε εἶναι καὶ μὴ ῥᾳδίως μεταβάλλειν, αἱ γενέσεις τοῖς τοιούτοις ἔκ τε τῆς στερήσεως γίνονται καὶ ἐκ τῶν μεταξὺ ἀμφοῖν, ὡς ἀπὸ ἐναντίων καὶ αὐτῶν τοῖς εἴδεσιν εἰς ἃ μεταβολὴ γίνεται, μεταβάλλει δὲ τὰ γινόμενα, ἡ μὲν τῶν κατ' ἀλλοίωσιν καὶ αὔξησιν καὶ μείωσιν καὶ κατὰ τόπον μεταβολὴ γινομένη γένεσις οὖσα τὶς γένεσις, ἀλλ' οὐχ ἁπλῶς γένεσις ἐξ ἐναντίων, ἡ δὲ κατ' οὐσίαν οὐκ ἔτι ἐξ ἐναντίων, ἀλλὰ ἐκ τῆς κατὰ ἀντίφασιν ἀντιθέσεως, ὅτι μηδέν ἐστι τῇ οὐσίᾳ ἐναντίον.



Index locorum,

quos Alexander in quaestionibus tractavit.

